# Σ Υ Μ Ε Ω Ν

# ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ

## Υ Μ Ν Ο Ι
## (ΚΗ΄ - ΝΗ΄)

Ε Ι Σ Α Γ Ω Γ Η
ΚΕΙΜΕΝΟ - ΜΕΤΑΦΡΑΣΗ - ΣΧΟΛΙΑ
Ἀπὸ τὸν
ΙΓΝΑΤΙΟ ΣΑΚΑΛΗ
Φιλόλογο

# Φ Ι Λ Ο Κ Α Λ Ι Α
# Τ Ω Ν
# ΝΗΠΤΙΚΩΝ ΚΑΙ ΑΣΚΗΤΙΚΩΝ
# 19ΣΤ

**Ἐπόπτης Ἐκδόσεως**

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

**Ἐπιμελητὴς Ἐκδόσεως**

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»
ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1989

# Σ Υ Μ Ε Ω Ν
# Ο
# ΝΕΟΣ ΘΕΟΛΟΓΟΣ

# ΕΙΣΑΓΩΓΗ

Στὸν παρόντα τόμο, ἕκτο κατὰ σειρὰ τῶν ἔργων τοῦ Συμεὼν τοῦ Νέου Θεολόγου, ἐκδίδονται οἱ ὑπόλοιποι *Ὕμνοι* (κη΄ - νη΄) καὶ ὁλοκληρώνεται ἔτσι ἡ ἔκδοση τῶν ἁπάντων τοῦ ἱεροῦ αὐτοῦ πατρός, τοῦ μεγάλου πραγματικὰ καὶ ἀληθινοῦ μύστη τῶν μυστηρίων τοῦ Θεοῦ.

Σχετικὰ μὲ τὴν ἔκδοση τῶν *Ὕμνων* καταβλήθηκε προσπάθεια νὰ ἐκδοθοῦν σὲ ἕνα τόμο, ὥστε νὰ ἦταν συγκεντρωμένοι ὅλοι, δυστυχῶς ὅμως θὰ γινόταν ὁ τόμος ὀγκώδης, 800 σελίδες περίπου, πράγμα ποὺ θὰ ἔκαμνε δυσχερέστατη τὴν ἀνάγνωση αὐτοῦ.

Τὸ κείμενο καὶ τῶν Ὕμνων αὐτῶν λαμβάνεται ἀπὸ τὴ σειρὰ Sources Chrétiennes.

## *ΤΩΝ ΘΕΙΩΝ ΥΜΝΩΝ ΟΙ ΕΡΩΤΕΣ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΜΕΓΑΛΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ ΗΓΟΥΜΕΝΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΓΕΓΟΝΟΤΟΣ ΜΟΝΗΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΜΑΝΤΟΣ ΤΗΣ ΞΗΡΟΚΕΡΚΟΥ*

## *Ὁ πίναξ τῶν θείων ἐρώτων (κη΄ – νη΄)*


| | | Σελὶς |
|---|---|---|
| **κη** | *Περὶ νοητῆς ἀποκαλύψεως τῶν ἐνεργειῶν τοῦ θείου φωτὸς καὶ ἐργασίας νοερᾶς τε καὶ θείας τῆς ἐναρέτου ζωῆς.* | 12-33 |
| **κθ** | *Ὅτι μόνοις ἐκείνοις καταφανῆ τὰ τῶν θείων πραγμάτων, οἷς διὰ τῆς μετουσίας τοῦ ἁγίου Πνεύματος ὅλοις ὅλος ἡνώθη Θεός.* | 34-57 |
| **λ** | *Ὅτι ταῖς καθαρθείσαις ψυχαῖς διὰ δακρύων καὶ μετανοίας προσψαῦσαν τὸ θεῖον τοῦ Πνεύματος πῦρ δράσσεται αὐτῶν καὶ πλέον καθαίρει, φωτίζον τὰ ὑπὸ τῆς ἁμαρτίας ἐσκοτισμένα μέρη αὐτῶν καὶ τὰ τραύματα ἐξιώμενον εἰς τελείαν φέρει συνούλωσιν, ὡς τῷ θείῳ κάλλει ὑπεραστράπτειν αὐτάς.* | 58-95 |
| **λα** | *Περὶ θεολογίας καὶ ὅτι ἀνεξερεύνητος ἡ θεία φύσις καὶ πάντῃ τοῖς ἀνθρώποις ἀκατανόητος.* | 96-109 |
| **λβ** | *Ὅτι οἱ ἔνδοξοι τῆς γῆς καὶ σοβαροὶ τῷ πλούτῳ περὶ τὴν σκιὰν τῶν δρωμένων πλανῶνται, οἱ δέ γε τῶν παρόντων καταφρονήσαντες ἐν ἀπλανεῖ μεθέξει τοῦ Θείου γίνονται Πνεύματος.* | 110-119 |
| **λγ** | *Περὶ θεολογίας, καὶ ὅτι οἱ κατ' εἰκόνα φυλάξαντες τὰς πονηρὰς δυνάμεις τοῦ ἄρχοντος τοῦ σκότους καταπατοῦσιν, οἱ δ' ἄλλοι, οἷς ἐμπαθὴς ὁ βίος, ὑπ' αὐτοῦ κρατοῦνται καὶ βασιλεύονται.* | 120-131 |

# ΟΙ ΕΡΩΤΕΣ ΤΩΝ ΘΕΙΩΝ ΥΜΝΩΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΜΕΓΑΛΟΥ ΠΑΤΕΡΑ ΜΑΣ ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ ΠΟΥ ΥΠΗΡΞΕ ΗΓΟΥΜΕΝΟΣ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΣ ΤΗΣ ΜΟΝΗΣ ΤΟΥ ΑΓΙΟΥ ΜΑΜΑΝΤΟΣ ΤΗΣ ΞΗΡΟΚΕΡΚΟΥ

## Πίνακας τῶν θείων ἐρώτων

**(κη' – νη')**

**κη** Περὶ τῆς νοητῆς ἀποκάλυψης τῶν ἐνεργειῶν τοῦ θείου φωτός καὶ περὶ νοερῆς καὶ θείας ἐργασίας τῆς ἐνάρετης ζωῆς 12-33

**κθ** Ὅτι τὰ θεῖα πράγματα εἶναι ὁλοφάνερα μόνο σ' ἐκείνους μὲ τοὺς ὁποίους ἀκέραιους ἑνώθηκε ἀκέραιος ὁ Θεός διὰ τῆς μετουσίας τοῦ ἁγίου Πνεύματος. 34-57

**λ** Πρός ἕνα μαθητή του· ὅτι, ἀγγίζοντας τὶς ψυχές ποὺ καθάρθηκαν μὲ δάκρυα καὶ μετάνοια ἡ θεία φωτιὰ τοῦ Πνεύματος, τὶς περιτυλίγει καὶ τὶς καθαίρει ἀκόμα περισσότερο, φωτίζοντας ὅσα μέρη τους τὰ σκοτίζει ἡ ἁμαρτία καὶ θεραπεύοντας τὰ τραύματά τους τὰ κλείνει ὁλότελα, ὥστε νὰ ὑπεραστράπτουν μὲ τὸ θεῖο κάλλος. 58-95

**λα** Περὶ θεολογίας, καὶ ὅτι ἡ θεία φύση εἶναι ἀνεξερεύνητη καὶ ἐντελῶς ἀκατανόητη ἀπό τοὺς ἀνθρώπους. 96-109

**λβ** Ὅσοι δοξάζονται στὴ γῆ καὶ ὑπερηφανεύονται γιὰ τὰ πλούτη τους πλανῶνται κυνηγώντας τὸν ἴσκιο τῶν φαινομένων· ἐνῶ ὅσοι περιφρονοῦν τὰ παρόντα φτάνουν στὴ δίχως πλάνη μέθεξη τοῦ θείου Πνεύματος. 110-119

**λγ** Περὶ θεολογίας, καὶ ὅτι ὅσοι φύλαξαν τὸ 'κατ' εἰκόνα' καταπατοῦν τὶς πονηρές δυνάμεις τοῦ ἄρχοντα τοῦ σκότους, ἐνῶ οἱ ἄλλοι, ποὺ ὁ βίος τους κυλᾶ μέσα στὰ πάθη, τὸν ἔχουν δυνάστη καὶ βασιλιά τους. 120-131

| | | |
|---|---|---|
| λδ | Ὅτι ἡ τοῦ παναγίου Πνεύματος ἕνωσις πρὸς κεκαθαρμένας ψυχὰς ἐν αἰσθήσει τρανεῖ ἤγουν ἐν ἐπιγνώσει γίνεται καί, ἐν αἷς ἂν γένηται, φωτοειδεῖς ὁμοίας ἑαυτοῦ καὶ φῶς αὐτὰς ἀπεργάζεται. | Σελὶς 132-141 |
| λε | Ὅτι πάντες οἱ ἅγιοι ἐλλαμπόμενοι αὐγάζονται καὶ τὴν δόξαν τοῦ Θεοῦ καθορῶσιν, ὡς θεμιτὸν ἀνθρωπίνῃ φύσει Θεὸν ὁρᾶν. | 142-149 |
| λϛ | Εὐχαριστία ὑπὲρ τῆς ἐξορίας καὶ τῶν θλίψεων, ὧν ὑπέστη ἐν τῷ κατ' αὐτὸν διωγμῷ. | 150-155 |
| λζ | Δέησις καὶ προσευχὴ τοῦ αὐτοῦ πρὸς τὸν Θεὸν τῆς ἐκείνου ἕνεκα βοηθείας. | 156-161 |
| λη | Περὶ θεολογίας καὶ ὅτι ὁ νοῦς τῆς ὕλης τῶν παθῶν καθαρθεὶς ἀΰλως τὸν ἄϋλον καὶ ἀόρατον καθορᾷ. | 162-169 |
| λθ | Ὅτι ὁ πόθος καὶ ἡ πρὸς Θεὸν ἀγάπη ὑπερβαίνει πᾶσαν ἀγάπην καὶ πάντα πόθον ἀνθρώπινον· βαφεὶς δὲ ὁ νοῦς τῶν καθαιρομένων ἐν τῷ φωτὶ τοῦ Θεοῦ ὅλος θεοῦται καὶ νοῦς ἐκεῖθεν χρηματίζει Χριστοῦ. | 170-175 |
| μ | Ὁμολογία τῆς χάριτος τῶν τοῦ Θεοῦ δωρεῶν, καὶ ὅπως ὁ ταῦτα γράφων πατὴρ ὑπὸ τοῦ ἁγίου ἐνηργεῖτο Πνεύματος· καὶ διδασκαλία ῥηθεῖσα ὑπὸ Θεοῦ, τὸ τί δεῖ ποιοῦντα τινὰ τῆς τῶν σῳζομένων σωτηρίας τυχεῖν. | 176-183 |
| μα | Εὐχαριστία πρὸς Θεὸν ὑπὲρ τῶν παρ' αὐτοῦ γεγονότων εὐεργεσιῶν καὶ αἴτησις τοῦ μαθεῖν, τίνος χάριν οἱ τέλειοι γεγονότες ὑπὸ τῶν δαιμόνων παραχωροῦνται πειράζεσθαι· καὶ περὶ τῶν ἀποτασσομένων τῷ κόσμῳ διδασκαλία καὶ ὑποτύπωσις ῥηθεῖσα παρὰ Θεοῦ. | 184-203 |
| μβ | Ὅτι οἱ τῷ Θεῷ ἀπ' ἐντεῦθεν ἤδη διὰ τῆς τοῦ ἁγίου Πνεύματος μετουσίας ἑνωθέντες, ἐκδημοῦντες τοῦ βίου εἰς αἰῶνας αὐτῷ ἐκεῖθεν συνέσονται· εἰ δ' οὖν ἀλλὰ τὸ ἀνάπαλιν τοῖς ἄλλως ἔχουσιν ἐνταῦθα τότε γενήσεται. | 204-219 |
| μγ | Ὅτι κρεῖσσον τὸ καλῶς ποιμαίνεσθαι ἢ τοὺς μὴ βουλομένους ποιμαίνειν· οὐδὲν γὰρ ἔσται κέρδος τῷ ἄλλους μὲν σπουδάζοντι σῶσαι, ἑαυτὸν δὲ διὰ τῆς ἐκείνων ἀπολέσαντι προστασίας. | 220-231 |

λδ Ὅτι ἡ ἕνωση τοῦ παναγίου Πνεύματος μὲ καθαρμένες ψυχὲς γίνεται μὲ ἔντονη αἴσθηση, δηλαδὴ μ' ἐπίγνωση, καὶ σ' ὅποιες ἔρθει τὶς κάνει ὅμοιες μὲ τὸν ἑαυτό του, φωτοειδεῖς καὶ φῶς. Σελὶς 132-141

λε Ὅλοι οἱ ἅγιοι δεχόμενοι μέσα τους τὴν ἔλλαμψη καταυγάζονται καὶ ἀντικρίζουν τὴ δόξα τοῦ Θεοῦ, ὅσο εἶναι ἐπιτρεπτὸ στὴν ἀνθρώπινη φύση νὰ βλέπει τὸ Θεό. 142-149

λστ Εὐχαριστία γιὰ τὴν ἐξορία καὶ τὶς θλίψεις ποὺ ὑπέφερε κατὰ τὸ διωγμό ποὺ τοῦ ἔγινε. 150-155

λζ Δέηση καὶ προσευχὴ τοῦ ἰδίου πρὸς τὸ Θεὸ γιὰ τὴ βοήθεια ποὺ ἔλαβε ἀπὸ αὐτόν. 156-161

λη Περὶ θεολογίας καὶ ὅτι ὁ νοῦς καθαρμένος ἀπὸ τὰ σωματικὰ πάθη ἀντικρίζει μὲ ἄυλα μάτια τὸν ἄυλο καὶ ἀόρατο. 162-169

λθ Ὁ πόθος καὶ ἡ ἀγάπη πρὸς τὸ Θεὸ ὑπερβαίνει κάθε ἀγάπη καὶ κάθε πόθο ἀνθρώπινο. Κι ὅταν ὁ νοῦς ἐκείνων ποὺ καθαίρονται βυθιστεῖ μέσα στὸ φῶς τοῦ Θεοῦ θεώνεται καθ' ὁλοκληρία καὶ γίνεται ἔτσι νοῦς Χριστοῦ. 170-175

μ Ὁμολογία τῶν δωρεῶν τῆς χάριτος τοῦ Θεοῦ, καὶ πῶς τὸ χέρι τοῦ πατέρα, ποὺ γράφει, αὐτὰ τὸ κινοῦσε τὸ ἅγιο Πνεῦμα. Ἀκόμα διδασκαλία ἀπὸ τὸ Θεὸ γιὰ τὸ τί πρέπει νὰ κάνει κάποιος γιὰ νὰ ἐπιτύχει τὴ σωτηρία ἐκείνων ποὺ σώζονται. 176-183

μα Εὐχαριστία πρὸς τὸ Θεὸ γιὰ ὅσες εὐεργεσίες δέχτηκε ἀπὸ αὐτὸν καὶ αἴτηση γιὰ νὰ μάθει γιὰ ποιὸ σκοπὸ ὅσοι ἔγιναν τέλειοι παραδίνονται στοὺς δαίμονες γιὰ νὰ τοὺς πειράζουν. Ἀκόμα διδασκαλία καὶ κανονισμοὶ ποὺ ὅρισε ὁ Θεὸς γιὰ ὅσους ἀπαρνιοῦνται τὸν κόσμο. 184-203

μβ Ὅσοι ἤδη ἀπὸ ἐδῶ μὲ τὴ μετουσία τοῦ ἁγίου Πνεύματος ἑνώθηκαν μὲ τὸ Θεό, ἐκδημώντας ἀπὸ τὴ ζωὴ θὰ εἶναι ἐκεῖ μαζί του στοὺς αἰῶνες, σὲ ὅσους ὅμως συμβαίνει ἐδῶ διαφορετικὰ θὰ γίνει τότε τὸ ἀντίθετο. 204-219

μγ Ὅτι εἶναι καλύτερο νὰ ποιμαίνεται κανένας καλά, παρὰ νὰ ποιμαίνει ἐκείνους ποὺ δὲ θέλουν. Γιατὶ δὲ θὰ ἔχει κανένα κέρδος, ἂν προσπαθεῖ νὰ σώσει τοὺς ἄλλους καὶ χάσει τὴ δική του σωτηρία προστατεύοντας ἐκείνους. 220-231

| | | Σελὶς |
|---|---|---|
| **μδ** | *Τί ἐστι τὸ κατ' εἰκόνα καὶ πῶς εἰκότως νοεῖται ὡς τοῦ πρωτοτύπου εἰκὼν ὁ ἄνθρωπος· καὶ ὅτι ὁ τοὺς ἐχθροὺς ὡς εὐεργέτας φιλῶν μιμητής ἐστι τοῦ Θεοῦ, Πνεύματος δὲ ἁγίου ἐντεῦθεν μέτοχος γεγονὼς θέσει Θεὸς καὶ χάριτι γίνεται, μόνοις ἐκείνοις γνωριζόμενος, τοῖς ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐνεργουμένοις.* | *232-259* |
| **με** | *Περὶ θεολογίας ἀκριβεστάτης καὶ ὅτι ὁ μὴ ὁρῶν τὸ φῶς τῆς τοῦ Θεοῦ δόξης χείρων τυγχάνει τυφλῶν.* | *260-269* |
| **μστ** | *Ἐξομολόγησις εὐχῇ συνημμένη· καὶ περὶ συναφείας Πνεύματος ἁγίου καὶ ἀπαθείας.* | *270-273* |
| **μζ** | *Περὶ νοητοῦ παραδείσου τηλαυγὴς θεωρία, καὶ περὶ τοῦ ἐν αὐτῷ ξύλου ζωῆς.* | *274-279* |
| **μη** | *Ὅτι δόξα καὶ τιμὴ παντὶ ἀνθρώπῳ ἐστὶν ὑβριζομένῳ καὶ πάσχοντι κακῶς διὰ Θεοῦ ἐντολήν, ἡ ὑπὲρ αὐτῆς τῆς ἐντολῆς τοῦ Θεοῦ ἀτιμία· καὶ διάλογος πρὸς τὴν ἰδίαν ψυχήν, διδάσκων τὸν ἀκένωτον πλοῦτον τοῦ Πνεύματος.* | *280-291* |
| **μθ** | *Ὅτι οὐκ ἔστιν ὅτε καὶ διὰ τῆς εἰς τὸν πλησίον ἐπιμελείας καὶ διορθώσεως συγκατασπᾶσθαι τὸν διδάσκαλον εἰς τὴν ἐνοῦσαν ἐκείνῳ τοῦ πάθους ἀσθένειαν.* | *292-299* |
| **ν** | *Περὶ θεωρίας Θεοῦ καὶ θείων πραγμάτων καὶ Πνεύματος καὶ ἁγίου παραδόξου ἐνεργείας· καὶ περὶ τῶν ἰδίων τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος· καὶ ὅτι ὁ μὴ φθάσας εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν οὐδὲν ὠφεληθήσεται, κἂν ἐκτὸς γένηται τῶν τοῦ ᾅδου κολάσεων.* | *300-323* |
| **να** | *Ὅτι τοῦ Πνεύματος λάμποντος ἡμῖν τοῦ ἁγίου πάντα τὰ τῶν παθῶν φυγαδεύονται ὡς ὑπὸ τοῦ φωτὸς τὸ σκότος· συστέλλοντος δὲ αὐτοῦ τὰς ἀκτῖνας, ὑπὸ τούτων καὶ τῶν πονηρῶν βαλλόμεθα λογισμῶν.* | *324-335* |
| **νβ** | *Περὶ θεολογίας, καὶ ὅτι τῷ μὴ ἀλλοιωθέντι τῇ τοῦ ἁγίου Πνεύματος μετουσίᾳ καὶ γεγονότι θέσει ἐν γνώσει Θεῷ, διδάσκειν τὰ θεῖα τοὺς ἀνθρώπους οὐκ ἔξεστι.* | *336-347* |

Σελὶς

μδ Ποιό εἶναι τὸ νόημα τοῦ 'κατ' εἰκόνα' καὶ πῶς ὁ ἄνθρωπος νοεῖται δικαιολογημένα ὡς εἰκόνα τοῦ πρωτοτύπου. Καὶ ὅτι ὅποιος ἀγαπᾶ τοὺς ἐχθρούς του ὡς εὐεργέτες του, εἶναι μιμητὴς τοῦ Θεοῦ κι ἀφοῦ ἀπὸ αὐτὸ γίνει μέτοχος τοῦ ἁγίου Πνεύματος, γίνεται θέσει καὶ κατὰ χάρη θεὸς κι ἀναγνωρίζεται μόνο ἀπὸ ἐκείνους ποὺ εἶναι ὄργανα τοῦ Πνεύματος. 232-259

με Περὶ τῆς ἀκριβέστατης θεολογίας, καὶ ὅτι ὅποιος δὲ βλέπει τὸ φῶς τῆς δόξας τοῦ Θεοῦ εἶναι σὲ χειρότερη κατάσταση ἀπὸ τοὺς τυφλούς. 260-269

μστ Ἐξομολόγηση ποὺ συνοδεύεται μὲ προσευχή· ἐπίσης καὶ περὶ συνάφειας τοῦ ἁγίου Πνεύματος καὶ ἀπάθειας. 270-273

μζ Καταυγασμένη ἀπὸ φῶς θεωρία γιὰ τὸ νοητὸ παράδεισο καὶ γιὰ τὸ ξύλο τῆς ζωῆς ποὺ ὑπάρχει σ' αὐτόν. 274-279

μη Εἶναι τιμὴ καὶ δόξα σὲ κάθε ἄνθρωπο ποὺ ὑβρίζεται καὶ κακοποιεῖται, ἐπειδὴ ἐκτελεῖ τὶς ἐντολὲς τοῦ Θεοῦ, ἡ ἀτιμία ποὺ ἐπισύρει ἐξαιτίας τῆς ἐκτέλεσης τῆς ἐντολῆς τοῦ Θεοῦ. Ἐπίσης διάλογος μὲ τὴ ψυχή του, ποὺ δείχνει τὸν ἀνεξάντλητο πλοῦτο τοῦ Πνεύματος. 280-291

μθ Πολλὲς φορὲς κατὰ τὴν ἐπιμέλειά του γιὰ τὴ διόρθωση τοῦ πλησίον του ὁ δάσκαλος παρασύρεται ἀπὸ τὴν ἀσθένεια τοῦ πάθους ποὺ ὑπάρχει στὸν πλησίον. 292-299

ν Περὶ θεωρίας τοῦ Θεοῦ καὶ τῶν θείων πραγμάτων καὶ τῆς παράδοξης ἐνέργειας τοῦ ἁγίου Πνεύματοςκαὶ τῶν γνωρισμάτων τῆς ἁγίας καὶ ὁμοούσιας Τριάδας. Ἀκόμα ὅτι, ὅποιος δὲν μπορέσει νὰ εἰσέλθει στὴ βασιλεία τῶν οὐρανῶν, δὲ θὰ ὠφεληθεῖ καθόλου ἀκόμα κι ἂν ἀπαλλαγεῖ ἀπὸ τὰ βασανιστήρια τοῦ ἅδη. 300-323

να Ὅτι, ὅταν λάμπει μέσα μας τὸ ἅγιο Πνεῦμα, ὅλα τρέπονται σὲ φυγὴ ὅπως τὸ σκότος ἀπὸ τὸ φῶς, ἐνῶ, ὅταν αὐτὸ μαζεύει τὶς ἀκτίνες του, δεχόμαστε τὶς προσβολὲς τῶν παθῶν καὶ τῶν πονηρῶν λογισμῶν. 324-335

νβ Περὶ θεολογίας, καὶ ὅτι σὲ ὅποιον δὲν ἀλλοιώθηκε μὲ τὴ μετουσία τοῦ ἁγίου Πνεύματος καὶ δὲν ἔγινε εὐσυνείδητα θέσει θεὸς δὲν ἐπιτρέπεται νὰ διδάσκει τὰ θεῖα στοὺς ἀνθρώπους. 336-347

νγ *Κατὰ διάλεκτον Θεοῦ καὶ τοῦ πατρὸς τῶν λόγων ὁ λόγος· καὶ ὅπως ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐλλαμπόμενος ὁ θεῖος οὗτος πατὴρ ὡμίλει Θεῷ καὶ ὑπ' ἐκείνου ἐμυσταγωγεῖτο τὰ θεῖά τε καὶ ἀνθρώπινα.* *Σελὶς* *348-367*

νδ *Ὅτι τῶν ἀνθρώπων ἑκάστῳ δέδωκεν ὁ Θεὸς προσφυῶς καὶ πρὸς τὸ συμφέρον τὸ χάρισμα διὰ τοῦ Πνεύματος ἁγίου εἰς τὸ ἐνεργεῖν, οὐχ ὥσπερ αὐτὸς θέλει, ἀλλ' ὡς ὑπ' αὐτοῦ προωρίσθη, εἰς τὸ μὴ κενὸν εἶναι μέσον τῆς Ἐκκλησίας αὐτοῦ.* *368-379*

νε *Ὅτι τοῖς τὸ ἅγιον φυλάξασι βάπτισμα καθαρὸν παραμένει τὸ Πνεῦμα τὸ ἅγιον, ἀπὸ δὲ τῶν μολυνάντων αὐτὸ ἀπανίσταται.* *380-393*

νς *Εὐχὴ πρὸς Θεὸν ἐπὶ τοῖς γεγονόσιν εἰς αὐτόν, ἱκετήριός τε ὁμοῦ καὶ εὐχαριστήριος.* *394-397*

νζ *Ὅτι ὁ τὸν Θεὸν ποθήσας, μισεῖ τὸν κόσμον.* *398-399*

νη *Διδασκαλία κοινὴ σὺν ἐλέγχῳ πρὸς πάντας· βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μονάζοντας, λαϊκούς, ὑπὸ στόματος λαληθεῖσα καὶ λεγομένη Θεοῦ.* *400-425*

νγ Τὸ ποίημα εἶναι συνθεμένο ὑπὸ μορφὴ διαλόγου τοῦ Θεοῦ καὶ τοῦ πατέρα τῶν λόγων αὐτῶν. Ἀκόμα πῶς ὁ θεῖος αὐτὸς πατέρας φωτισμένος ἀπὸ τὸ ἅγιο Πνεῦμα μιλοῦσε μὲ τὸ Θεὸ καὶ διδασκόταν ἀπὸ Ἐκεῖνον τὰ θεῖα καὶ ἀνθρώπινα. Σελὶς 348-367

νδ Ὅτι ὁ Θεὸς ἔχει δώσει σὲ κάθε ἄνθρωπο σύμφωνα μὲ τὴ φύση του καὶ πρὸς τὸ συμφέρον του τὸ χάρισμα μέσω τοῦ ἁγίου Πνεύματος τὸ χάρισμα νὰ ἐνεργεῖ ὄχι ὅπως θέλει αὐτός, ἀλλὰ ὅπως προορίστηκε ἀπὸ Ἐκεῖνον, γιὰ νὰ μὴν εἶναι ἄχρηστος μέσα σὴν Ἐκκλησία του. 368-379

νε Ὅτι τὸ ἅγιο Πνεῦμα παραμένει σὲ ὅποιους φύλαξαν τὸ βάπτισμα καθαρό, ἀναχωρεῖ ὅμως ἀπὸ ὅσους τὸ μόλυναν. 380-393

νστ Προσευχὴ στο Θεὸ παρακλητικὴ καὶ μαζὶ κι εὐχαριστήρια γιὰ ὅσα τοῦ ἔχει κάνει. 394-397

νζ Ὅτι, ὅποιος πόθησε τὸ Θεό, μισεῖ τὸν κόσμο. 398-399

νη Διδασκαλία κοινὴ μὲ ἔλεγχο πρὸς ὅλους, βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μοναχούς, λαϊκούς, ποὺ διατυπώθηκε καὶ εἰπώθηκε ἀπὸ τὸ Θεό. 400–425

# ΘΕΙΟΙ ΥΜΝΟΙ

(ΚΗ' – ΝΗ')

## *ΚΗ'*

## *ΠΕΡΙ ΝΟΗΤΗΣ ΑΠΟΚΑΛΥΨΕΩΣ ΤΩΝ ΕΝΕΡΓΕΙΩΝ ΤΟΥ ΘΕΙΟΥ ΦΩΤΟΣ*

***Καὶ ἐργασίας νοερᾶς τε καὶ θείας τῆς ἐναρέτου ζωῆς.***

*Ἐάσατε τῇ κέλλῃ με μόνον ἐγκεκλεισμένον,*
*ἄφετέ με μετὰ Θεοῦ τοῦ μόνου φιλανθρώπου,*
*ἀπόστητε, μακρύνατε, ἐάσατέ με μόνον*
*ἀποθανεῖν ἐνώπιον Θεοῦ τοῦ πλάσαντός με!*
*Μηδεὶς τῇ θύρᾳ κρούσειε, μηδεὶς φωνὴν ἀφήσῃ,*
*μηδεὶς ἐπισκεψάτω με τῶν συγγενῶν ἢ φίλων,*
*μηδείς μου τὴν διάνοιαν ἑλκύσας ἀποσπάσῃ*
*τῆς θεωρίας τοῦ καλοῦ καὶ ὡραίου Δεσπότου,*
*μηδείς μοι βρῶμα δώσειε, μὴ πόμα μοι κομίσῃ!*
*Ἀρκέσει γάρ μοι τὸ θανεῖν ἔμπροσθεν τοῦ Θεοῦ μου,*
*Θεοῦ τοῦ ἐλεήμονος, Θεοῦ τοῦ φιλανθρώπου,*
*τοῦ κατελθόντος ἐπὶ γῆς ἁμαρτωλοὺς καλέσαι*
*καὶ σὺν αὐτῷ εἰς τὴν ζωὴν εἰσαγαγεῖν τὴν θείαν.*
*Οὐ θέλω ἔτι κατιδεῖν τὸ φῶς τοῦ κόσμου τούτου,*
*οὐδὲ αὐτὸν τὸν ἥλιον, οὐδὲ τὰ ἐν τῷ κόσμῳ·*
*βλέπω γὰρ τὸν Δεσπότην μου, βλέπω τὸν βασιλέα,*
*βλέπω τὸν ὄντως ὄντα φῶς καὶ παντὸς φωτὸς κτίστην,*
*βλέπω πηγὴν παντὸς καλοῦ, βλέπω αἰτίαν πάντων,*
*βλέπω ἀρχὴν τὴν ἄναρχον, ἐξ ἧς παρήχθη πάντα,*
*δι' ἧς ζωοῦνται καὶ τροφῆς ἅπαντα ἐμπιπλῶνται.*

---

12. Ματθ. 9,13. 14. Ἰω. 11,9.

* Ὁ ὕμνος χωρίζεται σὲ δύο μέρη· στὸ πρῶτο ὁ Συμεὼν παρακαλεῖ τοὺς ἀνθρώπους νὰ τὸν ἀφήσουν μόνο, γιὰ νὰ ἀσχοληθεῖ μὲ τὸ Θεὸ (1–110). Ὕστερα

## 28*

# ΠΕΡΙ ΝΟΗΤΗΣ ΑΠΟΚΑΛΥΨΗΣ ΤΩΝ ΕΝΕΡΓΕΙΩΝ ΤΟΥ ΘΕΙΟΥ ΦΩΤΟΣ

**Καὶ περὶ νοερῆς καὶ θείας ἐργασίας τῆς ἐνάρετης ζωῆς.**

Κλειομένο μέσα στὸ κελλί μου ἀφῆστε με μονάχο,
μὲ τὸ μόνο φιλάνθρωπο Θεὸν ἀφήσετέ με,
κάνετε πέρα, μακριά, μονάχο ἀφήσετέ με,
γιὰ νὰ πεθάνω ἐμπρὸς στὸ Θεὸ ποὺ μ' ἔχει πλαστουργήσει.
Τὴν πόρτα ἂς μὴ χτυπήσει μου κανείς, ἂς μὴ φωνάξει,
κανεὶς νὰ μὴ μ' ἐπισκεφτεῖ ἀπὸ συγγενεῖς ἢ φίλους.
κανεὶς τὸ νοῦ μου ἑλκύοντας ἂς μὴν τὸν ἀποσπάσει
ἀπ' τοῦ Δεσπότη τοῦ καλοῦ κι ὡραίου τὴ θεωρία,
ἂς μὴ μοῦ φέρει φαγητὸ μήτε νερὸ κανένας!
Μοῦ φτάνει ἐμένα ὁ θάνατος μὲ τὸ Θεὸ κοντά μου,
Θεὸ ποὺ εἶναι ἐλεήμονας καὶ φίλος τῶν ἀνθρώπων,
ὁποὺ κατέβηκε στὴ γῆ ἁμαρτωλοὺς νὰ σώσει
καὶ στὴ ζωὴ τὴ θεϊκὴ μαζί του νὰ τοὺς πάρει.
Δὲ θέλω πιὰ ἄλλο νὰ θωρῶ τὸ φῶς αὐτοῦ τοῦ κόσμου,
οὔτε τὸν ἥλιο ἀκόμα αὐτὸν μὰ κι ὅσα εἶναι τοῦ κόσμου,
γιατὶ τὸν Κύριό μου θωρῶ, τὸ βασιλιά μου βλέπω,
βλέπω τὸν πού 'ναι ἀλήθεια φῶς, τοῦ φωτὸς ὅλου κτίστης,
τὴν πηγὴ βλέπω ὅποιου καλοῦ καὶ τὴν αἰτία τῶν ὅλων,
βλέπω τὴν ἄναρχην ἀρχὴ τὰ πάντα ἀπ' ὅπου βγῆκαν,
ποὺ δίνει σ' ὅλα τὴ ζωὴ καὶ τροφὴ τὰ χορταίνει.

---

ἐπικαλεῖται τὸ Θεὸ μὲ ὀκτὼ διαφορετικὲς προσφωνήσεις καὶ τὸν παρακαλεῖ νὰ ἀναρριπίσει τὴ φλόγα τῆς καρδιᾶς του γιὰ τὴ θεία ζωή, τὴ φλόγα μὲ τὴ φοβερὴ ἀλλοιωτική δύναμή της.

*Τούτου γὰρ τῷ θελήματι γίνονται καὶ ὁρῶνται*
*καὶ τούτου τῷ θελήματι ἐκλείπουσι τὰ πάντα.*
*Πῶς οὖν αὐτὸν καταλιπὼν ἐξέλθω μου τῆς κέλλης;*
*Ἄφετέ με, θρηνήσομαι καὶ κλαύσομαι ἡμέρας*
*καὶ νύκτας, ἃς ἀπώλεσα ὁρῶν τὸν κόσμον τοῦτον,*
*ὁρῶν τοῦτον τὸν ἥλιον, ὁρῶν τὸ φῶς τοῦ κόσμου,*
*τὸ αἰσθητὸν καὶ σκοτεινόν, ὃ ψυχὴν οὐ φωτίζει,*
*οὗ καὶ τυφλοὶ τοὺς ὀφθαλμοὺς δίχα ἐν κόσμῳ ζῶσι*
*καὶ μεταστάντες ἔσονται τῶν νῦν βλεπόντων ἴσοι·*
*ἐν ᾧ κἀγὼ πλανώμενος ὅλος ἐνευφραινόμην,*
*ὅλως δὲ εἶναι ἕτερον φῶς οὐκ ἐλογιζόμην,*
*ὃ καὶ ζωή, ὡς εἴρηται, ὑπάρχει καὶ αἰτία*
*τοῦ εἶναι, ὅ τι καί ἐστιν ἢ γενήσεται ὅλως,*
*καὶ ἤμην ὥσπερ ἄθεος ἀγνοῶν τὸν Θεόν μου.*
*Νυνὶ δέ, ὡς ηὐδόκησεν ἀρρήτῳ εὐσπλαγχνίᾳ*
*ὀφθῆναι τῷ ἀθλίῳ μοι καὶ ἀποκαλυφθῆναι,*
*εἶδον καὶ ἔγνων ἀληθῶς Θεὸν τῶν πάντων εἶναι,*
*Θεόν, ὃν οὐδεὶς τῶν ἐν τῷ κόσμῳ εἶδεν ἀνθρώπων.*
*Ἔξω τοῦ κόσμου γάρ ἐστιν, ἔξω φωτὸς καὶ σκότους,*
*ἔξω ἀέρος καὶ νοὸς καὶ αἰσθήσεως πάσης·*
*διὸ καὶ ὑπὲρ αἴσθησιν κατιδὼν ἐγενόμην.*
*Οἱ οὖν ὑπὸ τὴν αἴσθησιν ὄντες ἐάσατέ με*
*μὴ κέλλαν μόνον κλεῖσαί τε καὶ ἔνδοθεν καθίσαι,*
*ἀλλὰ καὶ λάκκον ὑπὸ γῆν ὀρύξαντα κρυβῆναι·*
*κἀκεῖ διάγων ἔσομαι ἔξω παντὸς τοῦ κόσμου,*
*καὶ βλέπων τὸν ἀθάνατον Δεσπότην μου καὶ κτίστην*
*πόθῳ θανεῖν αἱρήσομαι, εἰδὼς ὡς οὐ θανοῦμαι.*
*Τί οὖν μοι προσεγένετο ὄφελος ἐκ τοῦ κόσμου,*
*τί δὲ καὶ νῦν κερδαίνουσιν οἱ ὄντες ἐν τῷ κόσμῳ;*
*Ὄντως οὐδέν, ἀλλὰ γυμνοὶ ἐνοικήσουσι τάφοις*
*καὶ ἀναστήσονται γυμνοὶ καὶ κριθήσονται πάντες,*

---

32. Ἰω. 1,4 34. Ἐφ. 2,12.
35–36. Γαλ. 1,15 καὶ Α΄ Κορ. 15,8. 38. Α΄ Τιμ. 6,16.

Μὲ τοῦ Κυρίου τὸ θέλημα γίνονται καὶ θεωροῦμε
τὰ πάντα ἀλλὰ καὶ χάνονται μὲ θέλημά του πάλι.
Νὰ τὸν ἀφήσω πῶς λοιπὸν κι ἀπ' τὸ κελλί μου νἄβγω;
Ἀφῆστε νὰ θρηνήσω ἐγὼ μέρες πολλὲς νὰ κλάψω
καὶ νύχτες ποὺ τὶς ἔχασα τὸν κόσμο αὐτὸν θωρώντας
τὸν ἥλιο τοῦτο βλέποντας, τὸ φῶς αὐτοῦ τοῦ κόσμου,
φῶς αἰσθητὸ καὶ σκοτεινό, ψυχὴ ποὺ δὲ φωτίζει,
ποὺ δίχως του καὶ οἱ τυφλοὶ ζοῦνε μέσα στὸν κόσμο
κι ὅμοιοι μ' ὅσους τώρα θωροῦν ὅταν πεθάνουν θὰ 'ναι.
Σ' αὐτὸ πλανιόμουνα κι ἐγὼ βαθιὰ γοητευμένος
κι οὔτε ποὺ φανταζόμουνα πὼς κι ἄλλο φῶς ὑπάρχει,
πού, ὡς εἶπα, εἶναι καὶ ἡ ζωὴ καὶ εἶναι μαζὶ καὶ ἡ αἰτία
τῆς ὕπαρξης γιὰ ὅ,τι εἶναι καὶ κάθε ποὺ θὰ γίνει,
κι ἤμουν σὰν ἕνας ἄθεος ἀγνοώντας τὸ Θεό μου.
Μὰ τώρα ὅπως εὐδόκησε μὲ τ' ἄρρητο ἔλεός του
νὰ φανεῖ κι ἀποκαλυφθεῖ στὸν ἄθλιον ἐμένα,
εἶδα κι ἐννόησα ὅτι Θεὸς τῶν ὅλων εἶναι ἀλήθεια,
Θεὸς ποὺ οὔτε ἕνας ἄνθρωπος δὲν εἶδε μὲς στὸν κόσμο. [τος,
Ἔξω ἀπ' τὸν κόσμο ὑπάρχει αὐτός, ἔξω ἀπὸ τὸ φῶς καὶ σκό-
ἔξω ἀπ' τὸν οὐρανό, τὸ νοῦ κι ἀπὸ τὴν αἴσθηση ἔξω·
γι' αὐτὸ καὶ ἀπὸ αἴσθηση μακριὰ βρέθηκα ὅταν τὸν εἶδα.
Ὅσοι λοιπὸν τῆς αἴσθησης δοῦλοι εἶστε ἀφῆσετέ με,
ὄχι νὰ κλείσω τὸ κελλὶ κι ἐκεῖ μέσα νὰ μείνω,
ἀλλὰ λάκκο μὲς στὴ γῆ γιὰ νὰ κρυφτῶ νὰ σκάψω
κι ἐκεῖ θὰ ζήσω μόνος μου μακριὰ ἀπ' τὸν κόσμον ὅλον·
βλέποντας τὸν ἀθάνατο δεσπότη μου καὶ κτίστη
μὲ πιάνει ὁ πόθος τῆς θανῆς, βέβαιος πὼς δὲν πεθαίνω.
Ποιό κέρδος ἀποκόμισα λοιπὸν ἀπὸ τὸν κόσμο
καὶ τώρα ἀποκομίζουνε στὸν κόσμο ὅσοι εἶναι μέσα;
Κανένα ἀλήθεια, ἀλλὰ γυμνοὶ στοὺς τάφους τους θὰ μποῦνε
καὶ θὲ ν' ἀναστηθοῦν γυμνοὶ γιὰ νὰ κριθοῦν οἱ πάντες

---

43. Ματθ. 6,6. 47. Ψαλμ. 117,17. 48. Ματθ. 16,26.
50. Ψαλμ. 67,7. 51. Ἰω. 5,28.

*ὅτι ζωὴν τὴν ἀληθῆ, ὅτι τὸ φῶς τοῦ κόσμου,*
*Χριστὸν λέγω, ἐάσαντες ἠγάπησαν τὸ σκότος*
*καὶ ἐν αὐτῷ περιπατεῖν ᾑρετίσαντο πάντες,*
*οἱ μὴ τὸ φῶς δεξάμενοι τὸ λάμψαν ἐν τῷ κόσμῳ,*
*ὅπερ ὁ κόσμος οὐ χωρεῖ οὐδὲ ἰδεῖν ἰσχύει.*
*Διὸ ἐγκαταλείψατε καὶ ἄφετέ με μόνον,*
*παρακαλῶ, τοῦ κλαύσασθαι καὶ ἐκζητῆσαι τοῦτον,*
*πλουσίως τοῦ δοθῆναί μοι καὶ ἀφθόνως ὀφθῆναι.*
*Οὐ μόνον καθορᾶται γάρ, οὐ μόνον θεωρεῖται,*
*ἀλλὰ καὶ μεταδίδοται καὶ κατοικεῖ καὶ μένει*
*καὶ ἔστιν, ὥσπερ θησαυρὸς ἐν κόλπῳ κεκρυμμένος,*
*ὃν ὁ βαστάζων ἥδεται καὶ βλέπων τοῦτον χαίρει,*
*δοκεῖ καὶ πάντας καθορᾶν αὐτὸν ἐγκεκρυμμένον.*
*Ἀλλ' οὐχ ὁρᾶται ἅπασιν, οὐ ψηλαφᾶται ὅλως,*
*οὐ κλέπτης τοῦτον δύναται συλῆσαι, οὐ λῃστής τε*
*ἁρπάσαι, εἰ καὶ κτείνειε τὸν βαστάζοντα τοῦτον·*
*ἂν ἀφελέσθαι βουληθῇ, εἰς μάτην κοπιάσει*
*ἀνερευνῶν μαρσίππιον, ἀνερευνῶν χιτῶνας,*
*τὴν ζώνην λύων ἀσφαλῶς ἀναζητῶν ἐκεῖνον,*
*κἂν τὴν κοιλίαν τέμνειε, κἂν σπλάγχνα ψηλαφήσῃ,*
*εὑρεῖν ἐκεῖνον ἢ λαβεῖν ὅλως οὐκ ἐξισχύσει.*
*Ἔστι καὶ γὰρ ἀόρατος, ἀκράτητος χερσί γε*
*καὶ ἀψηλάφητος ὁμοῦ, ψηλαφώμενος ὅλως·*
*κρατεῖται δ' ὅμως ἐν χερσὶ καὶ τότε τῶν ἀξίων,*
*τῶν δ' ἀναξίων ἄπαγε, κεῖται καὶ ἐν παλάμῃ,*
*τὸ τί, ὢ θαῦμα, τὸ οὐ τί, ὄνομα γὰρ οὐκ ἔχει.*
*Ἐκπλαγεὶς οὖν καὶ κατασχεῖν αὐτὸ ἐπιθυμήσας,*
*σφίγξας τὴν χεῖρα ἔδοξα κρατῆσαί τε καὶ ἔχειν,*
*ἀλλὰ διέδρα μηδαμῶς κατασχεθὲν χειρί μου,*
*καὶ λυπηθεὶς ἀνέῳξα τὴν πυγμὴν τῆς χειρός μου*
*καὶ εἶδον πάλιν ἐν αὐτῇ, ὅπερ πρώην ἑώρων·*

---

52. Ἰω. 8,12. 53. Ἰω. 3,19.
54. Ἰω. 12,35. 55. Ἰω. 9,5.

ποὺ τὴν ἀληθινὴ ζωὴ καὶ ποὺ τὸ φῶς τοῦ κόσμου,
τὸ Χριστὸ λέω, ἀφήνοντας ἀγάπησαν τὸ σκότος
καὶ νὰ περιπατοῦν σ' αὐτὸ ὅλοι τοὺς προτιμῆσαν,
ὅσοι δὲ δέχτηκαν τὸ φῶς ὁποὺ ἔλαμψε στὸν κόσμο
ποὺ ὁ κόσμος οὔτε τὸ χωρεῖ καὶ μήτε ποὺ τὸ βλέπει.
Γιὰ τοῦτο παρατῆστε με κι ἀφῆστε με μονάχο
νὰ κλάψω, σᾶς παρακαλῶ, καὶ γιὰ νὰ τοῦ ζητήσω
πλούσια σ' ἐμένα νὰ δοθεῖ κι ὁλοένα νὰ τὸν βλέπω.
Γιατὶ μόνο δὲν τὸν θεωρεῖς κι οὔτε τὸν ἀντικρίζεις,
μ' ἀκόμα μεταδίδεται καὶ κατοικεῖ καὶ μένει
καὶ μὲς στὸν κόσμο ὡς θησαυρὸς εἶναι καλὰ κρυμμένος,
ποὺ ὅποιος τὸν ἔχει εὐφραίνεται καὶ βλέποντάς τον χαίρει
καὶ λέει πὼς ὅλοι τὸν θωροῦν στὸν κόρφο του κρυμμένο.
Ἀλλὰ ὅλοι δὲν τὸν βλέπουνε κι οὔτε τὸν ψηλαφοῦνε,
ὁ κλέφτης δὲν τὸν ἀφαιρεῖ, ὁ ληστὴς δὲ θὰ μπορέσει
νὰ τὸν ἀρπάξει ἀκόμα κι ἂν σκοτώσει ὅποιον τὸν ἔχει.
Ἂν νὰ τὸν κλέψει βουληθεῖ, μάταια θὰ κοπιάσει,
κι ἂς ψάχνει τὸ μαρσίππι του, τὰ ροῦχα του κι ἂς ψάχνει
κι ἂς λύνει τὸ ζωνάρι του γιὰ κεῖνον ἐρευνώντας.
Μὰ κι ἂν τοῦ ἀνοίξει τὴν κοιλιὰ κι ἂν μὲς στὰ σπλάχνα ψάξει,
δὲν θὰ μπορέσει νὰ τὸν βρεῖ ἢ καὶ νὰ τὸν ἀγγίξει.
Γιατί 'ναι βέβαια ἀόρατος καὶ δὲν τὸν πιάνουν χέρια
κι ἀκόμα εἶν' ἀψηλάφητος καὶ πῶς νὰ τὸν ἀγγίξεις;
Καὶ τότε ὅμως οἱ δίκαιοι στὰ χέρια τὸν κρατοῦνε,
τὸν ἔχουν στὶς παλάμες τους –κι οἱ ἀνάξιοι μήτε λόγος–
τί νά 'ναι, τί δὲν εἶναι αὐτό; θαῦμα, ὄνομα δὲν ἔχει.
Σάστισα καὶ πεθύμησα λοιπὸν νὰ τὸ κρατήσω,
σφίγγω τὸ χέρι καὶ θαρρῶ πὼς τὸ κρατῶ πὼς τὸ ἔχω,
μὰ ξεγλιστρᾶ ἀπὸ τὸ χέρι μου καὶ τίποτα δὲ μένει
καὶ λυπημένος ἄνοιξα τὴ φούχτα τοῦ χεριοῦ μου
καὶ βλέπω πάλι νά 'ναι ἐκεῖ ὅ,τι ἔβλεπα καὶ πρῶτα·

62. Ματθ. 13,33 καὶ 23,12. 66. Ματθ. 6,19.
68. Ψαλμ. 126,1.

*ὢ θαῦμα ἀνεκλάλητον, ὢ μυστηρίου ξένου!*
*Τί μάτην ταραττόμεθα, τί πλανώμεθα πάντες,*
*τί πρὸς τὸ φῶς κεχήναμεν, τὸ ἀναίσθητον τοῦτο,*
*οἱ ἐν αἰσθήσει νοερῷ τετιμημένοι λόγῳ;*
*Τί πρὸς τὰς ὕλας βλέπομεν, τὰς φθειρομένας ταύτας,*
*ἄϋλον ἔχοντες ψυχὴν καὶ ἀθάνατον ὅλην;*
*Τί δὲ ταῦτα θαυμάζομεν ὅλως ἀναισθητοῦντες*
*καὶ προτιμῶμεν ὡς τυφλοὶ τὸ βαρὺ τοῦ σιδήρου*
*καὶ μάζης τούτου μέγεθος ὑπὲρ μικρὸν χρυσίον,*
*ἢ μαργαρίτην τίμιον ὡς ἀτίμητον χρῆμα,*
*καὶ οὐ ζητοῦμεν τὸν μικρὸν τοῦ σινάπεως κόκκον,*
*ὃ τιμιώτερόν ἐστι πάντων τῶν ὁρωμένων,*
*μεῖζον τῶν ἀοράτων τε πραγμάτων καὶ κτισμάτων;*
*Τί οὐ διδοῦμεν ἅπαντα καὶ λαμβάνομεν τοῦτον,*
*τί δὲ καὶ ζῆν βουλόμεθα μὴ κεκτημένοι τοῦτον;*
*Κρεῖσσον θανεῖν, πιστεύσατε, πολλάκις, εἰ οἷόν τε,*
*καὶ μόνον τοῦτον κτήσασθαι, τὸν μικρὸν λέγω κόκκον!*
*Οὐαὶ γὰρ τοῖς μὴ ἔχουσιν αὐτὸν πεφυτευμένον*
*ἐν κόλπῳ τῆς ψυχῆς αὐτῶν, λιμώξουσι σφοδρῶς γάρ!*
*Οὐαὶ τοῖς μὴ βλαστήσαντα αὐτὸν θεασαμένοις,*
*ὅτι γυμνοὶ στήσονται ὡς δένδρα φύλλων δίχα!*
*Οὐαὶ τοῖς μὴ πιστεύουσι τῷ λόγῳ τοῦ Κυρίου,*
*ὡς τοῦτον δένδρον γίνεσθαι καὶ κλάδους ἀποπέμπειν,*
*καὶ ἐκζητοῦσιν ἐν σπουδῇ καὶ νοὸς τῇ τηρήσει*
*τὴν καθ' ἡμέραν αὔξησιν τοῦ μικροῦ τούτου κόκκου,*
*ὅτι ζημιωθήσονται τούτου τὴν ἐργασίαν,*
*ὡς δοῦλος ὁ τὸ τάλαντον κατορύξας ἀφρόνως·*
*ὧν εἷς ὑπάρχω δὴ κἀγώ, ἀμελῶν καθ' ἑκάστην.*
*Ἀλλ', ὢ τριὰς ἀμέριστε, ὢ μονὰς ἀσυγχύτως,*
*ὢ φῶς τὸ τρισυπόστατον, Πάτερ, Υἱὲ καὶ Πνεῦμα,*
*ὢ τῆς ἀρχῆς ἡ ἄναρχος ἀρχὴ καὶ ἐξουσία,*
*ὢ φῶς ἀκατονόμαστον ὡς ἀνώνυμον πάντη,*

---

84. Ψαλμ. 38,7. 92. Ματθ. 13,45 ἑ.

ὢ θαῦμα ποὺ δὲν λέγεται, ὢ παράξενο μυστήριο.
Γιατί ἡ μάταιη ταραχή, γιατί πλανιόμαστε ὅλοι;
Γιατί τ' ἀναίσθητο αὐτὸ φῶς νά χάσκομε μᾶς κάνει
ἐμᾶς ὁποὺ αἰσθανόμαστε μὲ λόγο τιμημένοι;
Γιατί σὲ πράγματα φθαρτὰ καὶ ὑλικὰ κοιτᾶμε,
ἀφοῦ ἔχομε ἄυλη ψυχὴ θάνατο ποὺ δὲν ξέρει;
Γιατί θαυμάζομε ὅλα αὐτὰ μ' ἀναισθησία μεγάλη
κι ἀπὸ σπειρὶ ἕνα χρυσαφιοῦ ἢ μικρὸ μαργαριτάρι
τὸ σίδερο καθὼς τυφλοὶ τὸ βαρὺ προτιμοῦμε
καὶ τὴ μεγάλη μάζα του, πανάκριβο σὰ νά 'ναι
καὶ δὲν ζητοῦμε τὸ μικρὸ τοῦ σιναπιοῦ τὸ σπόρο,
πού 'ναι τὸ πιὸ πολύτιμο ἀπ' ὅσα ἐδῶ θωροῦμε,
κι ἀπ' ὅσα κτίσματ' ἀόρατα πού 'ναι τὸ πιὸ μεγάλο;
Γιατὶ ὅλα δὲν τὰ δίνομε νὰ τὸν προμηθευτοῦμε,
κι ἂν δὲν τὸν ἀποχτήσομε τί θέλομε νὰ ζοῦμε;
Καλύτερος ὁ θάνατος ὁ πολλαπλός, πιστέψτε,
ἂν γίνεται, καὶ μόνο αὐτὸν τὸ σπόρο ν' ἀποχτήσω.
'Αλίμονο σ' αὐτοὺς ποὺ δὲν τὸν ἔχουν φυτεμένο
στὸν κόρφο μέσα τῆς ψυχῆς, θὰ τοὺς τρελάνει ἡ πείνα.
'Αλὶ σ' αὐτοὺς ποὺ δὲν εἶδαν γερὸ νὰ βγάζει φύτρο,
γιατὶ θὰ μείνουνε γυμνοὶ σὰν δέντρα δίχως φύλλα.
'Αλὶ σ' αὐτοὺς ὁποὺ ἀπιστοῦν στὸ λόγο τοῦ Κυρίου,
πῶς δέντρο ὁ σπόρος γίνεται καὶ ξεπετάει κλώνους
καὶ μὲ τοῦ νοῦ δὲν προσπαθοῦν τὴν πρόθυμην ἀγρύπνια,
τοῦτο τὸ φύτρο τὸ μικρὸ ν' αὐξαίνει κάθε μέρα,
ἀπ' τὴν ἀδιαφορία τους θά 'χουν ζημιὰ μεγάλη,
ὅπως ὁ δοῦλος ποὺ ἔκρυψε στὴ γῆ τὸ τάλαντό του.
Δοῦλος τέτοιος εἶμαι κι ἐγὼ καθημερνὰ ἀμελώντας.
'Αλλά, ὢ Τριάδα ἀχώριστη κι ἀσύγχυτη μονάδα,
φῶς ἕνα τρισυπόστατο, Πατέρα, Υἱὲ καὶ Πνεῦμα,
ὢ ἄναρχη τῆς ἀρχῆς ἀρχὴ κι ὢ ἄναρχη ἐξουσία,
φῶς ποὺ δὲν ὀνομάζεσαι, ἀφοῦ ὄνομα δὲν ἔχεις,

---

105. Ματθ. 13,32. 109. Ματθ. 25,18.

ὦ πολυώνυμον αὖθις ὡς ἐνεργοῦν τὰ πάντα,
ὦ δόξα μία καὶ ἀρχή, κράτος καὶ βασιλεία,
ὦ φῶς ὡς ἓν καὶ θέλημα, γνώμη, βουλή, ἰσχύς τε
ἐλέησον, οἰκτείρησον ἐμὲ τὸν τεθλιμμένον!
Πῶς γὰρ ἵνα μὴ θλίβωμαι, πῶς ἵνα μὴ λυπῶμαι
τοσαύτης σου χρηστότητος, ἐλέους σου τοσούτου
καταφρονῶν καὶ ῥᾳθυμῶν, ὁ ἀγνώμων καὶ τάλας
καὶ χαύνως πορευόμενος ὁδῷ τῶν ἐντολῶν σου;
Ἀλλὰ καὶ νῦν σπλαγχνίσθητι καὶ νῦν ἐλέησόν με
καὶ θέρμην τῆς καρδίας μου ἐξάναψον, Χριστέ μου,
ἣν ἔσβεσεν ἡ ἄνεσις σαρκός μου τῆς ἀθλίας,
ὕπνος καὶ κόρος τῆς γαστρὸς καὶ οἴνου πολλοῦ πόσις!
Ταῦτα καὶ φλόγα ἔσβεσαν εἰς ἅπαν τῆς ψυχῆς μου
καὶ τὴν πηγὴν ἐξήραναν, τὴν βρύσιν τῶν δακρύων·
καὶ γὰρ ἡ θέρμη πῦρ γεννᾷ, τὸ δὲ πῦρ αὖθις θέρμην,
καὶ ἐξ ἀμφοῖν ἀνάπτεται φλόξ, πηγὴ τῶν δακρύων.
Ἡ φλὸξ βλαστάνει νάματα, τὰ νάματα δὲ φλόγα·
ἐν οἷς ἀδολεσχία με ἀνήγαγε τῶν θείων,
μελέτη σου τῶν ἐντολῶν αὖθις καὶ προσταγμάτων,
ἡ τήρησις μετάνοιαν ὡς συνεργὸν λαβοῦσα,
καὶ ἔστησαν ἐν μέσῳ με τῶν ὄντων καὶ μελλόντων,
ὅθεν ἐκ τῶν ὁρωμένων τε γεγονὼς αἴφνης ἔξω
εἰς φόβον περιέπεσον βλέπων, ὅθεν ἐρρύσθην.
Τὰ μέλλοντα μακρόθεν δὲ ὄντα πάντως ἑώρων,
κἀκεῖνά μοι καταλαβεῖν ποθοῦντι πῦρ ἀνήφθη
τοῦ πόθου, καὶ κατὰ μικρὸν φλὸξ ἀρρήτως ὡράθη
–ἐν τῷ νοΐ μου πρότερον, ὕστερον δ' ἐν καρδίᾳ–
καὶ ἔβλυζε τὰ δάκρυα ἡ φλὸξ τοῦ θείου πόθου
καὶ ἄφθεγκτον τὸν γλυκασμὸν σὺν αὐτοῖς μοι παρεῖχεν.
Θαρρήσας οὖν ἐν ἐμαυτῷ, ὡς οὐ σβέννυται ὅλως,
καλῶς καὶ γὰρ ἐκκαίεται, εἶπον, καὶ ῥᾳθυμήσας

---

122. Ψαλμ. 118,32.

καὶ πάλι, ὢ μυριονόματο, ἀφοῦ ἐνεργεῖς τὰ πάντα,
φῶς μὲ μιὰ δόξα, μιὰν ἀρχή, δύναμη, βασιλεία,
ὢ φῶς μ' ἕνα καὶ θέλημα, βουλή, δύναμη, γνώμη,
ἐλέησε καὶ σπλαχνίσου με ἐμένα τὸ θλιμμένο.
Γιατί πῶς νὰ μὴ θλίβομαι καὶ πῶς νὰ μὴ λυποῦμαι
τὴν τόση καλοσύνη σου, τὸ τόσο ἔλεός σου,
ποὺ ὁ ἀχάριστος περιφρονῶ κι ἀδιαφορῶ ὁ ἄθλιος
κι ἀνόρεχτα τῶν ἐντολῶν σου περπατῶ τὸ δρόμο;
Καὶ τώρ' ὅμως σπλαχνίσου με καὶ τώρα ἐλέησέ με
καὶ ἀναρρίπισε, Χριστέ, τὴ φλόγα τῆς καρδιᾶς μου,
ποὺ ἔσβησε ἡ καλοπέραση τῆς ἄθλιάς μου σάρκας,
ὁ ὕπνος καὶ ὁ χορτασμός, τὸ ἄφθονο φαγοπότι.
Αὐτὰ τὴ φλόγα ὁλότελα σβήσανε τῆς ψυχῆς μου
καὶ μοῦ ξεράναν τὴν πηγή, τὴ βρύση τῶν δακρυῶν μου.
Γιατὶ φωτιὰ ἡ θέρμη γεννᾶ καὶ ἡ φωτιὰ πάλι θέρμη
κι ἀνάβει φλόγα ἀπὸ τὰ δυὸ καὶ δάκρυα ἀναβρύζουν.
Ἡ φλόγα βγάζει νάματα, τὰ νάματα τὴ φλόγα,
σ' αὐτὰ ὅπου μ' ὁδήγησεν ὁ λόγος γιὰ ἀπάθεια,
ἡ μελέτη σου τῶν ἐντολῶν μὰ καὶ τῶν προσταγῶν σου
ἡ τήρηση, ἀφοῦ συνεργὸν ἔλαβαν τὴ μετάνοια
καὶ μ' ἔστησαν στὸ μεταξὺ ὅσων εἶναι κι ὅσων μέλλουν,
κι ἀφοῦ ἔτσι ἀπ' τὰ φαινόμενα βρέθηκα ξάφνου ἀπ' ἔξω,
μὲ φόβο βλέπω τὸ γκρεμὸν ἀπὸ ὅπου εἶχα γλιτώσει.
Τὰ μέλλοντα ἂν κι ἀπὸ μακριὰ τὰ ἔβλεπα ὅτι ὑπῆρχαν
κι ἐνῶ ποθοῦσα νὰ βρεθῶ σ' αὐτά, φωτιὰ μοῦ ἀνάφτη
τοῦ πόθου καὶ καταμικρὸν φλόγα ἄρρητη πετᾶχτη
– μέσα στὸ νοῦ μου στὴν ἀρχὴ κι ὕστερα στὴν καρδιά μου–
κι ἀνάβρυζε τὰ δάκρυα τοῦ θείου πόθου ἡ φλόγα
κι ἀνείπωτο ἕνα γλυκασμὸ ζευγάρωνε μ' ἐκεῖνα.–
Κι ὡς εἶπα μέσα μου λοιπὸν ὅτι ποτὲ δὲ σβήνει,
γιατὶ ἀνάβει ὅμορφα, εἶπα, κι ἀδιαφορώντας

133. Ψαλμ. 118,143.

*ὕπνῳ καὶ κόρῳ τῆς γαστρὸς ἐδουλώθην ἀφρόνως,*
*ὑποχαλάσας οἴνῳ τε πλειόνως ἐχρησάμην·*
*οὐ μεθυσθείς, πλὴν κορεσθείς, καὶ εὐθὺς ἀπεσβέσθη*
*τὸ θαῦμα τοῦτο τὸ φρικτόν, ὁ ἐγκάρδιος πόθος,*
*ἡ φλὸξ ἡ μέχρις οὐρανοῦ φθάνουσα καὶ ἐντός μου*
*ἐκκαιομένη μὲν σφοδρῶς, οὐ κατακαίουσα δὲ*
*τὴν ἐν τοῖς σπλάγχνοις οὖσαν μου οὐσίαν τὴν χορτώδη,*
*ἀλλ' ὅλην, ὢ τοῦ θαύματος, εἰς φλόγα μετεποίει,*
*καὶ χόρτος ψαύων τοῦ πυρὸς οὐκ ἐκαίετο ὅλως,*
*μᾶλλον δὲ πῦρ ἐν ἑαυτῷ περιλαμβάνον χόρτον*
*ἡνοῦτο καὶ ἀνάλωτον αὐτὸν ὅλον ἐτήρει.*
*Ὢ θείου δύναμις πυρός, ὢ ἐνεργείας ξένης!*
*Ὁ λύων πέτρας καὶ βουνοὺς ἀπὸ μόνου τοῦ φόβου*
*καὶ ἀπὸ τοῦ προσώπου σου, ὦ Χριστέ, ὁ Θεός μου,*
*πῶς χόρτῳ ἀναμίγνυσαι θείᾳ ὅλως οὐσίᾳ*
*φωτὶ ὅλως ἀστέκτῳ ὁ ἐνοικῶν Θεός μου;*
*Πῶς μένων ἀναλλοίωτος, ἀπρόσιτος εἰς ἅπαν*
*φυλάττεις ἀκατάφλεκτον τοῦ χόρτου τὴν οὐσίαν,*
*καὶ ἀναλλοίωτον τηρῶν ἀλλοιοῖς ὅλον τοῦτον,*
*καὶ μένων χόρτος ἔστι φῶς, οὐχὶ τὸ φῶς δὲ χόρτος,*
*ἀλλὰ τῷ χόρτῳ σὺ τὸ φῶς ἀσυγχύτως ἑνοῦσαι,*
*καὶ χόρτος γίνεται ὡς φῶς μεταβληθεὶς ἀτρέπτως;*
*Οὐ φέρω σου τὰ θαύματα τῇ σιωπῇ καλύπτειν,*
*οὐ δύναμαι τοῦ μὴ λαλεῖν τὴν σὴν οἰκονομίαν,*
*ἣν μετ' ἐμοῦ ἐποίησας, τοῦ ἀσώτου καὶ πόρνου·*
*καὶ τῆς φιλανθρωπίας σου τὸν ἀκένωτον πλοῦτον*
*μὴ διηγεῖσθαι ἅπασιν οὐ στέγω, λυτρωτά μου!*
*Βούλομαι γὰρ τὸν σύμπαντα κόσμον λαβεῖν ἐκ τούτου*
*καὶ μὴ κενὸν τούτου τινὰ ὅλως καταλειφθῆναι,*
*πλὴν πρῶτον, ὦ παμβασιλεῦ, ἐν ἐμοὶ πάλιν λάμψον,*
*ἐνοίκησον καὶ φώτισον τὴν ταπεινήν ψυχήν μου,*

---

154. Ἐξ. 3,2. 158–159. Ἰουδὶθ 16,15 καὶ Ψαλμ. 113,6–7.
168. Πραξ. 4,20.

ἀστόχαστα σκλαβώθηκα σὲ λαιμαργία κι ὕπνο
κι ὑποχωρώντας τὸ κρασὶ τὸ τίμησα περίσσια·
δὲ μέθυσα, τὸ χόρτασα καὶ σβήστηκεν ἀμέσως
τὸ θαῦμα τοῦτο τὸ φριχτὸ ὁ καρδιακὸς ὁ πόθος,
ἡ φλόγα ποὺ ὣς τὸν οὐρανὸν ἀνέβαινε κι ἐντός μου
λαμπάδιαζε ὅλη δύναμη χωρὶς νὰ κατακαίει
τὰ χορταρένια ὑλικὰ ποὺ μὲς στὰ σπλάχνα μου ἔχω·
μὰ ἐνῶ, ὢ θαύμασμα, ὅλ' αὐτὰ τὰ ἔκανε μιὰ φλόγα,
μόλο ποὺ τὴ φωτιὰ ἄγγιζε τὸ χόρτο δὲν καιγόταν,
ἢ μάλλον περικλείνοντας ἡ φλόγα τὸ χορτάρι
ἑνώνονταν καὶ ἀπείραχτο τέλεια τὸ κρατοῦσε.
Ὦ δύναμη τῆς θείας φωτιᾶς, παράξενη ἐνέργεια
Σὺ πέτρες λιώνεις καὶ βουνὰ μονάχα μὲ τὸ φόβο
καὶ μὲ τὴν παρουσία σου, Χριστέ μου ἐσὺ ὁ Θεός μου·
πῶς μὲ τὸ χόρτο ἑνώνεσαι ἡ θεία τέλεια οὐσία,
ὁ Θεός μου ὁ ποὺ στὸ ἀβάσταχτο φῶς εἶσαι τυλιγμένος;
Πῶς ἀναλλοίωτος μένοντας κι ἀπρόσιτος ἀπὸ ὅλους
φυλάγεις ἀκατάφλεχτη τοῦ χορταριοῦ τὴ φύση
κι ἐνῶ ἀναλλοίωτη τὴν κρατᾶς ἀκέριο τὸ ἀλλάζεις
κι εἶναι φῶς, χόρτο μένοντας, κι ὄχι τὸ φῶς χορτάρι,
μὰ ἑνώνεται ἀσύγχυτα τὸ φῶς μὲ τὸ χορτάρι
καὶ δίχως νὰ μεταβληθεῖ φῶς γίνεται τὸ χόρτο;
Τὰ θαύματά σου δὲν μπορῶ στὴ σιγὴ νὰ τὰ κλείσω,
τὴ θεία οἰκονομία σου δὲν μπορῶ νὰ σωπάσω,
ὅπου γιὰ μένα ἔκανες τὸν ἄσωτο καὶ πόρνο.
Καὶ τῆς φιλανθρωπίας σου τὸν ἀκένωτο πλοῦτο
νὰ μὴ διηγοῦμαι δὲ βαστῶ σὲ ὅλους, ὢ λυτρωτή μου!
Ὁ κόσμος θέλω ὁλόκληρος ν' ἀντλήσει ἀπὸ τοῦτον
νὰ μὴ ἀπομείνει ἀμέτοχος κανένας ἀπὸ δαῦτον.
Ἀλλὰ πρῶτα, ὢ παμβασιλιά, λάμψε πάλι σ' ἐμένα,
στὴν ταπεινὴ κατοίκησε καὶ φώτισε ψυχή μου,

171. Ἐφ. 2,7. 172. Ψαλμ. 65,16.
175. Β΄ Κορ. 4,6.

*δεῖξον θεότητος τῆς σῆς τρανῶς τὸ πρόσωπόν μοι*
*καὶ ἀοράτως ὅλος μοι φάνηθι, ὦ Θεέ μου!*
*Οὐδ᾿ ὅλως γὰρ ὁρᾶσαί μοι, ὅλος δὲ φαίνεσαί μοι·*
*ἄληπτος ὢν ὅλος ληπτὸς θέλεις καὶ γίνεσαί μοι,*
*ἀχώρητος ὢν τῷ παντὶ μικρὸς οὖν ὄντως γίνῃ,*
*καὶ ἐν χερσί μου οἱονεὶ καὶ ἐν τοῖς χείλεσί μου*
*ὥσπερ μαζὸς φωτοειδὴς καὶ γλυκασμὸς ὁρᾶσαι,*
*ἀστράπτων καὶ στρεφόμενος, ὢ μυστηρίου ξένου!*
*Δός μοι σαυτὸν οὕτω καὶ νῦν, ὅπως ἐμφορηθῶ σου,*
*ὅπως καταφιλήσω σου καὶ κατασπάσομαί σου*
*τὴν δόξαν τὴν ἀπόρρητον, τὸ φῶς τοῦ σοῦ προσώπου,*
*καὶ ἐμπλησθῶ καὶ μεταδῶ τότε τοῖς ἄλλοις πᾶσι*
*καὶ μεταστὰς ἔλθω πρὸς σέ, ὅλος δεδοξασμένος,*
*ἐκ τοῦ φωτός σου φῶς κἀγὼ γεγονὼς παραστῶ σοι*
*καὶ τότε τούτων τῶν πολλῶν κακῶν ἀμεριμνήσω,*
*φόβου ἀπαλλαγήσομαι τοῦ μὴ πάλιν τραπῆναι.*
*Ναί, τοῦτο δός μοι, Δέσποτα, ναί, τοῦτο χάρισαί μοι,*
*ὁ τἄλλα πάντα δωρεὰν δούς μοι τῷ ἀναξίῳ!*
*Τούτου γὰρ χρεία μάλιστα, τοῦτο τὸ πᾶν καὶ ἔστιν·*
*εἰ γὰρ καὶ νῦν ὁρᾶσαί μοι, εἰ γὰρ καὶ νῦν σπλαγχνίζῃ,*
*εἰ γὰρ καὶ νῦν φωτίζεις με καὶ μυστικῶς διδάσκεις*
*καὶ σκέπεις καὶ φυλάττεις με τῇ κραταιᾷ χειρί σου*
*καὶ συμπάρει καὶ δαίμονας τρέπεις καὶ ἀφανίζεις*
*καὶ πάντα ὑποτάσσεις μοι καὶ πάντα μοι παρέχεις*
*καὶ ἐμπιπλᾷς τῶν ἀγαθῶν ἁπάντων, ὦ Θεέ μου,*
*ἀλλὰ οὐδέν μοι ὄφελος τούτων, εἰ μή μοι δώσεις*
*ἀνεπαισχύντως παρελθεῖν τοῦ θανάτου τὰς πύλας.*
*Εἰ μὴ ὁ ἄρχων ἔλθοιε τοῦ σκότους καὶ τὴν δόξαν*
*ἴδοι συνοῦσάν μοι τὴν σὴν καὶ αἰσχυνθῇ εἰς ἅπαν,*

---

177. Ἐξ. 33,18 καὶ Ψαλμ. 79,4.
187. Ψαλμ. 4,7.

188. Ὁ Συμεὼν ζητώντας νὰ 'ἐμφορηθεῖ' ἀπὸ τὴ θεότητα δὲν ξεχνᾶ ὅτι εἶναι ἱερέας καὶ πρέπει, ἀφοῦ ἐμπλησθεῖ ὁ ἴδιος ἀπὸ τὸ φῶς τοῦ θείου προσώπου, νὰ τὸ μεταδώσει καὶ στοὺς ἄλλους.

τῆς θεότητάς σου δεῖξε μου τὸ πρόσωπο καθάρια,
κι ἀκέριος φανερώσου μου κι ἀόρατος, ὦ Θεέ μου!
Ἀκέριο δὲ σὲ βλέπω ἐγώ, μὰ φαίνεσαί μου ἀκέριος,
καὶ θὲς καὶ γίνεσαι νοητός, ἀσύλληπτος ἐνῶ εἶσαι,
κι ἐνῶ εἶσαι ἀχώρητος στὸ πᾶν, μικρὸς γίνεσαι ἀλήθεια
καὶ σάμπως μὲς στὰ χέρια μου μὰ καὶ στὸ στόμα ἀκόμα,
ὡσὰν μαστὸς μοῦ φαίνεσαι λαμπρὸς γεμᾶτος γλύκα,
ποὺ ἀστράφτει καὶ ποὺ στρέφεται, ὦ θαῦμα κι ὦ μυστήριο.
Δώσου ἔτσι τώρα καὶ σ' ἐμὲ ἀπὸ σένα νὰ γεμίσω,
νὰ σὲ φιλήσω ἀμέτρητες φορές, νὰ σ' ἀγκαλιάσω,
τὴ δόξα τὴν ἀνέκφραστη τὸ φῶς τοῦ πρόσωπού σου,
καὶ τότε ξεχειλίζοντας νά δώσω καὶ στοὺς ἄλλους.
κι ἀναχωρώντας νὰ σοῦ ρθῶ ντυμένος μὲ τὴ δόξα
ἀπὸ τὸ φῶς σου φῶς κι ἐγὼ παραστεκάμενός σου
καὶ γι' αὐτὰ τ' ἄφθονα κακὰ ν' ἀδιαφορήσω τότε
καὶ μὴ στραφῶ πάλι σ' αὐτὰ ν' ἀπαλλαγῶ ἀπ' τὸ φόβο.
Ναί, τοῦτο δόσμου, Κύριε, ναὶ τοῦτο χάρισέ μου,
ποὺ ὅλα τ' ἄλλα χάρισμα μοῦ ἔκανες τοῦ ἀνάξιου.
Ἀπ' ὅλα τοῦτο χρειάζομαι, τοῦτο καὶ τὸ πᾶν εἶναι.
Γιατὶ κι ἂν τώρα σὲ θωρῶ καὶ τώρα ἂν μὲ λυπᾶσαι,
κι ἂν μὲ ρωτᾶς καὶ μυστικὰ κι ἂν μὲ διδάσκεις τώρα,
μὲ σκέπεις κι ἂν μὲ τὸ κραταιὸ χέρι σου μὲ φυλάγεις
δίπλα μου στέκεις καὶ σκορπᾶς καὶ διῶχνεις τοὺς δαιμόνους,
ὅλα τὰ κάνεις σκλάβους μου κι ὅλα μοῦ τὰ παρέχεις
κι, ὦ Θεέ μου, ἀπ' ὅλα τ' ἀγαθὰ ἐσὺ μ' ἀπλοχερίζεις.
Μ' αὐτὰ γιὰ μένα ἀνώφελα μένουν ἂν δὲ μοῦ δώσεις
νὰ διαβῶ ἀνεπαίσχυντα τοῦ θανάτου τὶς πόρτες.
Ἂν δὲν μοῦ ἔρθει ὁ ἄρχοντας τοῦ σκότους κι ἀντικρίσει
νὰ μὲ τυλίγει ἡ δόξα σου κι ἀπ' τὴν ντροπὴ δὲ λιώσει,

194. Ἀποκ. 21,6.
198. Ἐξ. 33,22.

200. Ὁ ἐμπλησμὸς τῆς ψυχῆς ἀπὸ ὅλα τὰ ἀγαθὰ δὲν ὠφελεῖ, ἂν δὲν τοῦ δώσει ὁ Θεὸς νὰ διαβεῖ ἀνεπαίσχυντα τὶς πύλες τοῦ θανάτου.

ὁ σκοτεινὸς καταφλεχθεὶς ἀπροσίτῳ φωτί σου,
καὶ αἱ δυνάμεις ἅπασαι σὺν αὐτῷ ἐναντίαι
τραπήσονται σημείωσιν σφραγῖδος σῆς ἰδοῦσαι,
κἀγὼ δὲ διελεύσομαι θαρρῶν τῇ χάριτί σου,
ἀτρέμας ὅλος, καὶ πρὸς σὲ ἐγγίσω καὶ προσπέσω,
τί μοι τῶν νῦν τὸ ὄφελος ἐν ἐμοὶ γινομένων;
Ὄντως οὐδέν, ἀλλὰ τὸ πῦρ ἀνάψουσί μοι πλέον.
Ὁ γὰρ ἐλπίζων ἀγαθῶν καὶ αἰωνίου δόξης
ἐν μετοχῇ ὑπάρχειν με καὶ δοῦλόν σου καὶ φίλον,
εἰ στερηθῶ πάντων ὁμοῦ καὶ σοῦ αὐτοῦ, Χριστέ μου,
πῶς οὐχὶ χείρων ἔσται μοι τῶν ἀπίστων ἡ θλῖψις,
τῶν μὴ ἐπεγνωκότων σε, τῶν μὴ τὸ φῶς σου λάμψαν
ἰδόντων καὶ γλυκύτητος τῆς σῆς ἐμφορηθέντων;
Εἰ δὲ τυχεῖν μοι γένηται τῶν ἀρραβώνων τούτων
τὰ τέλη καὶ τὰ ἔπαθλα ἀπολήψεσθαι, Σῶτερ,
ἃ ἐπηγγείλω τοῖς εἰς σέ, Χριστέ, πεπιστευκόσι,
τότε κἀγὼ μακάριος ἔσομαι καὶ αἰνέσω
σέ, τὸν Πατέρα καὶ Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα,
Θεὸν τὸν ἕνα ἀληθῶς εἰς αἰῶνας αἰώνων.
Ἀμήν.

κι ἂν δὲν καεῖ ἀπ' τ' ἀπρόσιτον ὁ Σκοτεινὸς τὸ φῶς σου,
κι ἂν ὅλες οἱ ἀντίθετες μαζὶ μ' αὐτὸν δυνάμεις
δὲν πάρουν δρόμο βλέποντας τῆς σφραγίδας σου τὸ ἴχνος,
κι ἂν δὲν περάσω ἐγὼ ἀπ' αὐτὰ στὴ χάρη σου θαρρῶντας,
χωρὶς νὰ τρέμω, κι ἂν σ' ἐσὲ δὲν ἔρθω νὰ προσπέσω,
ποιά ὠφέλεια ἔχω ἐγὼ ἀπ' αὐτὰ ποὺ τώρα μοῦ συμβαίνουν;
Καμιά, καμιὰ μόν' τὴ φωτιὰ πιότερο θὰ μ' ἀνάψουν.
Ἐγὼ ποὺ ἐλπίζω σὲ ἀγαθὰ καὶ στὴν αἰώνια δόξα,
ὅτι μετέχω κι ὅτι εἶμαι καὶ δοῦλος σου καὶ φίλος,
ὅλα μεμιὰ ἂν τὰ στερηθῶ, μαζὶ κι ἐσὲ Χριστέ μου,
πῶς πιὸ βαριὰ ἡ θλίψη μου δὲ θά 'ναι ἀπ' τῶν ἀπίστων,
αὐτῶν ποὺ δὲν σὲ γνώρισαν καὶ δὲν εἶδαν τὸ φῶς σου
νὰ λάμπει καὶ δὲ γέμισαν ἀπ' τὴ γλυκύτητά σου;
Μ' ἂν νὰ πετύχω μοῦ δοθεῖ τὶς ὑποσχέσεις τοῦτες,
τὰ στέφανα καὶ τὰ ἔπαθλα, Σωτήρα, ν' ἀπολαύσω,
ὅσα ὑποσχέθηκες, Χριστέ, αὐτοὺς ποὺ σὲ πιστεύουν,
τότε κι ἐγὼ πανευτυχὴς θὰ γίνω καὶ θὰ ὑμνήσω,
Πατέρα ἐσένα καὶ Υἱὸ μαζὶ καὶ ἅγιο Πνεῦμα,
τὸν ἕνα Θεὸν ἀληθινὸ στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

---

208. Ἀποκ. 9,4.
216. Α΄ Τιμ. 5,8.
219. Ἐφ. 1,14.
221. Ἰω. 7,38.

## ΚΘ΄

**Ὅτι μόνοις ἐκείνοις καταφανῆ τὰ τῶν θείων πραγμάτων, οἷς διὰ τῆς μετουσίας τοῦ ἁγίου Πνεύματος ὅλος ὅλοις ἡνώθη Θεός.**

*Πόθεν ἔρχῃ, πῶς εἰσέρχῃ,*
*ἔνδοθεν τῆς κέλλης λέγω*
*πάντοθεν ἠσφαλισμένης;*
*Ξένον γὰρ καὶ τοῦτο ἔστιν*
*ὑπὲρ λόγον, ὑπὲρ νοῦν τε.*
*Τὸ δ᾽ ἐντός μου γίνεσθαί σε*
*ὅλον αἴφνης καὶ ἐκλάμπειν*
*καὶ φωτοειδῆ ὁρᾶσθαι*
*ὡς ὁλόφωτον σελήνην,*
*τοῦτο ἄνουν, ἄφωνόν με*
*ἀπεργάζεται, Θεέ μου.*
*Οἶδα, ὅτι σὺ ὑπάρχεις*
*ὁ ἐλθών, ἵνα φωτίσῃς*
*τοὺς ἐν σκότει καθημένους,*
*καὶ ἐξίσταμαι καὶ ἔξω*
*γίνομαι φρενῶν καὶ λόγων,*
*ὅτι βλέπω θαῦμα ξένον,*
*πᾶσαν κτίσιν, πᾶσαν φύσιν,*
*πάντα λόγον ὑπερβαῖνον.*
*Ὅμως ἄρτι πᾶσι λέξω,*

---

3. Ματθ. 27,64.
6. Λουκᾶ 17,21
14. Λουκᾶ 1,79.

## 29 *

**Ὅτι τὰ θεῖα πράγματα εἶναι ὁλοφάνερα μόνο σ' ἐκείνους μὲ τοὺς ὁποίους ἀκέραιους ἑνώθηκε ἀκέραιος ὁ Θεὸς διὰ τῆς μετουσίας τοῦ ἁγίου Πνεύματος.**

Ποῦθεν ἔρχεσαι, πῶς μπαίνεις
μέσα στὸ κελλί, ρωτοῦσα,
σφαλισμένο γύρω–γύρω;
Ναί, παράδοξο καὶ τοῦτο,
ἀπὸ νοῦ καὶ λόγο πέρα.
Μὰ νὰ μπαίνεις τώρα ἐντός μου
ὅλος ξάφνου καὶ νὰ λάμπεις
καὶ φωτόμορφος νὰ δείχνεις
σἄν ὁλόφωτη σελήνη,
τοῦτο τὸ μυαλὸ νὰ χάσω
κι ἄφωνο μὲ κάνει, Θεέ μου.
Ὅτι ὑπάρχεις σὺ γνωρίζω,
ποὺ ἔχεις ἔρθει νὰ φωτίσεις
ὅσους κάθονταν στὸ σκότος,
καὶ σαστίζω καὶ τὸ νοῦ μου
χάνω τώρα καὶ τὰ λόγια,
θαῦμα βλέποντας μεγάλο,
ποὺ ὅποια κτίση κι ὅποια φύση
ξεπερνᾶ μὰ κι ὅποιο λόγο.
Ὅμως τώρα θὰ πῶ σ' ὅλους

---

* Καὶ στὸν ὕμνο τοῦτο τὸν ἀπασχολεῖ ἡ δική του περίπτωση. Στὴν ἀρχὴ ἐκθέτει τὸ πάθος μὲ τὸ ὁποῖο ἐπέμενε ν' ἀναζητεῖ τὸ Θεὸ (–136). Πῶς ἔγινε καὶ ὁ Κύριος ἦρθε νὰ τὸν συναντήσει, εἶναι γι' αὐτὸν κάτι ἀκατανόητο (–245)· καὶ τέλος καλεῖ τοὺς ἀνθρώπους νὰ ἐπιμείνουν κι αὐτοὶ σὲ μιὰ ἀνάλογη ἀναζήτηση.

*ἃ χαρίζῃ μοι λαλῆσαι·*
*Ὦ ἀνθρώπων ἅπαν γένος,*
*βασιλέων καὶ ἀρχόντων,*
*πλούσιοί τε, πένητές τε,*
*μοναχοὶ καὶ κοσμικοί τε,*
*πᾶσα γλῶσσα γηγενῶν με*
*νῦν ἀκούσατε λαλοῦντα,*
*μέγεθος φιλανθρωπίας*
*τοῦ Θεοῦ διηγούμενον!*
*Ἥμαρτον αὐτῷ ὡς ἄλλος*
*ἄνθρωπος οὐδεὶς ἐν κόσμῳ·*
*μή με ταπεινώσει ταῦτα*
*ὑπολάβῃ τις τοῦ λέγειν,*
*ἀληθείᾳ ἥμαρτον γὰρ*
*ὑπὲρ ἅπαντας ἀνθρώπους*
*πᾶσαν πρᾶξιν ἁμαρτίας,*
*ἵνα συνελὼν σοι εἴπω,*
*καὶ κακίας εἰργασάμην.*
*Πλὴν ἐκάλεσέ με, οἶδα,*
*καὶ ὑπήκουσα εὐθέως.*
*Ποῦ δὲ κεκληκέναι τοῦτον*
*ὑπενόησας εἰπεῖν με;*
*Μὴ πρὸς δόξαν τὴν τοῦ κόσμου*
*ἢ τρυφάς με ἢ ἀνέσεις,*
*ἀλλὰ μὴ πρὸς πλοῦτον ὅλως*
*ἢ φιλίαν με ἀρχόντων*
*ἢ προς ἄλλο τι τῶν ὧδε*
*ἐν τῷ βίῳ ὁρωμένων;*
*Ἄπαγε τῆς βλασφημίας!*
*Πρὸς μετάνοιαν δὲ εἶπον,*
*ὅτι κέκληκέ με μᾶλλον,*
*καὶ εὐθέως τῷ καλοῦντι*
*ἠκολούθησα Δεσπότῃ·*

---

**43. Ματθ. 4,8.**

τί μ’ ἀφήνεις νὰ κηρύξω;
῏Ω γενιὰ ὅλων τῶν ἀνθρώπων,
βασιλιάδες καὶ ὅλοι οἱ ἀρχόντοι,
πλούσιοι ἀντάμα καὶ φτωχοί,
μοναχοὶ καὶ κοσμικοὶ
κι ὅποια γλώσσα τῶν γηίνων
σᾶς μιλῶ τώρα κι ἀκοῦστε,
τῆς φιλανθρωπίας τὸν πλοῦτο
τοῦ Θεοῦ νὰ σᾶς διηγοῦμαι.
῞Ημαρτον σ’ αὐτὸν σὰν ἄλλος
ἄνθρωπος κανεὶς στὸν κόσμο.
Μὴ νομίσετε πὼς τοῦτο ἀπὸ
ταπείνωση σᾶς λέγω.
Στὴν ἀλήθεια ἔχω ἁμαρτήσει
πάνω ἀπ’ ὅλους τοὺς ἀνθρώπους.
Κάθε σφάλμα κι ἁμαρτία
– γιὰ νὰ πῶ μὲ συντομία –
καὶ κακία ἔχω διαπράξει.
Πλῆν μὲ κάλεσε, τὸ ξέρω,
κι ἔτρεξα στὸ κάλεσμά του.
Καὶ ποῦ αὐτὸς μ’ ἔχει καλέσει
νόμισες πὼς θὰ σοῦ πῶ;
Στὴ δόξα τάχα τοῦ κόσμου,
στὶς τρυφὲς καὶ τὶς ἀνέσεις
καὶ στὰ πλούτη τάχα ἀκόμα
στὴ φιλία μὲ τοὺς ἀρχόντους
ἢ κάποιο ἄλλο ἀπὸ τὰ ἐδῶ
ποὺ στὸ βίο αὐτὸν συμβαίνουν;
Πέρα ἂς πάει ἡ βλασφημία!
Σὲ μετάνοια ἐννοοῦσα
ὅτι αὐτὸς μ’ ἔχει καλέσει,
κι εὐθὺς τὸν ποὺ μὲ καλοῦσε
ἀκολούθησα δεσπότη.

53. Ματθ. 4,21–22.

τρέχοντι οὖν κατέτρεχον,
φεύγοντι οὖν ἐδίωκον
ὡς τὸν λαγωὸν ὁ κύων.
Μακρυνθέντος ἀπ' ἐμοῦ δὲ
καὶ κρυβέντος τοῦ Σωτῆρος
οὐκ ἀπήλπιζον ἔγωγε,
οὐδ' ὡς ἀπολέσας τοῦτον
ἐστρεφόμην εἰς τοὐπίσω,
ἀλλ' ἐν ᾧ εὑρέθην τόπῳ
καθεζόμενος ἐθρήνουν,
ἔκλαιον καὶ ἀντεκάλουν
τὸν κρυβέντα μοι Δεσπότην.
Οὕτως οὖν κυλινδομένῳ
καὶ βοῶντί μοι ὡρᾶτο,
ἔγγιστά μου πλησιάσας.
Τοῦτον βλέπων ἀνεπήδων,
ὥρμων δράξασθαι αὐτοῦ δέ,
ἔφευγεν ἐκεῖνος τάχος,
ἔτρεχον ἐγὼ εὐτόνως,
ἐδρασσόμην οὖν πολλάκις
τοῦ κρασπέδου τούτου φθάνων,
ἵστατο μικρὸν ἐκεῖνος,
ἔχαιρον ἐγὼ μεγάλως,
καὶ ἀφίπτατο, καὶ πάλιν
κατεδίωκον καὶ οὕτως
ἀπιόντος, ἐρχομένου,
κρυπτομένου, φαινομένου
οὐκ ἐστράφην εἰς τοὐπίσω,
οὐ κατώκνησα οὐδ' ὅλως,
οὐκ ἐνέδωκα τοῦ τρέχειν,
οὐδ' ὡς πλάνον ἡγησάμην

61. Ματθ. 24,18. 63. Ψαλμ. 136,1.
69. Ματθ. 10,50. 81. Ματθ. 24,18.

Σὰν ἔτρεχε ἔτρεχα λοιπόν,
τὸν κυνηγοῦσα ἂν ἔφευγε
ὅπως τὸ λαγὸν ὁ σκύλος.
Σὰν ξεμάκρυνε ἀπὸ μένα
κι ὁ σωτήρας μου ἐκρύφτη,
δὲν μὲ ἀφήσανε οἱ ἐλπίδες
οὔτε ὡς νὰ τὸν εἶχα χάσει
ἐστρεφόμουν πρὸς τὰ πίσω,
μὰ στὸν τόπο ὅπου βρισκόμουν
ἐκαθόμουν καὶ θρηνοῦσα
κι ἀντιφώναξα μὲ κλάμα
τὸ Δεσπότη μου ποὺ ἐκρύφτη.
Καὶ λοιπὸν ἔτσι ὡς κυλιόμουν
κι ὅπως φώναζα μοῦ ἐρχόταν
καὶ τὸν ἔβλεπα κοντά μου.
Πεταγόμουν βλέποντάς τον
καὶ νὰ τὸν ἀδράξω ὁρμοῦσα·
ἔφευγε γοργὰ ἐκεῖνος
κι ἐγὼ ἔτρεχα μὲ πεῖσμα
κι ἄδραχνα λοιπὸν συχνὰ
φτάνοντας τὸ κράσπεδό του.
Στέκονταν γιὰ λίγο ἐκεῖνος
κι ἡ χαρά μου ἦταν μεγάλη·
μὰ μοῦ ξέφευγε καὶ πάλι
γὼ τὸν κυνηγοῦσα κι ἔτσι
μιὰ νὰ φεύγει μιὰ νὰ στέκει,
νὰ τὸν χάνω ἢ νὰ τὸν βλέπω,
δὲν ἐστράφηκα πιὰ πίσω,
δὲ βαρέθηκα καθόλου,
δὲν κουράστηκα νὰ τρέχω,
δὲν τὸν πῆρα ὡς ἀπατεώνα

---

63–64. Οἱ δύο στίχοι ἀνακαλοῦν ὅλη τὴ συγκίνηση ποὺ διακατέχει τὶς ψυχὲς τῶν ἐξόριστων στὴ Βαβηλώνα Ἰουδαίων.

*ἢ πειράζοντά με ὅλως,*
*ἀλλὰ πάσῃ μου ἰσχύϊ,*
*ἀλλὰ πάσῃ μου δυνάμει*
*μὴ ὁρώμενον ἐζήτουν,*
*τὰς ὁδοὺς περιεσκόπουν*
*καὶ φραγμούς, τὸ ποῦ φανεῖται·*
*ἐπληρούμην τε δακρύων*
*καὶ τοὺς πάντας ἐπηρώτων,*
*τούς ποτε αὐτὸν ἰδόντας.*
*Τίνας δὲ ὑπολαμβάνεις*
*λέγειν με, ὅτι ἠρώτων;*
*Τοὺς σοφοὺς τοῦ κόσμου τούτου*
*ἢ τοὺς γνωστικούς με οἴει;*
*Οὔμενον, ἀλλὰ προφήτας,*
*ἀποστόλους καὶ πατέρας,*
*τοὺς σοφοὺς ἐν ἀληθείᾳ*
*τοὺς αὐτὴν ἐκείνην ὅλην*
*τὴν σοφίαν κεκτημένους,*
*ὅς ἐστιν αὐτὸς ἐκεῖνος*
*ὁ Χριστὸς Θεοῦ σοφία.*
*Τούτους οὖν μετὰ δακρύων*
*καὶ σφοδροῦ καρδίας πόνου*
*ἐπηρώτων τοῦ εἰπεῖν μοι,*
*ποῦ ποτε αὐτὸν κατεῖδον*
*ἢ ἐν ποίῳ τοῦτον τόπῳ,*
*εἴτε πῶς καὶ ποίῳ τρόπῳ·*
*καὶ λεγόντων μοι ἐκείνων*
*ἔτρεχον δυνάμει πάσῃ,*
*οὐκ ἐκάθευδον οὐδ' ὅλως,*
*ἀλλ' ἐβίαζον ἐμαυτόν.*
*Ὅθεν βλέπων μου τὸν πόθον*
*καθωρᾶτό μοι μετρίως,*

---

85. Ἰακ. 1,13. 86. Λουκᾶ 10,27. 87. Σοφ. Σειρ. 7,30.

οὔτε πῶς μ' ἔπαιζε τάχα.
Μὰ μὲ δύναμη ὅσην εἶχα
καὶ τὸ σθένος πού 'χα ἐντός μου,
ἂν χανόταν τὸν ζητοῦσα,
ὅλο κοίταζα στοὺς δρόμους
κι ἀπὸ ποιόν θὲ νὰ προβάλει
φράχτη· κι ἔτρεχαν τὰ δάκρυα
καὶ ρωτοῦσα ὅλους ἀράδα
ποὺ τὸν εἶχαν συναντήσει.
Ἀλλὰ ποιούς νομίζεις τάχα
πῶς σοῦ λέγω ὅτι ρωτοῦσα;
Τοὺς σοφοὺς τοῦ κόσμου τούτου
ἢ θαρρεῖς τοὺς σπουδασμένους;
Σίγουρα ὄχι ἀλλὰ προφῆτες
κι ἀποστόλους καὶ πατέρες,
τοὺς ἀληθινὰ σοφούς,
ποὺ τὴν ἴδια αὐτὴ σοφία
εἶχαν ὅλοι ἀποχτήσει,
ποὺ εἶναι αὐτὸς ἐκεῖνος ὁ ἴδιος
ὁ Χριστός, τοῦ Θεοῦ ἡ σοφία.
Εἶναι αὐτοὶ λοιπὸν μὲ δάκρυα
καὶ καρδιᾶς μεγάλο πόνο
ποὺ ρωτοῦσα νὰ μοῦ ποῦνε
ποῦ τὸν εἶχαν συναντήσει
καὶ σὲ ποιόνε τάχα τόπο
ἢ καὶ πῶς καὶ μὲ ποιό τρόπο.
Κι ὅταν μοῦ 'λεγαν ἐκεῖνοι,
ἔτρεχα ὅσο πιὸ μποροῦσα,
δὲν κοιμόμουνα καθόλου,
μὰ ἔβιαζα τὸν ἑαυτό μου.
Τὴν ἀγάπη μου θωρῶντας
μοῦ δειχνόταν μετρημένα

93. Ἆισμα 3,3. 96. Α' Κορ. 1,20 καὶ 27. 104. Α' Κορ. 1,24.

*ὅνπερ βλέπων –ὡς προεῖπον–*
*κατεδίωκον εὐτόνως.*
*Ὡς οὖν εἶδέ με τὰ πάντα*
*εἰς οὐδὲν ἡγησάμενον,*
*ἀλλὰ πάντα τὰ ἐν κόσμῳ,*
*σὺν αὐτῷ τῷ κόσμῳ λέγω,*
*καὶ τοὺς ἐν τῷ κόσμῳ πάντας*
*ὡς μὴ ὄντας ἐν αἰσθήσει*
*λογιζόμενον ἐκ ψυχῆς*
*καὶ τοῦ κόσμου χωρισθέντα*
*τῇ τοιαύτῃ διαθέσει,*
*ὅλος ὅλῳ μοι ὡράθη,*
*ὅλος ὅλῳ μοι ἡνώθη*
*ὁ τοῦ κόσμου πέλων ἔξω*
*καὶ τὸν κόσμον περιφέρων*
*μετὰ τῶν ἐν κόσμῳ πάντων*
*καὶ χειρὶ συνέχων μόνῃ*
*ὁρατὰ σὺν ἀοράτοις.*
*Οὗτος οὖν, ἀκούσατέ μου,*
*συναντήσας εὕρατό με·*
*πόθεν, πῶς ἐλθών, οὐκ οἶδα.*
*Πῶς γὰρ ἔμελλον εἰδέναι,*
*πόθεν ἦλθεν, ὃν ἀνθρώπων*
*οὐδεὶς πώποτε οὐκ εἶδεν,*
*οὔτε ἔγνω ποῦ ὑπάρχει,*
*ποῦ ποιμαίνει, ποῦ κοιτάζει;*
*Ὅλως γὰρ οὐ καθορᾶται,*
*ὅλως οὐ κατανοεῖται,*
*ἐνοικεῖ δὲ ἀπροσίτῳ*
*ἐν φωτὶ καὶ φῶς ὑπάρχει*
*τρισυπόστατον ἀφράστως*
*ἐν ἀπεριγράπτοις χώροις,*
*ἀπερίγραπτος Θεός μου,*
*εἷς Πατήρ, Υἱὸς ὡσαύτως*

---

118. Φιλ. 3,12. 120. Φιλ. 3,8. 138. Ἰω. 3,8.

καὶ θωρώντας τον ὡς προεῖπα
τὸν καταδίωκα μὲ πεῖσμα.
Κι ὅταν μ' εἶδε ὅτι τὰ πάντα
σὰν μηδὲν τὰ θεωροῦσα,
ἀλλὰ ὅσα στὸν κόσμο ὑπῆρχαν
μὲ τὸν ἴδιο κόσμο ἀντάμα
καὶ στὸν κόσμο μέσα ὅσοι ἦταν
σὰν ἀνύπαρκτους στ' ἀλήθεια
νὰ τοὺς βλέπω ἀπ' τὴν ψυχή μου
κι ἀπ' τὸν κόσμο νὰ 'μαι χώρια
ἀπ' τὸ πάθος μου τὸ μέγα
ὅλος σ' ὅλο πιὰ μοῦ ἐδείχτη,
ὅλος μὲ ὅλο ἐμένα ἑνώθη
αὐτὸς πού 'ναι ἔξω ἀπ' τὸν κόσμο
καὶ τὸν κόσμο ὅλο σηκώνει
μὲ ὅλα ὅσα περιέχει ὁ κόσμος,
συγκρατεῖ μὲ τὄνα χέρι
ὅσα βλέπεις καὶ δὲ βλέπεις.
Λοιπὸν τοῦτος καὶ ἀκοῦστε
μὲ συνάντησεν αἰφνίδια·
ποῦθεν ἦρθε, πῶς; δὲν ξέρω.
Πῶς μποροῦσα νὰ γνωρίζω
ποῦθεν ἦρθε ποὺ κανένας
ἄνθρωπος δὲν ξέρει ὥς τώρα
οὔτε κι ἔμαθε ποῦ ὑπάρχει,
ποῦ βοσκίζει, ποῦ σταλιάζει
εἶναι ἀόρατος ὡς πέρα
μὰ κι ἀκατανόητος πάλι,
σ' ἀπλησίαστο μένει μέρος,
μὲς στὸ φῶς ζεῖ καὶ φῶς εἶναι
ἄφραστο, τρεῖς ὑποστάσεις
σ' ἔκταση μὲ δίχως ὅρια,
ἀπεριόριστος Θεός μου,
Πατέρας ἕνας, Υἱὸς ἕνας,

140. Α' Τιμ. 6,16. 142. Ἆισμα 1,7. 145. Α' Τιμ. 6,16.

*σὺν τῷ Πνεύματι τῷ θείῳ,*
*ἓν τὰ τρία καὶ τὰ τρία*
*εἷς Θεὸς ἀνερμηνεύτως.*
*Λόγος γὰρ οὐκ ἐξισχύει*
*τὰ ἀνέκφραστα ἐκφράσαι,*
*οὐδὲ νοῦς σαφῶς νοῆσαι·*
*τὰ γὰρ ἐν ἡμῖν σοι μόλις*
*ἐξειπεῖν ποσῶς ἰσχύω,*
*ἑρμηνεῦσαι δέ σοι ταῦτα*
*οὔτ᾽ ἐγώ, οὔτε τις ἄλλος*
*τοῦτο ὅλος ἐξισχύσει.*
*Πῶς Θεὸς τῶν πάντων ἔξω,*
*τῇ οὐσίᾳ καὶ τῇ φύσει,*
*τῇ δυνάμει καὶ τῇ δόξῃ,*
*πανταχοῦ δὲ πῶς κ᾽ ἐν πᾶσι,*
*κατ᾽ ἐξαίρετον δὲ τούτων*
*ἐνοικεῖ ἐν τοῖς ἁγίοις*
*καὶ σκηνεῖ γνωστῶς ἐν τούτοις*
*καὶ οὐσιωδῶς, ὁ πάμπαν*
*ὑπερούσιος ὑπάρχων;*
*Πῶς συνέχεται ἐν σπλάγχνοις*
*ὁ συνέχων πᾶσαν κτίσιν,*
*πῶς δὲ λάμπει ἐν καρδίᾳ,*
*τῇ σαρκίνῃ καὶ παχείᾳ,*
*πῶς καὶ ἔνδον ταύτης ἔστι,*
*πῶς καὶ ἔξω πέλει πάντων*
*καὶ πληροῖ αὐτὸς τὰ πάντα,*
*ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ*
*λάμπει καὶ οὐ καθορᾶται;*
*Ταῦτα πάντα νοῦς, εἰπέ μοι,*
*ὁ ἀνθρώπινος νοήσει*
*ἢ εἰπεῖν σοι ἐξισχύσει;*

---

168. Ἰω. 1,14. 173. Β' Κορ. 4,6.

κι ἕνα καὶ τὸ θεῖο τὸ Πνεῦμα,
τρία τὸ ἕνα καὶ τὰ τρία
ἀνερμήνευτος Θεὸς ἕνας.
Γιατὶ δὲν μπορεῖ ὁ λόγος λείπει
ὅσα ἀνέκφραστα νὰ ἐκφράσει
οὔτε ὁ νοῦς νὰ καταλάβει.
Μόλις ὅσα ἐντός μου ὑπάρχουν
μπορῶ κάπως νὰ σοῦ ἐκφράσω,
ἀλλὰ νὰ σοῦ τὰ ἑρμηνεύσω
οὔτε ἐγὼ ἢ ἄλλος κανένας
θὰ μπορέσει νὰ τὸ κάνει.
Πῶς ὁ Θεὸς ἔξω ἀπ' τὰ πάντα
στὴν οὐσία καὶ στὴ φύση
καὶ στὴ δύναμη καὶ δόξα,
καὶ πῶς πανταχοῦ καὶ σ' ὅλα
κι ἐξαιρετικὰ ἀπὸ τοῦτα
κατοικεῖ, κατασκηνώνει
στοὺς ἁγίους κι αὐτοὶ τὸν νιώθουν
στὴν οὐσία πέρα ὡς πέρα
ὑπερούσιος πὼς ὑπάρχει;
Πῶς περικλείεται στὰ σπλάχνα
ὁ ποὺ περικλειεῖ τὸ σύμπαν;
Πῶς μὲς στὴν καρδιά μας λάμπει
ποὺ πηχτή, πυκνὴ εἶναι σάρκα;
πῶς καὶ μέσα σ' αὐτὴν εἶναι,
πῶς καὶ πάλι ἀπ' ἔξω ἀπ' ὅλα
κι ὅλα τὰ γεμίζει ὡστόσο
μέρα νύχτα, νύχτα μέρα
κι οὔτε φαίνεται κι ἂς λάμπει;
Ὅλα αὐτὰ ὁ νοῦς γιὰ πές μου
τῶν ἀνθρώπων θὰ νοήσει
ἢ νὰ ἐκφράσει θὰ μπορέσει;

177. Ἐφ. 4,10.

*Οὐμενον, οὐκ ἄγγελός σοι,*
*οὐκ ἀρχάγγελος ἐξείποι,*
*οὐδὲ παραστῆσαι ταῦτα*
*διὰ λόγου δυνηθείη.*
*Ταῦτα οὖν Θεοῦ τὸ Πνεῦμα,*
*Θεῖον ὄν, μόνον γινώσκει*
*καὶ ἐπίσταται ὡς μόνον*
*συμφυὲς καὶ σύνθρονόν τε*
*καὶ συνάναρχον ὑπάρχον*
*τῷ Υἱῷ καὶ τῷ Πατρὶ δέ·*
*οἷς οὖν λάμψει τοῦτο αὖθις,*
*οἷς καὶ συναφθῇ πλουσίως*
*πάντα δείκνυσιν ἀφράστως,*
*ἔργῳ σοι τὰ πάντα λέγω.*
*Ὥσπερ γὰρ τυφλός, εἰ βλέψει,*
*βλέπει μὲν τὸ φῶς ἐν πρώτοις,*
*ἔπειτα καὶ πᾶσαν κτίσιν,*
*τὴν ἐν τῷ φωτὶ –ὢ θαῦμα!–*
*οὕτως ὁ ληφθεὶς τῷ Θείῳ*
*Πνεύματι ψυχὴν εὐθέως*
*τοῦ φωτὸς ἐν μετουσίᾳ*
*γίνεται καὶ φῶς θεᾶται,*
*φῶς Θεοῦ, Θεόν τε πάντως,*
*ὃς καὶ δείκνυσι τὰ πάντα,*
*μᾶλλον δὲ ὅσα κελεύει,*
*ὅσα βούλεται καὶ θέλει.*
*Οὓς φωτίσει τῇ ἐλλάμψει,*
*τούτοις δίδωσι τὸ βλέπειν*
*τὰ ἐν τῷ φωτὶ τῷ θείῳ.*
*Ἀναλόγως τῆς ἀγάπης,*
*φυλακῆς τῶν ἐντολῶν δέ,*
*φωτιζόμενοι ὁρῶσι*

---

187. Α΄ Κορ. 2,11. 195. Ἰω. 14,26.

Ὄχι βέβαια· ἄγγελος κάποιος
οὔτε ἀρχάγγελος νὰ ἐκφράσει
οὔτε καὶ νὰ παραστήσει
μὲ τὸ λόγο θὰ μπορέσει.
Τοῦ Θεοῦ λοιπὸν τὸ Πνεῦμα
πού 'ναι Θεός, μόνο γνωρίζει
καὶ καλὰ ξέρει, ἀφοῦ μόνο
σύμφυτο καὶ σύνθρονό τους
καὶ συνάναρχό τους εἶναι
μὲ τὸν Υἱὸ καὶ τὸν Πατέρα·
καὶ σ' αὐτοὺς λοιπὸν ποὺ λάμψει
κι ἑνωθεῖ μαζί τους πλούσια
ἄφραστα ὅλα φανερώνει
–γιὰ ὅλα σοῦ μιλῶ ἀπ' τὴν πράξη–.
Σὰν τυφλὸς ποὺ βρεῖ τὸ φῶς του,
τὸ φῶς πρῶτα πρῶτα βλέπει,
κι ἔπειτα κι ὅλη τὴν κτίση
μὲς στὸ φῶς λουσμένη, ὢ θαῦμα,
Ἔτσι κι ὅποιου ἀπ' τ' ἅγιο Πνεῦμα
ἡ ψυχὴ λαμπρύνθη, ἀμέσως
ἔρχεται σὲ μετουσία
τοῦ φωτὸς καὶ φῶς κοιτάζει,
φῶς τοῦ Θεοῦ καὶ Θεὸ στ' ἀλήθεια
ποὺ τοῦ δείχνει καὶ τὰ πάντα
ἢ μᾶλλον ὅσα προστάζει
ὅσα ἐπιθυμεῖ, ὅσα θέλει.
Ὅποιους λάμψει καὶ φωτίσει
σ' αὐτοὺς δίνει νὰ κοιτάζουν
ὅσα εἶναι στὸ φῶς τὸ θεῖο.
Σύμφωνα μὲ τὴν ἀγάπη
καὶ τῶν ἐντολῶν τὴν πράξη,
ὅταν φωτιστοῦνε βλέπουν

---

209. Β΄ Κορ. 4,5. 212. Ἰω. 14,15.

*καὶ μυοῦνται ἀποκρύφων*
*μυστηρίων θείων βάθος.*
*Ὥσπερ εἴ τις ἐν οἰκίᾳ*
*σκοτεινῇ κρατῶν εἰσέλθοι*
*ἐν χειρὶ αὐτοῦ λαμπάδα,*
*ἢ προάγοντος ἑτέρου*
*καὶ κατέχοντος τὸν λύχνον,*
*αὐτὸς καθορᾷ τὰ ἔνδον*
*τῆς οἰκίας ὄντα, οὕτως*
*ὁ λαμπόμενος ἀκτῖσι*
*νοητοῦ φαιδρῶς ἡλίου*
*βλέπει τὰ τοῖς ἄλλοις πᾶσιν*
*ἀγνοούμενα καὶ λέγει,*
*πλὴν οὐ πάντα, ἀλλὰ ὅσα*
*λόγῳ φράσαι δυνηθείη.*
*Τίς γὰρ πώποτε δηλῶσαι*
*τὰ ἐκεῖσε ἐξισχύσει*
*οἷα, ὅσα, ποταπά τε,*
*ἀκατάληπτά τε ὄντα*
*καὶ ἀόρατα τοῖς πᾶσιν;*
*Ἀνειδέων γὰρ τὸ εἶδος,*
*τὴν ποσότητα ἀπόσων,*
*κάλλος ἀκατανοήτων*
*τίς νοήσει, πῶς μετρήσει,*
*πῶς εἰπεῖν ὅλως ἰσχύσει;*
*Τῶν ἀμόρφων τὰς μορφὰς δὲ*
*πῶς τῷ λόγῳ διαγράψει;*
*Πάντως οὐδαμῶς, ἐρεῖς μοι.*
*Ἀλλ᾽ ἐκεῖνοι μόνοι ταῦτα*
*ἴσασιν οἱ καθορῶντες.*
*Διὸ μὴ λόγοις, ἀλλ᾽ ἔργοις*
*σπεύσωμεν τοῦ ἐκζητῆσαι,*
*ἰδεῖν τε καὶ διδαχθῆναι*
*θείων μυστηρίων πλοῦτον,*

σ' ὅσα ἀπόκρυφα μυοῦνται
στῶν θείων μυστηρίων τὸ βάθος.
Ὅπως κάποιος μὲς σὲ σπίτι
σκοτεινὸ ἂν βρεθεῖ κρατώντας
μὲ τὸ χέρι του λαμπάδα
ἢ μπροστά του ἄλλος πηγαίνει
φέγγοντας μὲ τὸ λυχνάρι
κι αὐτὸς ἐρευνᾶ τὰ ὅσα
μὲς στὸ σπίτι ὑπάρχουν, ἔτσι
κι ὅποιος λάμπει ἀπ' τὶς ἀκτίνες
τοῦ νοητοῦ ἡλίου μὲ χάρη
βλέπει ὅσα οἱ ἄλλοι ὅλοι
δὲ γνωρίζουνε καὶ λέει
πλὴν ὄχι ὅλα, παρὰ ὅσα
ὁ λόγος του μπορεῖ νὰ ἐκφράσει.
Ποιός ποτὲ θὲ νὰ μπορέσει
τὰ ἐκεῖ νὰ φανερώσει
ὅποια κι ὅσα κι ὁποιου εἴδους
καὶ ἀκατανόητα ποὺ εἶναι
καὶ κανεὶς ποὺ δὲν τὰ βλέπει;
Τὸ εἶδος τῶν ποὺ εἶδος δὲν ἔχουν,
τὸ ποσὸ τῶν ποὺ ἄποσα εἶναι,
τῶν ἀκατανόητων τὸ κάλλος
νὰ νοήσει, πῶς νὰ μετρήσει,
νὰ τὰ πεῖ κἂν θὰ μπορέσει;
Ὄντων ἄμορφων μὲ λόγο
τὶς μορφὲς πῶς θὰ διαγράψει;
Θὰ μοῦ πεῖς, βέβαια καθόλου.
Ἀλλὰ αὐτὰ τὰ ξέρουν μόνο
ὅποιοι μὲ τὸ νοῦ τὰ βλέπουν.
Γι' αὐτὸ ὄχι μὲ λόγια μὰ ἔργα
νὰ ζητήσομε ἂς βιαστοῦμε,
νὰ δοῦμε, νὰ διδαχτοῦμε
τῶν μυστηρίων του τὰ πλοῦτη

248. Κολ. 1,27.

*ὃν δωρεῖται ὁ Δεσπότης*
*τοῖς ἐμπόνως ἐκζητοῦσι*
*καὶ παντὸς τοῦ κόσμου λήθην*
*καὶ τῶν ἐν αὐτῷ πραγμάτων*
*ἐναργῶς προσκτησαμένοις.*
*Ὁ γὰρ ἐκζητῶν ἐκεῖνα*
*ὁλοψύχῳ προαιρέσει,*
*πῶς οὐχὶ τῶν τῇδε πάντων*
*ἀληθῶς ἀμνημονήσει*
*καὶ γυμνὸν τὸν νοῦν ἐκ τούτων*
*κτήσεται καὶ πάντων ἔξω*
*εὑρεθήσεται εὐθέως*
*μόνος; Ὃν ἰδὼν ὁ μόνος*
*Θεὸς μόνον δι' ἐκεῖνον*
*γεγονότα καὶ τὸν κόσμον*
*ἀρνησάμενον καὶ πάντα*
*τὰ τοῦ κόσμου, μόνος μόνον*
*εὑρηκὼς ἑνοῦται τούτῳ.*
*Ὢ φρικτῆς οἰκονομίας,*
*ὢ χρηστότητος ἀρρήτου!*
*Τὰ δ' ἐντεῦθεν μὴ ἐρώτα,*
*μὴ ἐρεύνα, μὴ ἐκζήτει!*
*Εἰ γὰρ πλῆθος τῶν ἀστέρων*
*ἢ ὅλως ὑετοῦ σταγόνας*
*εἴτε ψάμμον ἀριθμῆσαι,*
*ἀλλὰ καὶ λοιπῶν κτισμάτων*
*τὰ μεγέθη τε καὶ κάλλη*
*ἢ τὰς φύσεις καὶ τὰς θέσεις*
*ἢ τὰς τούτων τε αἰτίας,*
*ὥς εἰσιν, οὐδεὶς ἰσχύσει*
*ἢ εἰπεῖν ἢ ἐννοῆσαι,*
*πῶς τοῦ κτίστου δυνηθείη*

---

255. Δευτ. 4,29. 271. Ψαλμ. 146,4.

ποὺ χαρίζει ὁ Δεσπότης
σ' ὅποιους τὸν ζητοῦν μὲ μόχθο
κι ἔχουν ὅλου αὐτοῦ τοῦ κόσμου
κι ὅσων τοῦτος περιέχει
λήθη φανερὰ ἀποχτήσει.
Κι ὅποιος μ' ὅλη τὴν καρδιά του
ψάχνει τὰ μυστήρια ἐκεῖνα
πῶς τὰ πάντα ἐδῶ κάτω
δὲ θὰ τὰ ξεχάσει ἀλήθεια
καὶ γυμνὸ δὲ θὰ ἀποκτήσει
ἀπ' αὐτὰ τὸ νοῦ κι ἀπ' ὅλα
πῶς δὲ θὰ βρεθεῖ ἔξω ἀμέσως
μόνος; Κι ὁ Θεὸς ὁ μόνος,
ὅταν εἶδε ὅτι γιὰ κεῖνον
μόνος ἔγινε κι ἀρνήστη
ὅλο τὸν κόσμο κι ὅσα ὁ κόσμος
ἔχει, μόνος μ' αὐτὸν μόνο
ἑνώθηκε, μόλις τὸν βρῆκε.
Ὢ οἰκονομία νὰ φρίττεις,
καλοσύνη ἀνεκδιήγητη!
Μὴ ρωτᾶς γιὰ τὰ πιὸ πέρα,
μὴν τ' ἀναζητεῖς, μὴν ψάχνεις,
ἂν τῶν ἀστεριῶν τὸ πλῆθος
ἢ τῆς μπόρας τὶς ψιχάλες
ἢ τὴν ἄμμο νὰ μετρήσει
μὰ καὶ τῶν λοιπῶν κτισμάτων
τὰ μεγέθη καὶ τὰ κάλλη
καὶ τὴ φύση ἢ καὶ τὴ θέση
ἢ καὶ τὶς αἰτίες τούτων,
πῶς εἶναι νὰ πεῖ κανένας
δὲν μπορεῖ ἢ νὰ ἐννοήσει,
πῶς τοῦ κτίστη θὰ μπορέσει

---

273. Σοφ. Σειρ. 1,2.

*ἐξειπεῖν τὴν εὐσπλαγχνίαν,*
*ἣν ἐνδείκνυται, μεθ' ὧνπερ*
*ἑνωθῇ ψυχῶν ἁγίων;*
*Πάντως γὰρ θεοῖ κἀκείνας*
*τῇ ἑνώσει τῇ οἰκείᾳ·*
*θεωθείσης ψυχῆς τοίνυν*
*ὁ βουλόμενος τοῦ λέγειν*
*τρόπους ταύτης ἢ τὴν φύσιν,*
*τὴν διάθεσιν, τὴν γνώμην,*
*ἢ τὰ κατ' αὐτὴν σοι πάντα*
*διηγεῖσθαι, ὡς οὐκ οἶδε,*
*ποταπός σοι διὰ λόγου παραστῆσαι*
*ὁ Θεός ἐστιν, πειρᾶται.*
*Ἀλλ' οὐκ ἔξεστι τοιαῦτα*
*ἐκζητεῖν τοὺς ἐν τῷ κόσμῳ*
*ἢ τοὺς κατὰ σάρκα ζῶντας,*
*ἀλλὰ πίστει μόνῃ ταῦτα*
*δεχομένους ἐκμιμεῖσθαι*
*βίους τῶν ἁγίων πάντων,*
*δάκρυσι καὶ μετανοίᾳ*
*καὶ λοιπῇ σκληραγωγίᾳ,*
*πειρασμῶν ὑπομονῇ τε*
*τρέχειν, ὅπως ἔξω κόσμου*
*γένωνται, ὡς εἴρηταί μοι,*
*καὶ εὑρήσουσιν, ὡς εἶπον,*
*ἅπαντα ἀπαραλείπτως.*
*Ἐκπλαγήσονται δ' εὑρόντες*
*καὶ θαυμάσονται κἀμοῦ δὲ*
*καὶ τοῦ ἀθλίου ὑπερεύξονται,*
*ἵνα τούτων μὴ ἐκπέσω,*
*ἀλλ' αὐτῶν ἐκείνων τύχω,*
*ὧνπερ καὶ τυχεῖν ἐπόθουν*
*καὶ ποθῶ καὶ πόθῳ πόθον*
*ἀμαυρῶ καὶ ἀπαμβλύνω.*

---

298. Ἑβρ. 13,7.

πόση εἶναι ἡ εὐσπλαχνία νὰ δείξει,
ποὺ ἐκδηλώνει στὶς ψυχὲς
τῶν ἁγίων ποὺ θὰ σμίξει;
Θεοποιεῖ βέβαια κι ἐκεῖνες,
ὅταν ἑνωθεῖ μαζί τους.
Μιὰ ψυχὴ λοιπὸν θεωμένη
ὅποιος θέλει νὰ ἱστορήσει
ποιά ἔχει φύση κι ἐκδηλώσεις,
ποιά διάθεση καὶ γνώμη
ἢ ὅσα τῆς συμβαίνουν ὅλα,
ποὺ δὲν ξέρει, νὰ σοῦ ἐκθέσει,
προσπαθεῖ νὰ πεῖ μὲ λόγια
τί εἶναι ὁ Θεὸς κατὰ τὴ φύση.
Ἀνεπίτρεπτο εἶναι τέτοια
νὰ ζητοῦν ὅσοι στὸν κόσμο
καὶ στὴ σάρκα μέσα ζοῦνε·
μὰ νὰ δέχονται ὅ,τι ἡ πίστη
λέει γι' αὐτὰ καὶ νὰ μιμοῦνται
ὅλων τῶν ἁγίων τοὺς βίους,
μὲ μετάνοια καὶ μὲ δάκρυα
καὶ ὅλη τὴ σκληραγωγία,
σ' ὅποιο πειρασμὸ ν' ἀντέχουν
κι ἀπ' τὸν κόσμο ἔξω νὰ τρέχουν
ὅπως εἶπα γιὰ νὰ βοῦνε
κι, ὅπως εἶπα, ἀκόμα θά 'βρουν
δίχως μιὰ ἔλλειψη τὰ πάντα.
Θὰ ἐκπλαγοῦνε, ὅταν τὰ εὕρουν,
θὰ θαυμάσουν καὶ γιὰ μένα,
θὰ προσευχηθοῦν τὸν ἄθλιο,
μὴν τὰ χάσω ὅλα τοῦτα
μὰ ὅλα αὐτὰ νὰ τὰ πετύχω
ποὺ ποθοῦσα νὰ πετύχω
καὶ ποθῶ καὶ μ' ἄλλον πόθο
τὸν παλιό μου πόθο σβήνω.

*Ἤκουσάς ποτε τοιοῦτον;*
*Πόθος γὰρ πόθον ἀνάπτει*
*καὶ τὸ πῦρ τρέφει τὴν φλόγα·*
*ἐν ἐμοὶ δ' οὐκ ἔστιν οὕτως,*
*ἀλλὰ –πῶς εἰπεῖν οὐκ ἔχω–*
*ἔρωτος τὸ ὑπερβάλλον*
*σβέννυσι τὸν ἔρωτά μου.*
*Οὐκ ἐρῶ γάρ, ὅσον θέλω,*
*καὶ λογίζομαι μηδ' ὅλως*
*ἔρωτα Θεοῦ κεκτῆσθαι.*
*Ἐκζητῶν δὲ ἀκορέστως*
*τοῦ ἐρᾶν με, ὅσον θέλω,*
*προσαπόλλω καὶ ὃν εἶχον*
*ἔρωτα Θεοῦ, ὢ θαῦμα!*
*Ὥσπερ θησαυρὸν ὁ ἔχων*
*καὶ φιλάργυρος τυγχάνων,*
*ὅτι μὴ τὰ πάντα ἔχει,*
*οὐ δοκεῖ τι ὅλως ἔχειν,*
*κἂν πολὺ χρυσίον ἔχῃ,*
*οὕτω δὴ δοκῶ πανθάνειν*
*ὁ ταλαίπωρος ἐν τούτῳ,*
*ὅτι μὴ ποθῶ, ὡς θέλω,*
*μηδὲ ὅσον πάντως θέλω,*
*οὐ δοκῶ ποθεῖν κἂν ὅλως.*
*Τὸ ποθεῖν οὖν ὅσον θέλω*
*ὑπὲρ πόθον πόθος ἔστι,*
*καὶ βιάζω μου τὴν φύσιν,*
*ὑπὲρ φύσιν ἀγαπῆσαι·*
*ἀσθενοῦσα δὲ ἡ φύσις*
*καὶ αὐτῆς ἀποστερεῖται*
*ἧσπερ κέκτηται ἰσχύος,*
*καὶ νεκροῦται παραδόξως*

Τέτοιο λόγο ἔχεις ἀκούσει;
Ἕνας πόθος ἄλλο ἀνάβει
κι ἡ φωτιὰ τὴ φλόγα τρέφει.
Δὲν εἶναι σ' ἐμένα ἔτσι·
ἀλλὰ –πῶς νὰ πῶ δὲν ξέρω
τοῦ ἔρωτά μου ἀπομαραίνει
ἡ ἔξαψη τὸν ἔρωτά μου.
Πιὸ μεγάλη ἀγάπη θέλω
καὶ λογιάζω πὼς καθόλου
ἔρωτα Θεοῦ δὲν ἔχω.
Καὶ ἀχόρταγα ζητώντας
ὅσο θέλω ν' ἀγαπῶ
ἔχασα μαζὶ κι ὅσο εἶχα
ἔρωτα Θεοῦ, ὢ θαῦμα.
Ὅπως θησαυρὸ ἂν κατέχει
καὶ φιλάργυρος τυχαίνει
κάποιος, ποὺ ἂν δὲν τάχει ὅλα
τίποτε θαρρεῖ δὲν ἔχει
κι ἂς ἔχει πολὺ χρυσάφι,
τ' ὅμοιο κι ἐγὼ ἔχω πάθει
ὁ ταλαίπωρος νομίζω,
γιατὶ δὲν ποθῶ ὅπως θέλω
οὔτε βέβαια κι ὅσο θέλω,
λέω πὼς δὲν ποθῶ καθόλου.
Λοιπὸν νὰ ποθῶ ὅσο θέλω
πόθος πέρα εἶναι ἀπὸ πόθο
καὶ τὴ φύση παραβιάζω
ὑπὲρ φύση ν' ἀγαπήσει.
Μὰ ὡς ἀδύναμη εἶναι ἡ φύση
καὶ ἀπ' αὐτὴν στερεῖται ἀκόμα
τὴν ἰσχὺ ποὺ ἔχει ἀποχτήσει
κι ἀπροσδόκητα πεθαίνει,

---

336. Ρωμ. 7,15.

*ζῶν ὁ ἔρως τότε μᾶλλον·*
*ζῇ γὰρ ἐν ἐμοὶ καὶ θάλλει.*
*Πῶς σοι εἴπω, ὅτι θάλλει;*
*Ἀπορῶ παραδειγμάτων.*
*Τοῦτο μόνον δέ σοι φράσω,*
*ὅτι λόγῳ τὰ τοιάδε*
*πᾶς ἀδυνατεῖ ἐκφράζειν.*
*Δῴη ἅπασιν ὁ μόνος*
*Θεὸς ὢν καὶ τῶν τοιούτων*
*ἀγαθῶν ὑπάρχων ὄντως*
*παροχεὺς τοῖς ἐκζητοῦσι*
*μετανοίᾳ τὰ τοιαῦτα,*
*τοῖς πενθοῦσι καὶ θρηνοῦσι*
*καὶ καλῶς καθαιρομένοις*
*ἀπολαῦσαι τῶν τοιούτων,*
*ἐν μεθέξει γενομένοις*
*ἀπ' ἐντεῦθεν ἐν αἰσθήσει*
*καὶ συνεκδημῆσαι τούτοις*
*καὶ ἐν τούτοις καταπαῦσαι*
*καὶ ζωῆς ἐπαπολαῦσαι*
*αἰωνίου καὶ τῆς δόξης*
*κοινωνοὺς τῆς ἀπορρήτου*
*διὰ τούτων εὑρεθῆναι!*
*Ἀμήν.*

354. Ἰακ. 1,5.
364. Β' Κορ. 5,8.
367. Α' Πέτρ. 5,1.

ὁ ἔρως πιὸ πολὺ ζεῖ τότε,
ναί, ζεῖ μέσα μου καὶ θάλλει.
Πῶς νὰ σοῦ τὸ πῶ ὅτι θάλλει;
Τὸ παράδειγμα μοῦ λείπει.
Τοῦτο θὰ σοῦ πῶ μονάχα·
Εἶναι ἀνήμπορος νὰ ἐκφράσει
ὁ καθεὶς αὐτὰ μὲ λόγο.
Σ' ὅλους μας ἂς δώσει ὁ μόνος
πού 'ναι Θεὸς καὶ τῶν παρόμοιων
ἀγαθῶν πού 'ναι στ' ἀλήθεια
δωρητὴς σ' ὅσους γυρεύουν
ὅλα αὐτὰ μὲ τὴ μετάνοια
καὶ πενθοῦνε καὶ θρηνοῦνε
καὶ καθαίρονται ὅπως πρέπει
ν' ἀπολαύσουν ὅλα τοῦτα·
τ' ἀγαθὰ μετέχοντάς τα
νιώθοντάς τα ἀπὸ ἐδῶ κάτω
καὶ μαζί τους νὰ ἐκδημήσουν
καὶ σ' αὐτὰ ν' ἀναπαυθοῦνε·
τὴν αἰώνια ν' ἀπολαύσουν
τὴ ζωὴ καὶ νὰ βρεθοῦνε
τῆς ἀπόρρητης τῆς δόξας
κοινωνοὶ ἐξαιτίας τούτων.
'Αμήν.

## Λ'

***Πρὸς ἕνα τῶν μαθητῶν, ὅτι ταῖς καθαρθείσαις ψυχαῖς διὰ δακρύων καὶ μετανοίας προσψαῦσαν τὸ θεῖον τοῦ Πνεύματος πῦρ δράσσεται αὐτῶν καὶ πλέον καθαίρει, φωτίζον τὰ ὑπὸ τῆς ἁμαρτίας ἐσκοτισμένα μέρη αὐτῶν καὶ τὰ τραύματα ἐξιώμενον εἰς τελείαν φέρει συνούλωσιν, ὡς τῷ θείῳ κάλλει ὑπεραστράπτειν αὐτάς.***

*Ἔστι πῦρ τὸ θεῖον ὄντως,*
*ὅπερ εἶπεν ὁ Δεσπότης,*
*ὅτι ἦλθεν ἵνα βάλῃ–*
*ἐπὶ ποίαν γῆν, εἰπέ μοι;–*
*ἐπὶ τοὺς ἀνθρώπους πάντως,*
*τοὺς τὰ γήϊνα φρονοῦντας,*
*ὅπερ ἤθελε καὶ θέλει*
*τοῦ ἀνάπτεσθαι ἐν πᾶσιν.*
*Ἄκουσον καὶ γνῶθι, τέκνον,*
*θείων μυστηρίων βάθος!*
*Τὸ οὖν πῦρ τοῦτο τὸ θεῖον*
*ποταπὸν εἶναι λογίζῃ;*
*Ἆρα ὁρατὸν ἢ κτιστὸν*
*ἢ ληπτὸν ὑπολαμβάνεις;*
*Οὐμενοῦν καὶ γὰρ ὑπάρχεις*
*ἐν μυήσει τοῦ τοιούτου*
*καὶ ἐπίστασαι βεβαίως*
*ἄληπτον αὐτὸ ὑπάρχειν,*

---

3. Βλ. Λουκᾶ 12,49.

## 30 *

**Πρὸς ἕνα μαθητή του· ὅτι, ἀγγίζοντας τὶς ψυχὲς ποὺ καθάρθηκαν μὲ δάκρυα καὶ μετάνοια ἡ θεία φωτιὰ τοῦ Πνεύματος, τὶς περιτυλίγει καὶ τὶς καθαίρει ἀκόμα περισσότερο, φωτίζοντας ὅσα μέρη τους τὰ σκοτίζει ἡ ἁμαρτία καὶ θεραπεύοντας τὰ τραύματά τους τὰ κλείνει ὁλότελα, ὥστε νὰ ὑπεραστράπτουν μὲ τὸ θεῖο κάλλος.**

Ναί, ἡ θεία φωτιὰ ὑπάρχει
ποὺ μᾶς εἶπε ὁ Δεσπότης,
ὅτι ἦρθε γιὰ ν' ἀνάψει
–πάνω σὲ ποιά γῆ ὅμως; πές μου–.
Βέβαια πάνω στοὺς ἀνθρώπους,
ποὺ τὰ γήινα τοὺς τραβοῦνε,
κι ἤθελε καὶ θέλει πάντα
νὰ ἀνάψει μέσα σ' ὅλους.
Ἄκου καὶ νιῶσε, παιδί μου,
τῶν θείων μυστηρίων τὸ βάθος!
Ἡ θεϊκὴ φωτιὰ ἐτούτη
τί λογῆς νομίζεις εἶναι;
Ὁρατὴ ἢ κτιστὴ εἶναι τάχα
ἢ θαρρεῖς ὅτι τ' ἀγγίζεις;
Ὄχι βέβαια· γιατὶ εἶσαι
στὸ μυστήριο μυημένος,
καὶ πολὺ καλὰ γνωρίζεις
πῶς ἀσύλληπτο εἶναι τοῦτο,

---

* Ὁ ὕμνος προσαρμόζεται στὴν ἀντιληπτικὴ ἱκανότητα καὶ τὴ μικρὴ πνευματικότητα τοῦ μαθητῆ.

*ἄκτιστον, ἀόρατόν γε,*
*ἄναρχόν τε καὶ ἄϋλον,*
*ἀναλλοίωτον εἰς ἅπαν,*
*ἀπερίγραπτον ὡσαύτως,*
*ἄσβεστον, ἀθάνατον,*
*ἀπερίληπτον πάντῃ,*
*ἔξω πάντων τῶν κτισμάτων,*
*τῶν ἐνύλων καὶ ἀΰλων,*
*ὁρατῶν καὶ ἀοράτων,*
*ἀσωμάτων καὶ ἐνσάρκων,*
*ἐπιγείων, οὐρανίων·*
*τούτων πάντων ἔστιν ἔξω*
*κατὰ φύσιν, κατ' οὐσίαν,*
*ναὶ δή, καὶ κατ' ἐξουσίαν.*
*Τοῦτο οὖν ἐν ποίᾳ ὕλῃ*
*ἐμβληθήσεται, εἰπέ μοι;*
*Ἐν ψυχαῖς ἐχούσαις ἄρα*
*ἔλεον δαψιλεστάτως*
*καὶ πρὸ τούτου καὶ σὺν τούτῳ*
*πίστιν, ἔργα τε τὴν πίστιν*
*βεβαιοῦντα κεκτημέναις*
*ταύταις, ὡσεὶ λύχνῳ πλήρει*
*καὶ ἐλαίου καὶ στυπείου*
*πῦρ ἐμβάλλει ὁ Δεσπότης,*
*ὃ ὁ κόσμος οὐ κατεῖδεν*
*οὐδὲ κατιδεῖν ἰσχύει*
*(κόσμον λέγω τοὺς ἐν κόσμῳ*
*καὶ τὰ κοσμικὰ φρονοῦντας).*
*Ὥσπερ ἅπτει δὲ ὁ λύχνος,*
*ἐν τοῖς αἰσθητοῖς σοι λέγω,*
*ὅταν τῷ πυρὶ προσψαύσῃ,*

---

27. Κολ. 1,16. 29. Φιλ. 2,10.
40. Ματθ. 25.1 ἑ. 46. Φιλ. 3,19.

ἄκτιστο μαζὶ κι ἀθέατο,
ἄκτιστο μαζὶ εἶναι κι ἄυλο
κι εἶναι ὁλότελα ἀναλλοίωτο
κι ἀπερίγραπτο εἶναι ἐπίσης
κι ἀπ' τὰ κτίσματα ὅλα ἀπ' ἔξω
ἔνυλα εἶναι εἴτε κι ἄυλα,
ἄσβηστο κι ἀθάνατο εἶναι
ὅρια δὲν τὸ περικλείουν
ὁρατὰ εἴτε κι ἀόρατα,
ἔνσαρκα κι ἀσώματα εἴτε,
εἴτε ἐπίγεια εἴτε οὐράνια.
Ἔξω ἀπ' ὅλα εἶναι τοῦτα
κατὰ φύση κατ' οὐσία
ἀλλὰ καὶ κατ' ἐξουσία.
Τὴ φωτιὰ τούτη σὲ ποιά ὕλη,
ἔλα πές μου, θὰ τὴ βάλει;
Σὲ ψυχὲς βέβαια ποὺ ἔχουν
πλοῦτον ἄφθονο εὐσπλαχνίας
καὶ προτοῦ του καὶ μετά του
πίστη κι ἔργα ποὺ διαθέτουν
ποὺ τὴν πίστη βεβαιώνουν.
Σ' αὐτήν, ὅπως σὲ γεμάτο
λάδι λύχνο μὲ φυτίλι,
φωτιὰ βάζει ὁ νοικοκύρης,
ποὺ ὁ κόσμος δὲ γνωρίζει
οὔτε κὰν μπορεῖ νὰ δεῖ
(κόσμο λέγω ὅσους στὸν κόσμο
ζοῦνε καὶ τὰ κοσμικὰ φρονοῦν).
Κι ὅπως τὸ λυχνάρι ἀνάβει,
– γιὰ τὰ αἰσθητὰ σοῦ λέγω –,
ὅταν στὴ φωτιὰ σιμώσει,

---

40. Οἱ ψυχὲς εἶναι τὰ λυχνάρια τὰ γεμάτα ἀπὸ ἔλαιον (ἔλεον) ποὺ πλησιάζοντάς τις τὶς ἀνάβει ἡ θεία φλόγα.

*οὕτω καὶ πνευματικῶς μοι νόει*
*λέγειν ταῖς ψυχαῖς προσψαύειν*
*καὶ ἀνάπτειν πῦρ τὸ θεῖον.*
*Πρὶν προσψαύσει, πῶς ἀνάψει;*
*Πρὶν βληθῇ δέ, πῶς προσψαύσει;*
*Ὄντως οὐδαμῶς, οὐδ' ὅλως!*
*Ὅταν δὲ ὁ λύχνος ἅπτῃ*
*καὶ τρανῶς φωτίζῃ πάντας,*
*καὶ τὸ ἔλαιον ἐκλείψῃ,*
*οὐ σβεσθήσεται ὁ λύχνος;*
*Θέα μοι καὶ ἄλλο μεῖζον,*
*ὃ φοβεῖ με πλέον πάντων!*
*Φαίνοντά μου λύχνον μέγα*
*ἐν ἐλαίου δαψιλείᾳ*
*ἀφθονίᾳ τε στυπείου*
*μῦς ἐλθὼν ἤ ἕτερόν τι*
*ἢ κατέστρεψε τὸν λύχνον*
*ἢ κατὰ μικρὸν ἐκλεῖξαν*
*ἔπιέ τε τὸ ἔλαιον,*
*ἔφαγέ τε τὸ στυπεῖον*
*καὶ τὴν λαμπάδα ἔσβεσε.*
*Τοῦτο δέ τι θαυμαστότερον,*
*ὅτι τὸ στυπεῖον ὅλον,*
*ὅπερ θρυαλλὶς καλεῖται,*
*ἐμπεσὸν ἐν τῷ ἐλαίῳ*
*σβέννυται τὸ πῦρ εὐθέως,*
*καὶ ὑπάρχει μοι ὁ λύχνος*
*σκοτεινός, ὅλως μὴ φαίνων·*
*λύχνον νόει τὴν ψυχήν μου,*
*ἔλαιον τὰς ἀρετὰς δέ,*
*τὸν δὲ νοῦν μου θρυαλλίδα,*
*ἐν αὐτῷ δὲ πῦρ τὸ θεῖον*
*φαῖνον καὶ καταφωτίζον*
*τὴν ψυχὴν ὁμοῦ καὶ οἶκον*

---

56. Λουκᾶ 11,33. 77. Βλ. Λουκᾶ 11,34 ἑ.

ἔτσι καὶ πνευματικὰ
σκέψου λέω οἱ ψυχὲς ἀγγίζουν
κι ἀπ' τὴ θεία φωτιὰ ἀνάβουν.
Πρὶν ἀγγίξουν, πῶς θ' ἀνάψουν,
πῶς θ' ἀγγίζουν πρὶν ἀνάψει
ἡ φωτιά; Καθόλου βέβαια.
Κι ὅταν τὸ λυχνάρι ἀνάβει
καὶ σκορπᾶ τὸ φῶς του σ' ὅλους
καὶ τὸ λάδι του τελειώσει
δὲ θά σβήσει τὸ λυχνάρι;
Κοίταξε ἄλλο πιὸ μεγάλο
ποὺ πιὸ ἀπ' ὅλα μὲ φοβίζει!
Μοῦ 'φεγγε λυχνάρι μέγα
ποὺ ἀπὸ λάδι ἦταν γεμάτο
καὶ φυτίλι εἶχε μεγάλο.
Κι ἦρθε ἕνα ποντίκι ἢ ἄλλο
ζούδιο καὶ χαλάει τὸ λύχνο
γλείφοντάς το λίγο-λίγο
ὅλο ρούφηξε τὸ λάδι
κι ἔφαγε ὅλο τὸ φυτίλι
κι ἔσβησε τέλος τὸ λύχνο.
Τοῦτο πιὸ θαυμάσιο ἀκόμα·
ὅτι τὸ στουπὶ ὅλο κι ὅλο,
ποὺ φυτίλι ὅλοι τὸ λένε,
ὅπως πέφτει μὲς στὸ λάδι
σβήνει τὸ λυχνάρι ἀμέσως
καὶ μοῦ μένει τὸ λυχνάρι
σκοτεινὸ καὶ πιὰ δὲν φέγγει.
Τὴν ψυχή μου πάρε ὡς λύχνο
καὶ τὶς ἀρετὲς ὡς λάδι,
καὶ τὸ νοῦ μου σὰν φυτίλι,
ποὺ σ' αὐτὸν ἡ θεία φωτιὰ
λάμπει καὶ καταφωτίζει
τὴν ψυχὴ κι ὅλο τὸ σπίτι,

83. Ματθ. 5,15 ἑ.

*ὅλον ὅλου σώματός μου*
*καὶ τοὺς ἐν τῷ οἴκῳ πάντας*
*λογισμοὺς καὶ ἐνθυμήσεις.*
*Οὕτω φαίνοντος δὲ τούτου*
*ἐὰν φθόνος παρεμπέσῃ*
*ἢ μνησικακίας πάθος*
*ἢ φιλοδοξίας ἔρως*
*ἢ ἄλλη τις ἐπιθυμία*
*ἡδονῆς τινος ἢ πάθους*
*καὶ τὸν λύχνον καταστρέψῃ*
*ἤγουν πρόθεσιν ψυχῆς μου,*
*ἢ τὸ ἔλαιον ἐκλείξῃ,*
*τὸ τῶν ἀρετῶν σοι λέγω,*
*ἢ καὶ ἄλλως θρυαλλίδα*
*ὄντα μου τὸν νοῦν, ὡς εἶπον,*
*καὶ ἐν ἑαυτῷ τὸ θεῖον*
*ἔχοντα φῶς λάμπον μέγα,*
*καταφάγῃ πονηραῖς ἐννοίαις τοῦτο*
*ἢ καὶ ὅλον ἀπορρίψῃ*
*ἔνδοθεν ἐν τῷ ἐλαίῳ*
*ἤγουν ἐν τῷ ἐνθυμεῖσθαι*
*ἀρετῶν αὐτοῦ τὰς πράξεις*
*καὶ εἰς οἴησιν ἐντεῦθεν*
*ἐμπεσὼν ἐκτυφλωθείη,*
*καὶ τὸν λύχνον μου ἐκ τούτων*
*ἢ τυχόν τινος ἐξ ἄλλου*
*εἰ συμβῇ ἀποσβεσθῆναι,*
*ποῦ τὸ πῦρ ὑπάρχειν τότε*
*ἢ τί γίνεσθαι εἴπῃς μοι,*
*παραμένειν ἐν τῷ λύχνῳ*
*ἢ χωρίζεσθαι τοῦ λύχνου;*
*Ὢ ἀγνοίας, ὢ μανίας!*

---

110. Ματθ. 25,8.

πού τὸ σῶμα μου εἶναι ὅλο
καὶ μέσα στὸ σπίτι ὅσοι εἶναι
λογισμοὶ καὶ μύριες σκέψεις.
Κι ἐνῶ φέγγει ὁ λύχνος ἔτσι,
μὲς στὴ μέση ἂν ἔβγει ὁ φθόνος
ἢ πάθος μνησικακίας
ἢ ἔρωτας φιλοδοξίας
ἢ καμιὰ ἄλλη ἐπιθυμία
γιὰ ἡδονὴ ἢ καὶ κάποιο πάθος
καὶ χαλάσει τὸ λυχνάρι
(τῆς ψυχῆς μου τὴ διάθεση)
ἢ τῶν ἀρετῶν τὸ λάδι,
λέγω ἐγώ, τὸ γλείφει ἀγάλια
ἢ καὶ τὸ φυτίλι ἀκόμα,
(πού εἶναι ὁ νοῦς μου, ὅπως σοῦ εἶπα,
καὶ πού ἐντός του ἔχει τὸ θεῖο
φῶς πού βγάζει φέγγος μέγα)
καταφάει μὲ κακὲς σκέψεις
ἢ καὶ τὸ βουτήξει ἀκέριο
μὲς στοῦ λυχναριοῦ τὸ λάδι,
πάει νὰ πεῖ μέσα στὴ μνήμη
ὅσων οἱ ἀρετές του ἐπράξαν
καὶ ἀπ' αὐτὸ στὴν οἴηση πέσει
καὶ τυφλὸς τὸ φῶς του χάσει
καὶ ὁ λύχνος μου ἀπὸ τοῦτα
ἢ τυχὸν ἀπὸ ἄλλο κάτι
ἂν συμβεῖ νὰ σβήσει τέλεια,
ποῦ ἡ φωτιὰ ὑπάρχει τότε
θὰ μοῦ πεῖς ἢ τί θὰ γίνει;
θ' ἀπομείνει μὲς στὸ λύχνο
ἢ θὰ χωριστεῖ ἀπ' τὸ λύχνο;
Ὦ ἄγνοια κι ὢ παραφροσύνη!

---

88. Τὸ ποντίκι πού μπορεῖ νὰ φάει τὸ φυτίλι καὶ νὰ πιεῖ τὸ ἔλαιον–ἔλεον τῆς ψυχῆς παίρνει τὶς μορφὲς πού ἀναφέρονται στούς στίχους 88–92.

*Πῶς ἐνδέχεται τὸν λύχνον*
*δίχα τοῦ πυρὸς ἐξάπτειν,*
*ἢ τὸ πῦρ τῆς ὕλης ἄνευ*
*παραμένειν ἐν τῷ λύχνῳ;*
*Πάντοτε τὸ πῦρ τῆς ὕλης*
*δράσσεσθαι ποθεῖ καὶ θέλει,*
*ἀλλ' ἡμῶν ὑπάρχει πάντως*
*τὸ προευτρεπίσαι ταύτην*
*καὶ παρέξαι εὐπροθύμως*
*ἑαυτοὺς ἡμᾶς ὡς λύχνους*
*ἐν ἐλέῳ καὶ παντοίαις*
*ἀρεταῖς κεκοσμημένους,*
*τοῦ νοὸς δὲ θρυαλλίδα*
*εὐθυβόλως προβαλέσθαι,*
*ἵνα τῷ πυρὶ προσψαύσῃ*
*καὶ κατὰ μικρὸν ἀνάψῃ,*
*οὕτω τε συμπαραμένῃ*
*τοῖς αὐτὸ προσκτησαμένοις.*
*Ἄλλως γὰρ –μηδεὶς πλανάσθω–*
*οὐχ ὁρᾶται, οὐ κρατεῖται,*
*οὐ συνέχεται κἂν ὅλως.*
*Ἔστι γάρ, καθάπερ εἶπον,*
*ἔξω τῶν κτισμάτων πάντων,*
*γίνεται ληπτὸν δ' ἀλήπτως*
*τῇ ἑνώσει τῇ ἀρρήτῳ*
*καὶ περιγραπτὸν ὡσαύτως*
*ἐν ἀπεριγράπτῳ τρόπῳ.*
*Ταῦτα δὲ μὴ λόγοις ὅλως*
*μηδὲ ἐπινοίαις ζήτει,*
*ἀλλὰ πῦρ λαβεῖν ἐξαίτει,*
*ὃ διδάσκει καὶ δεικνύει*
*ἐναργῶς τοῖς κεκτημένοις*
*ταῦτα πάντα καὶ τὰ τούτων*
*μυστικώτερα ἀφράστως.*

---

146. Ἰω. 14,16.

Πῶς χωρὶς φωτιὰ ἕνας λύχνος
εἶναι δυνατὸ ν' ἀνάψει
ἢ ἡ φωτιὰ νὰ παραμείνει
δίχως τὰ ὑλικὰ στὸ λύχνο;
Πάντοτε ἡ φωτιὰ ν' ἁρπάξει
τὰ ὑλικὰ ποθεῖ καὶ θέλει,
ἀλλὰ χρέος δικό μας εἶναι
νὰ ἑτοιμάσομε ὅσα πρέπει
καὶ νὰ δώσομε σὰν λύχνο
πρόθυμα τὸν ἑαυτό μας
στολισμένοι μ' εὐσπλαχνία
καὶ τὶς ἀρετὲς τὶς ἄλλες.
Κι ἂς προβάλομε τοῦ νοῦ μας
καταλλήλως τὸ φυτίλι,
γιὰ ν' ἀγγίξει τὴ φωτιὰ
καὶ ν' ἀνάψει λίγο–λίγο.
Κι ἔτσι πιὰ μ' αὐτοὺς νὰ μείνει
ποὺ τὴν ἔχουν ἀποχτήσει.
Ἂς μὴ γελαστεῖ κανένας,
δὲν τὴ βλέπεις, δὲν τὴν πιάνεις
ἀλλιῶς κι οὔτε τὴν ἀγγίζεις.
Γιατὶ εἶναι καθὼς εἶπα
ἔξω ἀπὸ τὰ κτίσματα ὅλα,
πιάνεται μὲ τρόπο ἀσύλληπτο,
σὲ μιὰν ἕνωση ἀνείπωτη
καὶ περιγραμμένο πάλι
μ' ἕνα τρόπο ἀπερίγραπτο.
Μὴ γυρεύεις ὅλα τοῦτα
σὲ συλλογισμοὺς καὶ λόγους·
ζήτα τὴ φωτιὰ νὰ λάβεις
ποὺ διδάσκει καὶ ποὺ δείχνει
καθαρὰ σ' ὅσους τὴν ἔχουν,
ὅλ' αὐτὰ καὶ τ' ἀπὸ τοῦτα
πιὸ κρυφὰ μ' ἄφραστο τρόπο.

*Μυστικώτερα δὲ τούτων*
*ἄκουσον, εἰ βούλει, τέκνον!*
*Ὅταν λάμψῃ, καθὼς εἶπον,*
*καὶ τὸ σμῆνος ἐκδιώξῃ*
*τῶν παθῶν καὶ ἐκκαθάρῃ*
*σου τὸν οἶκον τῆς ψυχῆς,*
*τότε μίγνυται αὐτῇ ἀμίκτως*
*καὶ ἑνοῦται ἀπορρήτως,*
*ἐνουσίως τῇ οὐσίᾳ*
*ταύτης ὅλον ὅλῃ πάντως*
*καὶ κατὰ μικρὸν λαμπρύνει,*
*ἐκπυροῖ τε καὶ φωτίζει*
*καί, τὸ πῶς εἰπεῖν οὐκ ἔχω,*
*γίνονται εἰς ἓν τὰ δύο,*
*ἡ ψυχὴ μετὰ τοῦ κόσμου*
*καὶ ἐν τῇ ψυχῇ ὁ κτίστης*
*μόνος μετὰ μόνης ὅλος,*
*ὁ συνέχων πᾶσαν κτίσιν*
*ἐν τῇ ἑαυτοῦ παλάμῃ.*
*Μὴ διστάσῃς, οὗτος ὅλος*
*σὺν Πατρὶ καὶ τῷ Πνεύματι*
*ἐν μιᾷ ψυχῇ χωρεῖται*
*καὶ ψυχὴν ἐντὸς ἐκείνου*
*ὅλην συμπεριλαμβάνει.*
*Νόει, βλέπε, σκόπει ταῦτα!*
*Τὸ γὰρ ἄστεκτόν σοι εἶπον*
*καὶ ἀπρόσιτον ἀγγέλοις*
*φῶς ἐντὸς ψυχὴν κατέχειν,*
*ἐν ψυχῇ οἰκεῖν δὲ αὖθις*
*καὶ μὴ φλέγειν ταύτην ὅλως.*
*Ἔγνως βάθος μυστηρίου;*

---

150. Τὰ πιὸ ἐμπρὸς θεωροῦνται πιὸ ἐπιφανειακὰ καὶ ἁπλά. Μὲ τὴ λέξη 'μυστικώτερα' ὁ Συμεὼν θέλει ν' ἀνεβάσει κάπως τὸ ἐπίπεδο.

Κι ἀπ' αὐτὰ πιὸ μυστικὰ
ἄκουσε, παιδί μου, ἂν θέλεις.
Ὅταν, ὅπως εἶπα, λάμψει
καὶ τὸ σμάρι ἀποδιώξει
τῶν παθῶν καὶ καθαρίσει
αὐτὴ τὸ σπίτι τῆς ψυχῆς σου,
ἄσμιχτα μαζί της σμίγει
κι ἄρρητα ἑνώνεται
οὐσία αὐτὴ μὲ τὴν οὐσία
τῆς ψυχῆς ὅλη μὲ ὅλη
καὶ λαμπρύνει λίγο-λίγο,
φωτιὰ πιάνει καὶ φωτίζει
καί, τὸ πῶς νὰ πῶ δὲν ξέρω,
γίνονται τὰ δυό τους ἕνα,
ἡ ψυχὴ με τὸν ποιητή της,
καὶ μὲς στὴν ψυχὴν ὁ κτίστης,
ὅλος μόνος μ' αὐτὴν μόνη,
ὁπού ἔχει ὅλη τὴν πλάση
μέσα στὴ δική του φούχτα.
Μὴ ἀμφιβάλλεις· αὐτὸς ὅλος
κι ὁ Πατέρας καὶ τὸ Πνεῦμα
σὲ ψυχὴ χωροῦν μιὰ μόνο
κι ὅλη ἐκείνη τὴν ψυχὴ
τὴν περιλαμβάνει ἐντός του.
Σκέψου, βλέπε, ἐξέτασέ τα·
Τὸ ἀβάσταχτο σοῦ εἶπα
καὶ ἀπρόσιτο σὲ ἀγγέλους
φῶς πὼς ἡ ψυχὴ κατέχει
κι ἐνῶ στὴν ψυχὴ αὐτὸ μένει
δὲν τὴν καίει καθόλου ὡστόσο.
Βλέπεις τὸ βαθὺ μυστήριο;

---

175 Πῶς γίνεται τὸ 'ἄστεκτο' πῦρ νὰ καίει μέσα στὴν ψυχὴ καὶ νὰ μὴν τὴν καταφλέγει;

*Ὁ μικρὸς ἐν ὁρωμένοις*
*ἄνθρωπος, σκιὰ καὶ κόνις,*
*ἔχει τὸν Θεὸν ἐν μέσῳ*
*ὅλον, οὗ ἐν τῷ δακτύλῳ*
*ἀποκρέμαται ἡ κτίσις,*
*καὶ τὸ εἶναι πᾶς τις ἔχει*
*καὶ τὸ ζῆν καὶ τὸ κινεῖσθαι,*
*νοῦς ἅπας, ψυχὴ καὶ λόγος*
*λογικῶν ἔχει ἐκ τούτου,*
*ἀλλὰ καὶ ἀλόγων πνεῦμα*
*καὶ πάντων ὡσαύτως ζῴων,*
*νοερῶν καὶ αἰσθητῶν τε,*
*τὸ εἶναι ἐντεῦθεν ἔχει.*
*Τοῦτον ἔχων, ὅστις ἕξει,*
*καὶ ἐντὸς αὐτοῦ βαστάζων*
*καὶ ὁρῶν αὐτοῦ τὸ κάλλος,*
*πῶς ὑποίσει πόθου φλόγα,*
*πῶς ἐνέγκει πῦρ ἀγάπης,*
*πῶς θερμὸν οὐκ ἀποστάξει*
*δάκρυον ἐκ τῆς καρδίας,*
*πῶς τὰ θαύματα ἐξείπει,*
*πῶς δὲ ταῦτα ἀριθμήσει,*
*ἅπερ ἐν αὐτῷ τελοῦνται;*
*Πῶς καὶ σιωπήσει ὅλως*
*βιαζόμενος τοῦ λέγειν;*
*Βλέπει γὰρ αὐτὸν ἐν ᾅδῃ,*
*τοῦ φωτὸς τῇ λάμψει λέγω·*
*οὐδεὶς γὰρ ἄλλως ἑαυτὸν*
*τῶν ἐκεῖ καθεζομένων*
*πρὸ τοῦ λάμψαι φῶς τὸ θεῖον*
*ἑαυτὸν ἐπιγινώσκει,*
*ἀλλ' εἰσὶν ἐν ἀγνωσίᾳ*
*τοῦ, ἐν ᾧ κρατοῦνται, ζόφου*

---

**186.** Πραξ. 17,28.

**195.** Λουκᾶ 11,27.

Ὁ μικρὸς σὲ ὅσα θωροῦμε
ἄνθρωπος, σκιὰ καὶ σκόνη,
ἔχει ἐντός του τὸ Θεὸν ὅλο,
ποὺ ἀπὸ τ' ἀκροδάχτυλό του
ὅλη κρέμεται ἡ κτίση
κι ὁ καθεὶς τὴν ὕπαρξη ἔχει
τὸ νά ζεῖ καὶ νὰ κινεῖται,
κάθε νοῦς, ψυχὴ καὶ λόγος
τὴν πνοὴν ἀπ' αὐτὸν ἔχει,
ὄντων λογικῶν κι ἀλόγων,
ὅμοια καὶ τῶν ζώων ὅλων,
ὅσα ἔχουν νοῦ κι αἰσθάνονται ὅσα
ἀπ' αὐτὸ τὴν ὕπαρξη ἔχουν.
Ἔχοντας ὅποιος τὸν ἔχει
τοῦτον κι ἐντὸς του κρατώντας
καὶ τὸ κάλλος βλέποντάς του
πῶς θ' ἀντέξει τέτοιου πόθου
φλόγα καὶ φωτιὰν ἀγάπης
καὶ θερμὰ δὲ θὰ σταλάξει
δάκρυα μὲς ἀπ' τὴν καρδιά του;
Πῶς τὰ θαύματα ποὺ ἐντός του
γίνονται νὰ ἐξαγγείλει
μὰ καὶ πῶς νὰ τὰ μετρήσει;
Πῶς καὶ νὰ σωπάσει τέλεια,
νὰ μιλήσει ἀναγκασμένος;
Βλέπει ὅτι εἶναι μὲς στὸν ᾅδη,
τὸ φῶς ὅταν τοὺς φωτίσει.
Γιατὶ ἀλλιώτικα κανένας
ἀπὸ ἐκείνους ποὺ ἐκεῖ κάτω
κάθονται προτοῦ νὰ λάμψει
τὸ θεϊκὸ τὸ φῶς γνωρίζει
τὸν ἑαυτό του, μ' ἀγνοοῦνε
τὸν ποὺ τοὺς κατέχει ζόφο

206. Λουκᾶ 16,23.

*καὶ φθορᾶς καὶ τοῦ θανάτου.*
*Ὅμως βλέπει, ἔνθα λάμπει,*
*ἡ ψυχὴ ἐκείνη λέγω,*
*καὶ νοεῖ, ὅτι ἐν σκότει*
*ὅλη ἦν τῷ δεινοτάτῳ*
*καὶ φρουρᾷ ἀσφαλεστάτῃ*
*βαθυτάτης ἀγνωσίας.*
*Τότε βλέπει, ἔνθα κεῖται,*
*ἔνθα ἔστι καθειργμένη,*
*ὅλον βόρβορον τὸν τόπον,*
*ἀκαθάρτων ἰοβόλων*
*ἑρπετῶν μεμεστωμένον,*
*ἑαυτὴν δὲ δεδεμένην*
*καὶ δεσμοῖς κατεσφιγμένην*
*χεῖρας ἅμα τε καὶ πόδας*
*καὶ αὐχμῶσαν καὶ ρυπῶσαν,*
*τετραυματισμένην ἅμα*
*δήγμασι τῶν ἑρπετῶν*
*καὶ τὰς σάρκας οἰδαινούσας*
*ἑαυτῆς φέρουσαν ἅμα*
*μετὰ πλήθους γε σκωλήκων.*
*Ταῦτα βλέπων πῶς οὐ φρίξει,*
*πῶς οὐ κλαύσει, πῶς οὐ κράξει*
*καὶ θερμῶς μετανοήσει*
*καὶ αἰτήσεται ρυσθῆναι*
*τῶν δεσμῶν τῶν δεινοτάτων;*
*Ὄντως πᾶς ὁ ταῦτα βλέπων*
*καὶ στενάξει καὶ θρηνήσει*
*καὶ συνέπεσθαι θελήσει*
*τῷ τὸ φῶς ἐκλάμψαντι Χριστῷ!*
*Ταῦτα οὖν ποιῶν, ὡς εἶπον,*
*καὶ τῷ λάμψαντι προσπίπτων*

---

228. Ματθ. 22,13.

τὴ φθορά, τὸ θάνατο.
Ὅμως βλέπει ἐκεῖ ποὺ λάμπει
ἡ ψυχὴ ἐκείνη λέγω
κι ὅτι μὲς στὸ σκότος νιώθει
τὸ δεινότατο πὼς ζοῦσε
σὲ φρουρὰ ἐξασφαλισμένη,
τὴν ἀπύθμενη ἄγνοιά της.
Τότε ποῦ κείτεται βλέπει,
ποῦ εἶναι φυλακισμένη·
σ' ἕνα βοῦρκο πέρα ὡς πέρα
ἀπὸ ἀκάθαρτα γεμάτο
καὶ φαρμακερὰ ἑρπετά·
καὶ δεμένη νά 'ναι ἡ ἴδια
μὲ δεσμὰ σφιχτὰ δεμένη
καὶ στὰ χέρια καὶ στὰ πόδια,
βρομερὴ καὶ λασπωμένη
καὶ πληγὲς καταγεμάτη
ἀπ' τῶν ἑρπετῶν τὰ δόντια
μὲ τὶς σάρκες της νὰ εἶναι
ἀπὸ πρηξίματα γεμάτες
καὶ μ' ἀμέτρητα σκουλήκια.
Βλέποντας πῶς νὰ μὴ φρίξει
νὰ μὴν κλάψει, νὰ φωνάξει
καὶ θερμὰ νὰ μετανοήσει
κι ἀπ' τ' ἀπαίσια τὰ δεσμά της
νὰ σωθεῖ νὰ μὴ ζητήσει;
Ὅποιος βλέπει αὐτὰ καὶ θρήνους
κι ἀναστεναγμοὺς θὰ βάλει
καὶ μαζὶ νὰ πάει θὰ θέλει
στὸ Χριστὸ τὸ φῶς π' ἀνάβρυσε.
Κάνε αὐτὰ λοιπὸν ὡς εἶπα,
πρόσπεσε σ' αὐτὸν ποὺ ἔλαμψε

---

220–234. Ἡ ὑπερβολὴ δὲν χρησιμοποιεῖται μόνο στὴν προσωπική του περίπτωση, ἀλλὰ γενικεύεται.

*–Θέα μοι καλῶς ἃ λέξω!–*
*ἅπτεται χερσὶν ὁ λάμψας*
*τῶν δεσμῶν μου καὶ τραυμάτων·*
*ἔνθα δὲ ἡ χεὶρ προσψαύσει*
*ἢ δακτύλῳ προσεγγίσει,*
*λύονται δεσμὰ εὐθέως,*
*σκώληκες ἀπονεκροῦνται,*
*πίπτουσι τὰ τραύματα δέ,*
*συνεκπίπτει τούτοις ῥύπος*
*καὶ κηλὶς μικρὰ σαρκός μου*
*γίνεται, συνούλωσίς τε*
*ἀθρόως ἐπὶ τοσοῦτον,*
*ὡς οὐλὴν μὴ καθορᾶσθαι*
*ὅλως ἐν ἐκείνῳ τόπῳ,*
*ἀπαστράπτοντα δὲ μᾶλλον*
*ὅμοιον χειρὸς τῆς θείας*
*ἀπεργάζεται τὸν τόπον.*
*Θαῦμα ξένον γε, ἡ σάρξ μου,*
*τῆς ψυχῆς λέγω οὐσίαν,*
*ναὶ δή, καὶ τοῦ σώματός μου,*
*δόξης θείας μετασχόντα*
*αἴγλην ἀπαστράπτει θείαν.*
*Καθορῶν τοῦτο ἐν μέρει*
*τελεσθὲν τοῦ σώματός μου,*
*πῶς τὸ ὅλον οὐ ποθήσω*
*σῶμά μου καὶ ἱκετεύσω*
*τῶν κακῶν ἀπαλλαγῆναι*
*καὶ ὑγείας, οἵας εἶπον,*
*δόξης τε τυχεῖν ὡσαύτως;*
*Ὅμως οὕτω μου ποιοῦντος,*
*μᾶλλον δὲ καὶ θερμοτέρως,*
*καὶ καταπληττομένου μου*
*ἀναλόγως τῶν θαυμάτων,*
*χεῖρα τὴν αὐτοῦ Δεσπότης,*

---

266. Α' Πέτρ. 5,1.

– Κοίταξε καλὰ ὅ,τι λέω –
δεσμὰ καὶ πληγές μου ἀγγίζει
μὲ τὰ χέρια του ὁ ποὺ ἔλαμψε.
Καὶ τὸ χέρι του ὅπου ἀγγίξει
ἢ τὸ δάχτυλό του βάλει
τὰ δεσμὰ σπάνουν ἀμέσως
καὶ πεθαίνουν τὰ σκουλήκια,
οἱ πληγὲς ἐξαφανίζονται,
φεύγει κι ἡ βρομιὰ μαζί τους·
στὸ σῶμα ἡ πληγὴ μικραίνει
κι ἡ συνούλωση τελεῖται
γρήγορα, σὲ βαθμὸ τέτοιο,
ὥστε στὸ σημεῖο ἐκεῖνο
οὔτε οὐλὴ νὰ φαίνεται κάν·
καὶ περσότερο ν' ἀστράφτει
ὅμοια μὲ τὸ θεῖο τὸ χέρι
κάνει τὸ σημεῖο ἐκεῖνο.
Θαῦμα μέγα, ἡ σάρκα μου,
τῆς ψυχῆς μου λέω ἡ ὑπόσταση,
ὅπως καὶ τοῦ σώματός μου
κοινωνώντας θεία δόξα
ἀπὸ θεία λάμψη ἀστράφτει.
Βλέποντας τοῦ σώματός μου
ἕνα τμῆμα ἔτσι ν' ἀλλάζει,
πῶς νὰ μὴν ποθήσω κι ὅλο
μου τὸ σῶμα νὰ ἱκετέψω
ἀπ' τὰ κακὰ ν' ἀπαλλαγεῖ
καὶ ὑγεία τέτοια ποὺ εἶπα
καὶ μαζὶ δόξα νὰ λάβει;
Ὅμως ἐνεργώντας ἔτσι
ἢ καὶ πιὸ θερμὰ ἀκόμα
μὲ κατάπληξη μεγάλη,
ποὺ στὸ θαῦμα ἀνάλογη ἦταν,
ὁ καλὸς μετακινώντας

*ὁ καλός, μετακινήσας*
*τὰ λοιπὰ τοῦ σώματός μου*
*περιέρχεται καὶ βλέπω*
*ταῦτα, ᾧ προέφην τρόπῳ,*
*καθαιρόμενα καὶ δόξαν*
*ἐνδυόμενα τὴν θείαν.*
*Καθαρθέντος οὖν αὐτίκα*
*καὶ δεσμῶν ἀπαλλαγέντος,*
*δίδωσί μοι χεῖρα θείαν,*
*ἀνιστᾷ με τοῦ βορβόρου,*
*ὅλος περιπλέκεταί με,*
*ἐπιπίπτει τῷ τραχήλῳ*
*–Οἴμοι, πῶς ὑποίσω ταῦτα;–*
*καὶ καταφιλεῖ συχνῶς με.*
*Ἐκλυθέντα δέ με ὅλον*
*καὶ ἰσχὺν ἀποβαλόντα*
*–Φεῦ μοι, πῶς χαράξω ταῦτα;–*
*αἴρει με ἐπὶ τῶν ὤμων*
*– ὢ ἀγάπη, ὢ χρηστότης! –*
*καὶ ἐξάγει με τοῦ ᾅδου,*
*τοῦ τε χώρου καὶ τοῦ ζόφου*
*καὶ εἰσάγει με εἰς ἄλλον*
*εἴτε κόσμον ἢ ἀέρα,*
*ὅλως ἐξειπεῖν οὐκ ἔχω.*
*Τοῦτο οἶδα, ὅτι φῶς με*
*καὶ βαστάζει καὶ συνέχει*
*καὶ πρὸς φῶς εἰσάγει μέγα,*
*οὗ τὸ μέγα θεῖον θαῦμα*
*οὐδὲ ἄγγελοι ἐκφράσαι*
*ἢ εἰπεῖν ἐξισχύσουσιν ἀλλήλοις*
*κἂν ὅλως, ὥς γε δοκῶ.*

---

291. Λουκᾶ 15,20.
297. Λουκᾶ 15,6.
299. Ψαλμ. 29,4.

ὁ Δεσπότης μου τὸ χέρι
ὅλα τ' ἄλλα μέρη ἀγίζει
τοῦ κορμιοῦ καὶ τὸ βλέπω
μὲ τὸν τρόπο ποὺ εἶπα πρῶτα
νὰ καθαίρονται καὶ δόξα
θεϊκὴ νὰ ντύνονται.
Μόλις ποὺ καθάρθηκα ὅμως
καὶ λυθήκαν τὰ δεσμά μου
τὸ θεϊκό του ἁπλώνει χέρι,
μὲ σηκώνει ἀπὸ τὸ βοῦρκο
κι ὅλος μὲ σφιχταγκαλιάζει,
κρέμεται ἀπ' τὸν τράχηλό μου
–πῶς ν' ἀντέξω σ' ὅλα τοῦτα;–
μὲ γεμίζει ἀπ' τὰ φιλιά του.
Κι ὅταν πιὰ παράλυσα ὅλος
κι ἔχασα τὴ δύναμή μου
–οἴμοι πῶς νὰ πῶ γιὰ τοῦτα;–
ποὺ στοὺς ὤμους του μὲ παίρνει
–ὢ ἀγάπη, ὢ καλοσύνη!–
κι ἀπ' τὸν ἅδη μ' ἀνασύρει,
κι ἀπ' τὸν τόπο κι ἀπ' τὸ ζόφο
καὶ μ' εἰσάγει μέσα σὲ ἄλλον,
κόσμος εἶναι εἴτε ἀέρας
δὲν μπορῶ νὰ πῶ καθόλου.
Ἕνα ξέρω, ὅτι φῶς εἶναι
ποὺ μὲ πάει καὶ ποὺ κρατεῖ με
καὶ στὸ μέγα φῶς μὲ μπάζει,
ποὺ τὸ μέγα, θεῖο του θαῦμα
μήτε οἱ ἄγγελοι νὰ ἐκφράσουν
ἢ νὰ ποῦν ὁ ἕνας στὸν ἄλλο
δὲν μποροῦν θαρρῶ καθόλου.

286–303. Ἡ γλυκιὰ παράλυση ποὺ νιώθει ὅποιος συναντᾶ τὸ πρόσωπο ποὺ ἀγαπᾶ καὶ ποθεῖ. Ὅλη ἡ πολὺ ἀνώτερη εὐτυχία τοῦ Συμεὼν ἐκφράζεται ἄριστα μὲ τὶς δύο ἀναφωνήσεις, πολὺ ἐσωτερικὲς εἶναι ἀλήθεια, 'ὢ ἀγάπη! ὢ χρηστότης'.

*Γενομένῳ μοι δ' ἐκεῖσε*
*ἄλλα μοι δεικνύει πάλιν,*
*τὰ ἐν τῷ φωτί, σοὶ λέγω,*
*μᾶλλον τὰ ἐκ τοῦ φωτὸς δέ,*
*τὴν ἀνάπλασιν τὴν ξένην*
*δίδωσι κατανοεῖν μοι,*
*ἣν αὐτὸς ἀνέπλασέ με*
*καὶ φθορᾶς ἀπήλλαξέ με*
*καὶ θανάτου ἐν αἰσθήσει*
*ὅλον ἠλευθέρωσέ με*
*καὶ ζωὴν ἀθάνατόν μοι*
*ἐδωρήσατο καὶ κόσμου*
*τοῦ φθαρτοῦ καὶ τῶν τοῦ κόσμου*
*πάντων ἀπεχώρισέ με*
*καὶ στολὴν ἐνέδυσέ με*
*ἄϋλον φωτοειδῆ τε,*
*ὑποδήματα ὡσαύτως*
*καὶ δακτύλιον καὶ στέφος*
*ἄφθαρτα ἀΐδιά τε,*
*ἅπαντα ξένα τῶν ὧδε.*
*Ἐποίησέ με ἀναφῆ,*
*ἀψηλάφητον, ὢ θαῦμα,*
*καὶ ἀόρατον ὁμοίως,*
*συνημμένον ἀοράτοις.*
*Οὕτως οὖν με καὶ τοιοῦτον*
*ἐργασάμενος ὁ κτίστης*
*ἐν σκηνῇ εἰσήγαγέ με*
*αἰσθητῇ, σωματικῇ γε*
*καὶ ἐνέκλεισεν ἐν ταύτῃ*
*καὶ κατησφαλίσατό με,*
*καὶ καταγαγὼν δ' ἐν κόσμῳ*
*αἰσθητῷ καὶ ὁρατῷ τε*

---

325. Βλ. Λουκᾶ 15,22. 338. Β' Κορ. 5,4.

Κι ὅταν ἔφτασα ἐκεῖ πέρα
ἄλλα πάλι αὐτὸς μοῦ δείχνει,
μὲς στο φῶς, σοῦ λέω, ὅ,τι εἶναι
ἢ ἀπ' τὸ φῶς ποὺ βγαίνει μάλλον·
τὴν ἀνάπλαση νὰ νιώσω
τὴν παράδοξη μοῦ δίνει
ποὺ ὁ ἴδιος μοῦ ἔκανε καὶ μ' ἔχει
ἀπὸ τὴ φθορὰ ἀπαλλάξει
κι ἀπ' τὸν θάνατο ὅπως νιώθω
μ' ἔχει ἀκέριο ἐλευθερώσει.
Τὴ ζωὴ μοῦ ἔχει δωρίσει
τὴν ἀθάνατη καὶ μ' ἔχει
ἀπὸ τὸ φθαρτὸ τὸν κόσμο
καὶ τὰ κοσμικὰ χωρίσει
καὶ στολὴ μ' ἔχει φορέσει
ἄυλη, σὰν φῶς ποὺ ἀστράφτει,
κι ὑποδήματα ἐπίσης,
δαχτυλίδι καὶ στεφάνι
ἀκατάλυτα κι αἰώνια,
ἄσχετα ἀπ' ὅσα ἐδῶ εἶναι.
Μ' ἔχει ἀνέγγιχτο ἀναδείξει,
ἀψηλάφητον, ὢ θαῦμα,
μὰ καὶ ἀθέατον ἐπίσης
μὲ τ' ἀόρατα ἑνωμένον.
Μὲ τὸν τρόπο αὐτὸν καὶ τέτοιον
ἀφοῦ μ' ἔκανεν ὁ κτίστης,
σὲ σκηνὴ μὲ φέρνει μέσα,
τὸ αἰσθητό μου σῶμα ποὺ εἶναι,
καὶ μέσα σ' αὐτὴ μὲ κλείνει
καὶ σοφὰ μ' ἐξασφαλίζει.
Μὲς στὸν κόσμο ρίχνοντάς με,
αἰσθητὸς κι ὁρατὸς πού 'ναι,

331–334. Εἶναι ἡ θεία ἀλλοίωση.

*πάλιν ἔθετο βιοῦν με*
*καὶ συνεῖναι τοῖς ἐν σκότει,*
*τὸν ἀπαλλαγέντα σκότους,*
*καὶ καθεῖρχθαι μετ' ἐκείνων,*
*τῶν ἐν τῷ βορβόρῳ λέγω·*
*μᾶλλον δὲ διδάσκειν τούτοις,*
*είς ἐπίγνωσίν τε ἄγειν,*
*ὧν περίκεινται τραυμάτων*
*καὶ ὧν δεσμῶν κατέχονται.*
*Ἐντειλάμενος ἀπῆλθεν.*
*Ἐγκαταλειφθεὶς οὖν μόνος,*
*ἐν τῷ πρώην σκότει λέγω,*
*οὐκ ἠρκέσθην, οἷσπερ εἶπον*
*ὅτι ἐδωρήσατό μοι,*
*ἀγαθοῖς ἀνεκλαλήτοις*
*ὅλον μὲ ἀνακαινίσας,*
*ὅλον με ἀθανατίσας,*
*ὅλον με θεοποιήσας*
*καὶ Χριστὸν ἀποτελέσας.*
*Ἀλλ' ἡ στέρησις ἐκείνου*
*λήθην πάντων ἐνεποίει*
*τῶν καλῶν, ὧν εἶπον τούτων,*
*καὶ ἐδόκουν ἐστερῆσθαι.*
*Διὰ τοῦτο ὡς τοῖς πρώην*
*ἐμπαγεὶς κακοῖς ἠχθόμην*
*καὶ καθήμενος ἐν μέσῳ*
*τῆς σκηνῆς, ὥσπερ ἐν θήβῃ*
*ἢ ἐν πίθῳ κεκλεισμένος,*
*ἔκλαιον, ἐθρήνουν σφόδρα*
*ἔξωθεν ὅλως μὴ βλέπων.*
*Ἐξεζήτουν γὰρ ἐκεῖνον,*
*ἐκεῖνον ὅνπερ ἐπόθουν,*
*οὗ ἠράσθην, οὗ τῷ κάλλει*
*ὡραιότητος ἐτρώθην,*

---

369. Ἐξ. 2,6. 374. Ἆισμα 3,1.

375. Ψαλμ. 44,2. 376. Ἆισμα 5,8.

πάλι συντροφιὰ μὲ βάζει
νὰ ζῶ μὲ τοὺς σκοτεινούς, ἐνῶ
εἶχα ἀπαλλαγεῖ ἀπ' τὸ σκότος,
στὴν είρκτὴ μαζὶ μ' ἐκείνους
ποὺ στὸ βοῦρκο μέσα ζοῦσαν·
μᾶλλον, δάσκαλός τους νά 'μαι
καὶ νὰ νιώσουν νὰ τοὺς κάνω
πόσα τραύματα τοὺς σφίγγουν
καὶ δεσμὰ πόσα τοὺς δένουν.
Ἔδωσε ἐντολὴ κι ἐχάθη
κι ἔμεινα λοιπὸν μονάχος,
στὸ προηγούμενο σκοτάδι.
Μὰ ἀρκετὰ δὲ μοῦ φανῆκαν
ὅσα πὼς μοῦ χάρισε εἶπα
ἄφραστα ἀγαθὰ μεγάλα·
μ' εἶχε ἀνακαινίσει ἀκέριο
κι ἀποθανατίσει ἀκέριο
καὶ θεοποιήσει ἀκέριο
καὶ Χριστὸ μ' εἶχε ἀναδείξει.
Ἀλλὰ ἡ στέρηση ἐκείνου
ὅλων τῶν καλῶν τὴ λήθη,
ὅσων εἶπα, προξενοῦσε
κι ὅτι μοῦ ἔλειπαν θαρροῦσα.
Καὶ γι' αὐτὸ καθὼς λυπόμουν
στὰ παλιὰ δεινὰ μπλεγμένος
καὶ καθήμενος στὴ μέση
τῆς σκηνῆς σὰν σὲ κιβούρι
ἢ κλεισμένος σὲ πιθάρι,
ἔκλαια καὶ θρηνοῦσα δίχως
ἔξω νὰ θωρῶ καθόλου.
Ἦταν ποὺ ζητοῦσα ἐκεῖνον,
ἦταν ποὺ ποθοῦσα ἐκεῖνον
ποὺ ἐρωτεύτηκα καὶ μ' εἶχε
ἄχ, λαβώσει ἡ ὀμορφιά του·

*ἐφλεγόμην, ἐκαιόμην,*
*ὅλος ἐνεπυριζόμην.*
*Οὕτως οὖν διάγοντά με,*
*οὕτω καὶ δακρύοντά με,*
*ἐκτηκόμενόν τε ἅμα*
*καὶ δεινῶς με μαστιζόμενον*
*καὶ βοῶντα κατωδύνως,*
*τῆς κραυγῆς μου ἐπακούσας,*
*ἀπὸ ἀνεικάστου ὕψους*
*διακύψας καὶ ἰδών με*
*κατηλέησε καὶ αὖθις*
*κατιδεῖν ἠξίωσέ με*
*τὸν ἀόρατον τοῖς πᾶσιν,*
*ὅσον ἐφικτὸν ἀνθρώπῳ.*
*Ὃν ἰδὼν ἐξεθαμβήθην*
*ἐν οἰκίᾳ καθειργμένος*
*καὶ ἐν πίθῳ κεκλεισμένος*
*καὶ τοῦ σκότους ὢν ἐν μέσῳ,*
*οὐρανοῦ καὶ γῆς σοι λέγω.*
*Αἰσθητῶς καλῶ γὰρ σκότος,*
*ἐπεὶ ἅπαντας ἀνθρώπους*
*– καὶ τὰς τούτων διανοίας*
*αἰσθητοῖς συγκεκραμένας –*
*ἐν τούτοις ὄντας ταῦτα*
*συγκαλύπτουσι βαρέως.*
*Ὅμως ὢν ἐν τούτοις εἶδον*
*τὸν προόντα, καθὼς εἶπον,*
*καὶ νῦν ὄντα πάντων ἔξω νοερῶς*
*καὶ ἐθαύμασα, ἐξέστην,*
*ἐφοβήθην καὶ ἐχάρην.*
*Καὶ κατανοῶν τὸ θαῦμα,*
*πῶς τὸν ἔξω πάντων ὄντα*
*ἔνδον ὢν ἐγὼ τῶν πάντων*
*βλέπω μόνος βλέποντά με,*

---

386. Ψαλμ. 101. 20.

φλογιζόμουν, ἐκαιγόμουν
στὴ φωτιὰ βασανιζόμουν.
Ἔτσι λοιπὸν ἐνῶ ζοῦσα
κι ἔτσι ἐνῶ ἔκλαιγα συνέχεια
κι ἔλιωνα ἔτσι ἀπὸ τὸν πόνο
μὲς σὲ φοβερὸ μαρτύριο
κι ἔβαζα κραυγὲς ὀδύνης,
τὴ φωνή μου ἀκούει στὸ τέλος
ἀπ' τ' ἀφάνταστό του ὕψος.
Σκύβοντας καὶ βλέποντάς με
μὲ σπλαχνίστηκε καὶ πάλι
μ' ἔκανε ἄξιο νὰ τὸν δῶ
ὅσο οἱ ἄνθρωποι μποροῦνε
τὸν ἀόρατο στοὺς πάντες.
Σάστισα ὅταν τὸν εἶδα
σφαλισμένος μὲς στὸ σπίτι,
στὸ πιθάρι μου κλεισμένος,
μὲς στοῦ σκοταδιοῦ τὴ μέση,
οὐρανὸ καὶ γῆ σοῦ λέγω.
Γιὰ αἰσθητὸ μιλῶ σκοτάδι
γιατὶ σ' ὅλους τοὺς ἀνθρώπους
(καὶ τὶς σκέψεις ὅλες τους
μὲ τὰ αἰσθητὰ ἑνωμένες)
τὰ αἰσθητὰ ὅπου μέσα ζοῦνε
κάλυμμα βαρὺ τοὺς ρίχνουν.
Μὲς σ' αὐτὰ βρισκόμουν μὰ εἶδα
τὸν ποὺ πρὶν καὶ τώρα, ὡς εἶπα,
νοερὰ ἦταν ἔξω ἀπ' ὅλα.
Θάμπος κι ἔκσταση μὲ πιάνουν,
φόβος καὶ χαρὰ μεγάλη,
καὶ τὸ θαῦμα συλλογιόμουν:
Πῶς αὐτὸν ποὺ εἶν' ἔξω ἀπ' ὅλα
ἐγὼ μὲν στὴ μέση ὅλων
μόνος βλέπω καὶ μὲ βλέπει,

*μὴ γινώσκων, ποῦ ὑπάρχει,*
*πόσος ἔστι, ποταπὸς δὲ*
*ἢ ὁποῖος, ὃν καὶ βλέπω,*
*ἢ πῶς βλέπω ἢ τί βλέπω·*
*ὅμως βλέπων ἅπερ εἶδον,*
*καὶ θρηνῶν, ὅτι μὴ γνῶναι*
*δύναμαι τὸν τρόπον τοῦτον*
*μηδὲ ὅλως ἐννοῆσαι*
*ἢ ποσῶς κατανοῆσαι,*
*πῶς, ὃν βλέπω, πῶς με βλέπει,*
*εἶδον πάλιν τοῦτον ἔνδον*
*τῆς οἰκίας καὶ τοῦ πίθου*
*ὅλον αἴφνης γεγονότα,*
*ἑνωθέντα τε ἀφράστως,*
*ἀπορρήτως συναφθέντα*
*καὶ μιγέντα μοι ἀμίκτως*
*ὡς τὸ πῦρ αὐτῷ σιδήρῳ*
*καὶ τὸ φῶς γε τῷ ὑέλῳ,*
*καὶ ἐποίησεν ὡς πῦρ με*
*καὶ ὡς φῶς ἀπέδειξέ με,*
*καὶ ἐκεῖνο ἐγενόμην,*
*ὅπερ ἔβλεπον πρὸ τούτου*
*καὶ μακρόθεν ἐθεώρουν,*
*καὶ οὐκ οἶδα, πῶς σοι φράσω*
*τὸ παράδοξον τοῦ τρόπου·*
*οὐ γὰρ ἠδυνήθην γνῶναι,*
*οὐδὲ νῦν γινώσκω πάντως,*
*πῶς εἰσῆλθε, πῶς ἡνώθη.*
*Ἑνωθεὶς δέ, πῶς σοι εἴπω*
*τίς ἐστιν ὁ ἑνωθείς μοι,*
*τίνι δὲ κἀγὼ ἡνώθην;*
*Φρίττω καὶ φοβοῦμαι, μήπως*

---

439 ἑ. Ὁ Συμεὼν γίνεται πολὺ προσεκτικὸς μήπως μὲ τὸ ὕψος τοῦ δράματ

ποῦ εἶναι δίχως νὰ γνωρίζω,
πόσος εἶναι, ποιά ἡ ἀρχή του,
τί λογῆς, αὐτὸς ποὺ βλέπω,
πῶς τὸν βλέπω καὶ τί βλέπω.
Ὅμως βλέποντας ὅ,τι εἶδα
καὶ θρηνώντας ποὺ νὰ μάθω
δὲν μπορῶ τὸν τρόπο τοῦτον
μήτε ὁλότελα νὰ νιώσω
μήτε κὰν στὸ νοῦ νὰ βάλω,
πῶς τὸν βλέπω, πῶς μὲ βλέπει,
πῶς ξανάδα πάλι τοῦτο
μὲς στὸ σπίτι, στὸ πιθάρι
νάρχεται ἄξαφνα ὅλος μέσα
κι ἄφραστα νά 'ναι ἑνωμένος
καὶ ἀπόρρητα δεμένος
κι ἄσμιχτα νὰ μ' ἔχει σμίξει,
μὲ τὸ σίδερο ἡ φωτιὰ ὅπως
καὶ μὲ τὸ γυαλὶ τὸ φῶς.
Κι ὡς φωτιὰ μὲ κάνει νά 'μαι
καὶ μ' ἀνάδειξε ὅπως φῶς·
κι ἔγινε αὐτὸ τὸ ἴδιο
ποὺ ἔβλεπα πρὶν ἀπ' αὐτὸ
καὶ ἀπὸ μακριὰ θωροῦσα.
Καὶ πῶς νὰ σοῦ πῶ δὲν ξέρω
τὸν παράδοξο αὐτὸν τρόπο.
Οὔτε μπόρεσα νὰ μάθω
μὰ καὶ τώρα μήτε ξέρω
πῶς μπῆκε καὶ πῶς ἑνώθη.
Κι ἀφοῦ ἑνώθη, πῶς νὰ πῶ,
ποιός ἑνώθηκε μὲ μένα,
μὰ κι ἐγὼ μὲ ποιόν ἐπίσης;
Φρίττω καὶ φοβοῦμαι μήπως

του προκαλέσει τὸν σκανδαλισμὸ τοῦ ἀδελφοῦ.

*ἐὰν εἴπω, ἀπιστήσας*
*περιπέσης βλασφημίᾳ*
*ἐξ ἀγνοίας καὶ ψυχήν σου*
*ἀπολέσης, ἀδελφέ μου.*
*Ὅμως ἓν ἐγὼ κἀκεῖνος,*
*ᾧ ἡνώθην, γεγονότες*
*τίνα ἐμαυτὸν καλέσω;*
*Ὁ Θεὸς διπλοῦς τὴν φύσιν,*
*τὴν ὑπόστασιν εἷς ὢν*
*διπλοῦν με εἰργάσατο.*
*Ἐργασάμενος διπλοῦν δὲ*
*διπλὰ καὶ ὀνόματα,*
*ὡς ὁρᾷς, παρέσχε μοι.*
*Βλέπε τὴν διαίρεσιν!*
*Ἄνθρωπός εἰμι τῇ φύσει,*
*θεὸς δὲ τῇ χάριτι.*
*Ὅρα, ποίαν χάριν λέγω*
*ἕνωσιν τὴν μετ' ἐκείνου*
*αἰσθητῶς καὶ νοερῶς τε,*
*οὐσιωδῶς καὶ πνευματικῶς τε!*
*Ἀλλὰ τὴν μὲν νοερὰν ἐξεῖπον*
*ἕνωσίν σοι διαφόρως*
*καὶ ποικίλως, αἰσθητὴν δὲ*
*τὴν τῶν μυστηρίων λέγω.*
*Καθαρθεὶς γὰρ μετανοίᾳ*
*καὶ τοῖς τῶν δακρύων ῥείθροις,*
*σώματος τεθεωμένου*
*ὡς Θεοῦ μεταλαμβάνων*
*θεὸς κἀγὼ γίνομαι*
*τῇ ἑνώσει τῇ ἀφράστῳ.*
*Ὅρα τὸ μυστήριον!*
*Ἡ ψυχὴ οὖν τὸ σῶμα,*
*ἵνα ταῦτα πάλιν εἴπω*
*ἐκ πολλῆς περιχαρείας,*

ἀπιστήσεις, ἂν σοῦ πῶ
καὶ σὲ βλασφημία πέσεις
κι ἀπὸ ἄγνοια, ἀδελφέ μου,
τῆς ψυχῆς ἀπώλεια ἔχεις.
Ὅμως ἀφοῦ γίναμε ἕνα,
ἐγὼ κι αὐτὸς ὁπού 'χα σμίξει,
τί νὰ πῶ τὸν ἑαυτό μου;
Ὁ διπλὸς στὴ φύση Θεός,
ἀλλὰ στὴν ὑπόσταση ἕνας
μ' ἔκανε διπλὸν ἐμένα.
Καὶ διπλὸ ἀφοῦ μ' ἔχει κάνει
καὶ διπλὰ τὰ ὀνόματά μου,
ὅπως βλέπεις, μοῦ ἔχει δώσει.
Πῶς χωρίζομαι, ἔλα κοίτα.
Ἄνθρωπος εἶμαι στὴ φύση
καὶ στὴ χάρη εἶμαι Θεός.
Ἄκου ποιά χάρη σοῦ λέγω·
λέω τὴν ἕνωση μ' ἐκεῖνον
μ' αἴσθησή μαζὶ καὶ νόηση
καὶ μ' οὐσία καὶ μὲ πνεῦμα.
Τὴ νοερὴ ἕνωση σοῦ εἶπα
μὲ πολλοὺς καὶ διαφόρους
τρόπους καὶ τὴν αἰσθητὴ
νὰ σοῦ πῶ τῶν μυστηρίων.
Σὰν μὲ κάθαρε ἡ μετάνοια
καὶ τὰ δάκρυά μου ποτάμια,
θεωμένο κοινωνώντας
σῶμα, Θεοῦ σῶμα ποὺ ἦταν,
γίνομαι κι ἐγὼ Θεὸς
μὲ τὴν ἄφραστη ἕνωσή μου.
Κοίτα τὸ μυστήριο τώρα!
Ἡ ψυχή μου καὶ τὸ σῶμα,
γιὰ νὰ ξαναπῶ τὰ ἴδια
ἀπὸ τὴν πολλὴ χαρά μου,

*ἓν ἐν οὐσίαις ταῖς δυσί·*
*ταῦτα οὖν τὰ ἓν καὶ δύο*
*τοῦ Χριστοῦ μεταλαβόντα*
*καὶ τοῦ αἵματος πιόντα*
*ἀμφοτέραις ταῖς οὐσίαις*
*καὶ ταῖς φύσεσιν ὡσαύτως*
*ἑνωθέντα τοῦ Θεοῦ μου*
*γίνονται Θεὸς μεθέξει,*
*ὁμωνύμως τε καλοῦνται*
*τῷ ὀνόματι ἐκείνου,*
*οὗ οὐσιωδῶς μετέσχον.*
*Λέγεται οὖν πῦρ ὁ ἄνθραξ*
*καὶ ὁ σίδηρος ὁ μέλας*
*πυρωθεὶς ὡς πῦρ ὁρᾶται.*
*Εἰ τοιοῦτος οὖν ὁρᾶται,*
*καὶ τοιοῦτος ἂν κληθείη·*
*πῦρ ὁρᾶται, πῦρ κληθείη.*
*Εἰ μὴ σεαυτὸν τοιοῦτον*
*ἔγνως, τοῖς περὶ τοιούτων*
*μὴ ἀπίστει λέγουσί σοι,*
*ἀλλὰ ζήτησον ἐξ ὅλης*
*τῆς καρδίας σου καὶ λήψῃ*
*μαργαρίτην ἢ σταγόνα*
*ἢ σινάπεως ὡς κόκκον,*
*ὡς σπινθῆρα θεῖον σπόρον.*
*Πῶς ζητήσεις, ὅ σοι λέγω;*
*Ἄκουσον, σπουδῇ τε πρᾶξον,*
*καὶ εὑρήσεις ἐν συντόμῳ·*
*λάβε μοι σαφῆ εἰκόνα,*
*τὴν τοῦ λίθου καὶ σιδήρου·*
*ἔνεστι καὶ γὰρ ἐν τούτοις*
*τοῦ πυρὸς ἡ φύσις πάντως,*

---

499. Ματθ. 13,45 ἑ. 500. Ματθ. 19,31 ἑ.

γίνονται ἕνα μὲ δυὸ οὐσίες.
Αὐτὰ λοιπὸν τὸ ἕνα καὶ δύο
τοῦ Χριστοῦ μου κοινωνῶντας
καὶ τὸ αἷμα πίνοντάς το
μὲ τὶς δυό του τὶς οὐσίες
καὶ τὶς δυὸ φύσεις του ἐπίσης
ἑνωμένα τοὺ Θεοῦ μου
γίνονται θεὸς 'μεθέξει,
καὶ ὁμώνυμα καλοῦνται
μὲ τὸ ὄνομα ἐκείνου
τὴν οὐσία του ποὺ μετεῖχαν.
Λὲν τὰ κάρβουνα φωτιὰ
καὶ τὸ σίδερο τὸ μαῦρο
ἂν πυρωθεὶ σὰ φωτιὰ δείχνει.
Ἂν λοιπὸν τὸν βλέπεις τέτοιο,
τέτοιο εἶναι καὶ τ' ὄνομά του·
φωτιὰ βλέπεις, φωτιὰ λές.
Ἂν δὲν γνώρισες σὰν τέτοιο
τὸν ἑαυτό σου σ' ὅσους τέτοια
σοὺ ἀναφέρουν μὴ ἀπιστεῖς,
ἀλλὰ ζήτησε ἀπ' τὰ βάθη
τῆς καρδιᾶς σου καὶ θὰ λάβεις
μιὰ σταλιὰ ἢ μαργαριτάρι
ἢ καὶ σιναπιοῦ ἕνα σπόρο,
σπόρο σὰν σπινθῆρα θεῖο.
Πῶς γιὰ ὅ,τι σοῦ λέω θὰ ψάξεις;
Ἄκου καὶ μὲ βιάση πράξε
τὸ γοργότερο νὰ τό 'βρεις.
Πάρε καθαρὴν εἰκόνα,
τὸ σίδερο καὶ τὴν πέτρα
καὶ σ' αὐτὰ τὰ δύο ὑπάρχει
τῆς φωτιᾶς στ' ἀλήθεια ἡ φύση,

501. Λουκᾶ 8,5 ἑ.

*οὐχ ὁρᾶται δὲ κἂν ὅλως.*
*Συγκρουόμενα δὲ ὅμως*
*συνεχῶς πυρὸς σπινθῆρας*
*ἀποπέμπουσι καὶ πᾶσι*
*καθορῶνται μὲν ἐν πρώτοις,*
*οὐκ ἀνάπτονται δὲ ὅμως,*
*εἰ μὴ δράξωνται καὶ ὕλης.*
*Ταύτῃ δ' ἑνωθεὶς ἐκ τούτων*
*εἷς σπινθὴρ μικρὸς εἰς ἅπαν*
*ἐξανάπτει κατ' ὀλίγον*
*καὶ εἰς ὕψος αἴρει φλόγα*
*καὶ φωτίζει τὴν οἰκίαν*
*καὶ τὸ σκότος ἐκδιώκει*
*καὶ ποιεῖ τοῦ βλέπειν πάντας,*
*τοὺς ἐν τῇ οἰκίᾳ ὄντας.*
*Εἶδες θαῦμα; Λέγε οὖν μοι·*
*Πρὸ τοῦ συνεχῶς κρουσθῆναι*
*πῶς ἐκπέμψουσι σπινθῆρας;*
*Ἄνευ δὲ σπινθῆρος ὕλη*
*αὐτομάτως πῶς ἀνάψει;*
*Πρὶν ἀνάψει, πῶς φωτίσει,*
*πῶς τὸ σκότος ἐκδιώξει,*
*πῶς τοῦ βλέπειν σοι παράσχει;*
*Οὐδαμῶς, μοὶ πάντως εἴπεις,*
*δυνατόν ποτε γενέσθαι.*
*Οὕτως οὖν καὶ σὺ ποιῆσαι*
*προθυμήθητι καὶ λήψῃς*
*– Τί σοι λέγω, ὅτι λήψῃ; –*
*θείας φύσεως σπινθῆρα,*
*ὃν ὡμοίωσεν ὁ κτίστης*
*πολυτίμῳ μαργαρίτῃ*
*καὶ σινάπεως τῷ κόκκῳ.*

---

523. Ματθ. 5,15.

μὰ δὲ φαίνεται καθόλου.
Ὅταν τὰ συγκρούομε ὅμως
συνεχῶς σπίθες φωτιᾶς
ξεπετιοῦνται κι ὁ καθένας
τὶς διακρίνει μὲ τὸ πρῶτο.
Ἀλλὰ ὡστόσο δὲν ἀνάβουν
ἂν δὲν πέσουνε σὲ φύλα.
Κι ἔτσι ἑνωθεῖ ἀπὸ τοῦτες
μιὰ μικρὴ μικρούλα σπίθα
νά, κι ἀνάβει λίγο–λίγο
καὶ πετάει ψηλὰ τὶς φλόγες·
καταλάμπει ὅλο τὸ σπίτι,
τὸ σκοτάδι κυνηγᾶ
καὶ νὰ βλέπουν ὅλοι κάνει
ὅσοι εἶναι μέσα στὸ σπίτι.
Νά, τὸ θαῦμα, ἐξήγησέ το.
Δίχως κρούση ἀπανωτὴ
πῶς θὰ βγάλουνε τὶς σπίθες;
Κι ἀπὸ μόνα τους τὰ ξύλα
πῶς θ' ἀνάψουν δίχως σπίθα;
Πρὶν ν' ἀνάψουν πῶς θὰ λάμψουν,
πῶς θὰ διώξουν τὸ σκοτάδι,
πῶς νὰ δεῖς θὰ σοῦ ἐπιτρέψουν;
Τοῦτο, θὰ μοῦ πεῖς, δὲν εἶναι
δυνατὸ ποτὲ νὰ γίνει.
Ἔτσι προθυμοποιήσου
κι ἐσὺ κάνε καὶ θὰ λάβεις,
– Τί σοῦ λέγω πῶς θὰ λάβεις; –
μιὰ τῆς θείας φύσης σπίθα
ποὺ παρόμοιασεν ὁ κτίστης
μ' ἀκριβὸ μαργαριτάρι
καὶ μὲ σιναπιοῦ ἕνα κόκκο.

534. Δίνονται ὁδηγίες στὸ μαθητὴ πῶς θὰ λάβει τὸν θεῖο σπινθήρα καὶ θὰ ὸν διακυρήσει.

*Τί ποιῆσαι δέ σοι λέγω;*
*Ἄκουσον ἐμπόνως, τέκνον·*
*Ἔστω σοι ψυχὴ καὶ σῶμα*
*ἀντὶ λίθου καὶ σιδήρου,*
*ὁ δὲ νοῦς ὡς αὐτοκράτωρ*
*τῶν παθῶν ἀδολεσχείτω*
*πράξεσι ταῖς ἐναρέτοις*
*καὶ ἐννοίαις θεαρέστοις*
*καὶ ὡς λίθον μὲν τὸ σῶμα,*
*ὡς δὲ σίδηρον τὴν ψυχὴν*
*χερσὶ νοηταῖς κρατήσας*
*ἑλκυέτω καὶ ἀγέτω*
*πρὸς τὰς πράξεις μετὰ βίας·*
*βιαστὴ καὶ γὰρ ὑπάρχει*
*οὐρανῶν ἡ βασιλεία.*
*Ποίας πράξεις δέ σοι λέγω;*
*Ἀγρυπνίαν καὶ νηστείαν,*
*θερμήν τε μετάνοιαν,*
*δακρύων ὄμβρους καὶ πένθος,*
*ἄπαυστον θανάτου μνήμην,*
*ἀδιάλειπτον εὐχήν τε*
*καὶ ὑπομονὴν παντοίων*
*πειρασμῶν ἐπερχομένων·*
*πρὸ τούτων πάντων σιωπὴν*
*καὶ ταπείνωσιν βαθεῖαν*
*καὶ ὑπακοὴν τελείαν*
*καὶ θελήματος ἐκκοπήν.*
*Τούτοις οὖν καὶ τοῖς τοιούτοις*
*ἡ ψυχὴ ἀδολεσχοῦσα*
*καὶ ἀεὶ συνεχομένη*
*λαμπηδόνας μὲν ἐν πρώτοις*
*δέχεσθαι ποιεῖ τὸν νοῦν σου,*
*ἀλλὰ σβέννυται συντόμως,*
*ὅτι οὔπω ἐλεπτύνθη,*

---

554. Ματθ. 11,12.

Τί σοῦ λέω τώρα νὰ κάνεις;
Ἄκου πρόθυμα, παιδί μου.
Σίδερο κι ὡς πέτρα βάλε
τὴν ψυχή σου καὶ τὸ σῶμα
καὶ κυρίαρχος ὁ νοῦς σου
τῶν παθῶν ἂς ἀσχολεῖται
μὲ τῆς ἀρετῆς τὶς πράξεις
καὶ τὶς ἔννοιες τὶς θεάρεστες·
καὶ τὸ σῶμα σὰν τὴ πέτρα
καὶ σὰν σίδερο κρατώντας
τὴν ψυχὴ μὲ νοητὰ χέρια
ὁδηγώντας νὰ τὴ σέρνεις
πρὸς τὶς πράξεις μὲ τὴ βία·
βιάζεται, ὅπως λέει ὁ λόγος,
ἡ βασιλεία τῶν οὐρανῶν.
Καὶ ποιές πράξεις σοῦ προτείνω;
Ἀγρυπνία καὶ νηστεία
καὶ ὁλόθερμη μετάνοια,
καὶ δακρύων ποτάμια, πένθος,
μνήμη ἀδιάκοπη θανάτου,
προσευχὴ μὲ δίχως παύση
καὶ ὑπομονὴ σὲ κάθε
πειρασμὸ ποὺ θὰ σὲ δέρνει.
Καὶ σιωπὴ πάνω ἀπ' ὅλα
καὶ ταπείνωση βαθιὰ
καὶ ὑπακοὴ ὡς τὸ τέλος,
κόψε καὶ τὸ θέλημά σου.
Τέτοια καὶ παρόμοια ἄλλα
μελετώντας ἡ ψυχὴ
καὶ σ' αὐτὰ προσηλωμένη
πάντα πρῶτα λαμπηδόνες
νὰ δεχτεῖ κάνει τὸ νοῦ σου,
μόνο ποὺ σὲ λίγο σβήνει,
ὡς λεπτὸς τόσο δὲν εἶναι

*ἵνα καὶ συντόμως ἅψῃ.*
*Ὅτε δὲ καὶ τῆς καρδίας*
*ἅψεται βολὶς ἡ θεία,*
*τότε καὶ αὐτὴν φωτίζει*
*καὶ τὸν νοῦν ἀποκαθαίρει*
*καὶ εἰς ὕψος τοῦτον αἴρει*
*καὶ πρὸς οὐρανὸν ἀνάγει*
*καὶ ἑνοῖ φωτὶ τῷ θείῳ.*
*Ἃ σοι εἶπον πρὶν ποιήσεις,*
*πῶς, εἰπέ μοι, καθαρθήσῃ;*
*Πρὸ τοῦ καθαρθῆναι δέ σε,*
*πῶς ὁ νοῦς σου λαμπηδόνας*
*ὑποδέξεται τὰς θείας;*
*Πῶς δέ, λέγε μοι, καὶ πόθεν*
*ἄλλοθεν τῇ σῇ καρδίᾳ*
*ἐμπεσὸν τὸ πῦρ τὸ θεῖον*
*ἀναφθήσεται καὶ ταύτην*
*ἐξανάψει καὶ πυρώσει*
*καὶ ἑνώσει καὶ συνάψει*
*καὶ ἀχώριστον ποιήσει*
*τὸ κτιστὸν μετὰ τοῦ κτίστου;*
*Οὐδαμῶς ποτέ, μοὶ φήσεις,*
*τοῦτο δυνατὸν ὑπάρξειν*
*οὐδενὶ τῶν γεννηθεντων*
*ἢ γεννήσεσθαι μελλόντων.*
*Τὰ δ' ἐντεῦθεν μὴ ἐρώτα!*
*Εἰ ἑνωθῇς γὰρ τῷ φωτί,*
*πάντα σοι αὐτὸ διδάξει*
*καὶ ἀποκαλύψει πάντα*
*καὶ καθυποδείξει, ὅσα*
*καὶ συμφέρει τοῦ μαθεῖν σε.*
*Ἄλλως γὰρ ἀδύνατόν σε*
*τὰ ἐκεῖσε λόγῳ μαθεῖν·*
*τῷ Κυρίῳ δὲ δόξα εἰς τοὺς αἰῶνας.*
*Ἀμήν.*

---

590. Λουκᾶ 12,49. 602. Ἰω. 14,26.

γιὰ ν' ἀνάψει μὲ τὸ πρῶτο.
Ὅταν πιὰ καὶ τὴν καρδιά σου
ἡ ριπὴ ἀνάψει ἡ θεία
κι αὐτὴν τότε τὴ φωτίζει
καὶ τὸ νοῦ τότε καθαίρει
καὶ τὸν ἀνεβάζει στὰ ὕψη,
τὸν ὑψώνει στὰ οὐράνια,
μὲ τὸ θεῖο φῶς τὸν ἑνώνει.
Πρὶν νὰ κάνεις ὅσα σοῦ εἶπα,
πές μου, πῶς θὰ καθαρθεῖς;
Καὶ προτοῦ νὰ καθαρθεῖς
πῶς τὶς θεῖες λαμπηδόνες
θὰ ὑποδεχτεῖ ὁ νοῦς σου;
Πές μου, πῶς καὶ ἀπὸ ποῦ
ἀλλοῦ μέσα στὴν καρδιά σου
πέφτοντας ἡ θεία φωτιὰ
θ' ἀναφτεῖ μὰ καὶ θ' ἀνάψει
τὴν καρδιὰ καὶ θὰ πυρώσει
καὶ θὰ ἑνώσει, θὰ συνδέσει
καὶ ἀχώριστο θὰ κάνει
μὲ τὸ πλάσμα του τὸν πλάστη;
Θὰ μοῦ πεῖς ποτέ, καθόλου
δὲν μπορεῖ νὰ γίνει τοῦτο
σὲ κανένα ἀπ' ὅσους ἦρθαν
στὴ ζωὴ καὶ σ' ὅσους θάρθουν.
Μὴ ρωτᾶς τὰ παραπέρα.
Μὲ τὸ φῶς ἂν ἑνωθεῖς
ὅλα αὐτὸ θὰ στὰ διδάξει
κι ὅλα θὰ σοῦ ἀποκαλύψει
καὶ θὰ σοῦ ὑποδείξει κι ὅσα
σοῦ συμφέρει νὰ τὰ μάθεις.
Εἶναι ἐξάλλου ἀδύνατο νὰ
μάθεις τὰ ἐκεῖ μὲ λόγια
Καὶ στὸν Κύριο δόξα στοὺς αἰῶνες.
Ἀμήν.

## ΛΑʹ

### *Περὶ θεολογίας καὶ ὅτι ἀνεξερεύνητος ἡ θεία φύσις καὶ πάντῃ τοῖς ἀνθρώποις ἀκατανόητος.*

*Κύριε, ὁ Θεὸς ἡμῶν, Πάτερ, Υἱὲ καὶ Πνεῦμα,*
*σὺ τῇ μορφῇ ἀνείδεος, παγκαλὴς δὲ τῇ θέᾳ,*
*τῷ ἀμηχάνῳ κάλλει σου ἀμαυρῶν πᾶσαν θέαν,*
*ὡραῖος ὑπὲρ ὅρασιν ὑπέρκεισαι γὰρ πάντων.*
*Ἄποσος ἐν ποσότητι ὁρώμενος, οἷς βούλει,*
*οὐσίᾳ ὑπερούσιος, ἄγνωστος καὶ ἀγγέλοις·*
*ὅτι γὰρ ἧς, γινώσκοντες ἐκ τῶν ἐνεργειῶν σου,*
*ἐπεὶ αὐτὸν ὠνόμασας Θεόν, τὸν ὄντως ὄντα,*
*τοῦτο οὐσίαν λέγομεν, ὑπόστασιν καλοῦμεν·*
*τὸ γὰρ μὴ ὂν ἀνούσιον ὂν ἀνυπόστατον πέλει,*
*καὶ διὰ τοῦτο τολμηρῶς ἐνούσιον καλοῦμεν,*
*ἐνυπόστατον λέγομεν, ὃν οὐδείς ποτε εἶδε,*
*τὸν τρισυπόστατον Θεόν, ἀρχὴν ἄναρχον μίαν.*
*Ἄλλως δὲ πῶς τολμήσωμεν οὐσίαν σε καλέσαι*
*ἢ ὑποστάσεις ἐπὶ σοῦ τρεῖς μεριστᾶς δοξάσαι;*
*Ὁποίαν δὲ καὶ ἕνωσιν ὅλως τίς ἐννοήσει,*
*εἰ ὁ Πατὴρ γὰρ ἐν σοὶ καὶ σὺ ἐν τῷ Πατρί σου*
*καὶ ἐξ αὐτοῦ τὸ ἅγιον προέρχεταί σου Πνεῦμα*
*καὶ σὺ αὐτός, ὁ Κύριος, τὸ Πνεῦμά σου ὑπάρχεις,*
*τὸ δὲ Πνεῦμα ὁ Κύριος κέκλησαι καὶ Θεός μου*
*καὶ ὁ Πατήρ σου Πνεῦμα δὲ καὶ ἔστι καὶ καλεῖται;*

---

8. Ἐξ. 3,14. 12. Ἰω. 1,18.
17. Ἰω. 17,21. 18. Ἰω. 15,26.
20. Βʹ Κορ. 3,17 καὶ Ἰω. 20,28. 21. Ἰω. 4,24.

## 31 *

**Περὶ θεολογίας, καὶ ὅτι ἡ θεία φύση εἶναι ἀνεξερεύνητη καὶ ὁλότελα ἀκατανόητη ἀπὸ τοὺς ἀνθρώπους.**

Κύριε, ὁ Θεός μας, Πατέρα, Υἱὲ καὶ Πνεῦμα,
χωρὶς μορφὴ εἶναι ἡ ὄψη σου μὰ στὴ θωριὰ πανώριος,
στὸ ἀπίστευτο τὸ κάλλος σου κάθε ὄψη ξεθωριάζει,
γιατὶ στὴν ὄψη εἶσαι ὄμορφος καὶ ξεπερνᾶς τοὺς πάντες.
Ἄποσος εἶσαι στὸ ποσό, σὲ βλέπουν ὅσοι θέλεις,
ἡ οὐσία σου ὑπερούσια, κι ἄγνωστος στοὺς ἀγγέλους·
ὅτι ὑπάρχεις ξέρομε ἀπ' τὶς ἐνέργειές σου,
ἀφοῦ αὐτονομάστηκες Θεὸς στ' ἀλήθεια ὅτι εἶσαι,
αὐτὸ οὐσία τὸ λέμε ἐμεῖς κι ὑπόσταση συνάμα·
ἀνούσιο ἀφοῦ εἶναι τὸ μὴ ὂν ἀνυπόστατο εἶναι·
γι' αὐτὸ τὸ λόγο τολμηρὰ ὀνομάζομε ἐνούσιον,
καλοῦμε ἐνυπόστατον ὅποιον κανεὶς δὲν εἶδε,
τὸν τρισυπόστατο Θεόν, ἀρχὴ ἄναρχη καὶ μία.
Ἀλλιῶς πῶς θὰ τολμήσομε οὐσία νὰ σὲ ποῦμε
ἢ νὰ πρεσβεύσομε γιὰ σὲ τρεῖς ὑποστάσεις χώριες;
Ἀλλὰ καὶ ποιά εἶν' ἡ ἕνωση ποὺ θὰ σκεφτεῖ κανένας,
ἂν ὁ Πατέρας σου σὲ σὲ καὶ Σὺ εἶσαι στὸν Πατέρα
καὶ ἂν ἀπ' αὐτὸν προέρχεται τὸ ἅγιο σου τὸ Πνεῦμα
καὶ σὺ ὁ ἴδιος ὁ Κύριος εἶσαι τὸ ἅγιο Πνεῦμα,
καὶ Πνεῦμα ὀνομάζεται ὁ Κύριος καὶ Θεός μου
καὶ Πνεῦμα κι ὁ Πατέρας σου καὶ εἶναι καὶ καλεῖται;

---

* Ξαναδιάβασε τὸν ὕμνο 21 μὲ τὸν ὁποῖο ἔχει οὐσιαστικὴ σχέση ὁ ὕμνος τός.

Οὐδεὶς δὲ εἶδε σέ ποτε ἀγγέλων ἢ ἀνθρώπων,
οὐ ταῦτα ἐθεάσατο, οὐ τὸν τρόπον ἐπέγνω,
πῶς εἴπῃ, πῶς δὲ φθέγξοιτο, πῶς χωρισμὸν τολμήσῃ
ἢ ἕνωσιν ἢ σύγχυσιν ἢ μίξιν ἢ καὶ κρᾶσιν,
τὸ ἓν δὲ τρία προσειπεῖν, ἕνα πῶς δὲ τὰ τρία.
Διὰ τοῦτο οὖν, Δέσποτα, ἐξ ὧν εἶπας πιστεύει,
ἐξ ὧν ἐδίδαξας ὑμνεῖ πᾶς πιστός σου τὸ κράτος,
ἐπεὶ πάντα τὰ κατὰ σὲ ἀκατάληπτα πάντῃ,
ἄγνωστα καὶ ἀνέκφορα τοῖς ὑπὸ σοῦ κτισθεῖσι.
Καὶ γὰρ ἀκατανόητος ἐστιν ἡ ὕπαρξίς σου,
ὅτι πέφυκας ἄκτιστος, ἐγέννησας δ' ὡσαύτως·
καὶ πῶς κτιστὸς νοήσει σου τῆς ὑπάρξεως τρόπον
ἢ τῆς γεννήσεως τοῦ σοῦ Υἱοῦ, Θεοῦ καὶ Λόγου,
εἴτε τῆς ἐκπορεύσεως Πνεύματός σου τοῦ Θείου,
ἵνα καὶ ἕνωσίν σου γνῷ καὶ χωρισμὸν κατίδοι
καὶ ἀκριβῶς οὐσίας σου τὸ εἶδος καταμάθοι;
Οὐδεὶς οὐδέπω εἶδε σου τούτων τι, ὧνπερ εἶπον.
Οὐ γὰρ ἐνδέχεται Θεὸν ἄλλον φύσει γενέσθαι,
ἵνα καὶ φύσεως τῆς σῆς ἐρευνῆσαι ἰσχύσῃ
οὐσίαν, εἶδος καὶ μορφήν, ὑπόστασιν ὡσαύτως,
ἀλλ' εἶ αὐτὸς ἐν σεαυτῷ, μόνος Τριὰς Θεὸς εἶ,
μόνος γινώσκων σεαυτόν, Υἱόν σου καὶ τὸ Πνεῦμα
καὶ ὑπ' αὐτῶν ὡς συμφυῶν γινωσκόμενος μόνων.
Οἱ δ' ἄλλοι –ὥσπερ αἰσθητοῦ ἡλίου τὰς ἀκτῖνας
καὶ οὗτοι καλῶς βλέποντες καὶ τηλαυγῶς ὁρῶντες
ἔνδον οἴκου καθήμενοι εἰσιούσας ὁρῶσιν,
ἐκεῖνοι δὲ τὸν ἥλιον ὅλως οὐ καθορῶσιν –
οὕτω τῆς δόξης σου τὸ φῶς, οὕτω τὰς λαμπηδόνας,
καὶ ταύτας ἐν αἰνίγματι νοΐ κεκαθαρμένῳ,
οἱ ἐκ ψυχῆς ζητοῦντές σε βλέπειν καταξιοῦνται·
σὲ δέ, ὁποῖος, ποταπὸς τῇ οὐσίᾳ τυγχάνεις
ἢ πῶς ἅπαξ ἐγέννησας καὶ γεννᾷς ἀεννάως –

22. Α' Τιμ. 6,16. 43. Ματθ. 11,27.

Μὰ καὶ κανένας ἄγγελος οὔτε ἄνθρωπος δὲ σὲ εἶδε,
οὔτε εἶδε τὸ μυστήριο αὐτὸ κι οὔτε τὸν τρόπο ξέρει,
πῶς νὰ μιλήσει, τί νὰ πεῖ καὶ πῶς νὰ τὰ χωρίσει
πῶς νὰ τολμήσει ἕνωση, σύγχυση, μίξη ἢ κράση,
τρία τὸ ἕνα γιὰ νὰ πεῖ καὶ πῶς ἕνα τὰ τρία.
Λοιπὸν γιὰ τοῦτο, Δέσποτα, πιστεύει ἀπ' ὅσα εἶπες
κι ἀπ' ὅσα δίδαξες ὑμνεῖ ὁ πιστὸς τὴ δύναμή σου,
γιατὶ ὅσα σχετικὰ μὲ σὲ εἶναι ἀκατανόητα
καὶ ἄγνωστα κι ἀνείπωτα ἀπὸ τὰ πλάσματά σου.
Γιατὶ εἶν' ἀκατανόητη γιὰ μᾶς ἡ ὕπαρξή σου,
ἀφοῦ, ἐνῶ εἶσαι ἄκτιστος, ἔχεις γεννήσει ὡστόσο·
καὶ πῶς νὰ νιώσει τὸ κτιστὸ τὸν τρόπο ποὺ ὑπάρχεις
ἢ πῶς ἔγινε ἡ γέννηση τοῦ Υἱοῦ σου, Θεοῦ καὶ Λόγου,
εἴτε πῶς ἐκπορεύεται τὸ Πνεῦμα σου τὸ θεῖο
κι ἔτσι ἕνωση καὶ χωρισμὸ νὰ φανταστεῖ σ' ἐσένα
καὶ τὴν οὐσία σου ἀκριβῶς πῶς εἶναι νὰ ἐννοήσει;
Ποτὲ κανένας ἀπ' αὐτὰ ποὺ σοῦ 'πα ἕνα δὲν ξέρει.
Γιατὶ 'ν' ἀδύνατο Θεὸς στὴ φύση ἄλλος νὰ ὑπάρχει,
γιὰ νὰ μπορέσει καὶ τῆς φύσης σου νὰ ἐρευνήσει
οὐσία, εἶδος καὶ μορφὴ κι ὑπόσταση ἐπίσης,
μὰ ἀπὸ τὸν ἑαυτό σου Θεὸς τριάδα ἐσὺ εἶσαι μόνος
καὶ τὸν ἑαυτό σου μόνος σου ξέρεις καὶ Υἱὸ καὶ Πνεῦμα
κι αὐτοὶ γνωρίζουν πάλι ἐσὲ τὴν ἴδια ὡς ἔχουν φύση.
Καὶ ὅπως οἱ ἄλλοι τοῦ αἰσθητοῦ τοῦ ἥλιου τὶς ἀκτίνες
–καὶ τοῦτοι βλέποντας καλὰ καὶ μακρινὰ θωρώντας–
ὅταν στὸ σπίτι κάθονται βλέπουν νὰ μπαίνουν μέσα,
ἀλλὰ τὸν ἥλιο βέβαια καθόλου δὲν τὸν βλέπουν,
ἔτσι τῆς δόξας σου τὸ φῶς, ἔτσι τὶς λαμπηδόνες
κι αὐτές πάλι αἰνιγματικὰ μὲ τὸν καθάριο νοῦ τους
ὅσοι ἐκ βαθέων σ' ἀναζητοῦν ἀξιώνονται νὰ δοῦνε.
Μὰ ἐσένα; Ἐσὺ εἶσαι ποιός καὶ ποιά ἡ οὐσία σου εἶναι,
ἢ πῶς γέννησες μιὰ φορά, κι ὅμως γεννᾶς ἀέναα

50. Α' Κορ. 13,12.

*καὶ οὐ χωρίζῃ τοῦ ἐκ σοῦ γεννωμένου, ἀλλ' ἔστιν*
*ὅλος ἐν σοί, ὅλος πληρῶν θεότητι τὰ πάντα,*
*ὅλος γε μένεις ἐν αὐτῷ τῷ Υἱῷ ὁ Πατὴρ δὲ*
*καὶ σοῦ ἐκπορευόμενον ἔχεις τὸ Θεῖον Πνεῦμα,*
*πάντα γινῶσκον καὶ πληροῦν, Θεὸς ὂν κατ' οὐσίαν*
*καὶ σοῦ μὴ χωριζόμενον, ἐκ σοῦ γὰρ καὶ πηγάζει.*
*Σὺ εἶ πηγὴ τῶν ἀγαθῶν, πᾶν δ' ἀγαθὸν Υἱός σου,*
*νέμων διὰ τοῦ Πνεύματος αὐτὰ πᾶσιν ἀξίως,*
*εὐσπλάγχνως, φιλανθρώπως τε ἀγγέλοις καὶ ἀνθρώποι*
*Οὐδεὶς δ' ἀγγέλων εἶδέ σου, ἄκτιστος πέλεις.*
*Πάντα δὲ σὺ παρήγαγες προστάγματί σου μόνῳ·*
*πῶς ἅπερ οὖν παρήγαγες δύναταί σε γινώσκειν,*
*ὅπως γεννᾷς τὸν σὸν Υἱόν, ὅπως ἀεὶ πηγάζεις,*
*ὅπως ἐκ σοῦ προέρχεται τὸ Πνεῦμά σου το Θεῖον*
*καὶ οὐ γεννᾷς ὅλως ποτέ, ἅπαξ πάντως γεννήσας,*
*οὐδὲ πηγάζων κένωσιν ἢ μείωσιν ὑπέστης;*
*Μένεις γὰρ ὑπερπλήρης,*
*ὑπὲρ τὸ πᾶν ἀνελλιπής, ὅλος ἐν ὅλῳ κόσμῳ,*
*τῷ ὁρατῷ, τῷ νοητῷ, καὶ ἔξω αὖθις τούτων,*
*προσθήκην μὴ δεχόμενος, μηδ' ἔλλειψιν εἰς ἅπαν*
*καὶ εἶ ὅλος ἀκίνητος μένων πάντοτε οὕτως.*
*Ταῖς ἐνεργείαις οὖν ἀεὶ ἀεικίνητος πέλεις,*
*ἔχεις καὶ γὰρ ἀέναον, ὁ Πατήρ, ἐργασίαν·*
*ἐργάζεται καὶ ὁ σὸς Υἱὸς πάντων τὴν σωτηρίαν*
*καὶ προνοεῖ καὶ τελειοῖ καὶ συνέχει καὶ τρέφει,*
*ζωοποιεῖ, ζωογονεῖ ἐν Πνεύματι ἁγίῳ.*
*Ὅσα γὰρ βλέπει ὁ Υἱὸς τὸν Πατέρα ποιοῦντα,*
*ταῦτα ὁμοίως καὶ αὐτὸς ἐκτελεῖ, καθὼς εἶπεν.*
*Οὕτως ἀκίνητός τε ὤν, ἀεικίνητος τέ πως*
*οὔτε κινῇ, οὐχ ἵστασαι, οὔτε κάθησαι πάλιν,*
*ἀλλὰ ἀεὶ καθήμενος ἀεὶ ἵστασαι ὅλος·*

---

55. Ἐφ. 4,10. 63. Α' Τιμ. 6,16.

καὶ δὲ χωρίζεσαι ἀπ' αὐτόν, ποὺ ἐσὺ γεννᾶς μὰ ὑπάρχει
ὅλος σ' ἐσέ, γεμίζοντας θεότητα τὰ πάντα,
μὰ κι ὁ Πατέρας στὸν Υἱὸ ὅλος σ' αὐτὸν σὺ μένεις,
κι ἔχεις νὰ ἐκπορεύεται ἀπὸ ἐσὲ τὸ θεῖο Πνεῦμα
νὰ ξέρει καὶ ποὺ ξεχειλᾶ, Θεὸς στὴν οὐσία, τὰ πάντα,
νὰ μὴ χωρίζεται ἀπὸ σέ, γιατὶ ἀπὸ σὲ πηγάζει.
Σύ' σαι ἡ πηγὴ τῶν ἀγαθῶν, κάθε ἀγαθὸ ὁ Υἱός σου,
ποὺ μὲ τὸ Πνεῦμα τ' ἀγαθὰ μοιράζει σ' ὅλους ἄξια,
εὔσπλαχνα καὶ φιλάνθρωπα σ' ἀγγέλους καὶ σ' ἀνθρώπους.
Κανεὶς ἀπ' τοὺς ἀγγέλους σου, κανεὶς ἀπ' τοὺς ἀνθρώπους
δὲν εἶδε μήτε γνώρισε τὴν ὕπαρξή σου, ἀφοῦ εἶσαι
ἄκτιστος. Μὰ ὅλα τὰ ἔκτισες μὲ πρόσταγμά σου μόνο.
Ὅσα λοιπὸν δημιούργησες πῶς μποροῦν νὰ σὲ ξέρουν,
τὸν Υἱό σου πῶς ἐσὺ γεννᾶς, πηγὴ πῶς εἶσαι ἀέναη,
πῶς ἀπὸ σένα προέρχεται τὸ Πνεῦμα σου τὸ θεῖο,
κι οὐδέποτε γεννᾶς, ἐνῶ μιὰ φορὰ ἔχεις γεννήσει
κι ἐνῶ πηγάζεις, κένωση δὲν ἔπαθες ἢ μείωση;
Μένεις γεμάτος ξέχειλα,
πάνω ἀπ' τὰ πάντα ἀνελλιπής, ὅλος σ' ὅλο τὸν κόσμο
τὸν ὁρατό, τὸ νοητὸ καὶ πάλι ἔξω ἀπὸ τούτους·
προσθήκη ἐσὺ δὲ δέχεσαι μήτ' ἔλλειψη καθόλου,
καὶ εἶσαι ὅλος ἀκίνητος καὶ πάντα μένεις ἔτσι.
Μὲ τὶς ἐνέργειές σου λοιπὸν πάντα ἀεικίνητος εἶσαι
σὺ ὁ Πατέρας κι ἔχεις ἀδιάκοπη ἐργασία,
ἀλλὰ κι ὁ Υἱός σου ἐπιτελεῖ τὴ σωτηρία ὅλων,
προνοεῖ καὶ τελειοποιεῖ καὶ συγκρατεῖ καὶ τρέφει,
δίνει ζωή, γεννᾶ ζωὴ μὲ τὸ ἅγιο τὸ Πνεῦμα.
Γιατὶ ὅσα βλέπει ὁ Υἱὸς νὰ δημιουργεῖ ὁ Πατέρας,
ὅμοια κι αὐτὸς ἐπιτελεῖ τὰ ἴδια καθὼς εἶπε.
Ἔτσι ἐνῶ εἶσαι ἀκίνητος καὶ ἀεικίνητος εἶσαι·
κινεῖσαι; ὄχι· οὔτε στέκεσαι· μήτε κάθεσαι πάλι,
ἀλλὰ ἐνῶ πάντα κάθεσαι πάντοτε στέκεσαι ὅλος·

76. Ἰω. 5,17. 80. Ἰω. 5,19.

*ἱστάμενος δὲ αὖθις ἀεὶ κινεῖσαι ὅλος,*
*μὴ μεθιστάμενός ποτε· ποῦ γὰρ καὶ ἀπελεύσῃ;*
*Τὸ πᾶν, ὡς εἴρηται, πληρῶν ὑπὲρ τὸ πᾶν δὲ πέλων*
*πρὸς ποῖον ἄλλον μεταβῇς ἢ τόπον ἢ καὶ χῶρον;*
*Ἀλλ' οὐδὲ ἵστασαι, καὶ γὰρ ἀσώματος ὑπάρχεις,*
*ἁπλοῦς πληρῶν τὰ σύμπαντα, ἀσχημάτιστος πάντῃ,*
*ἄϋλος, ἀπερίγραπτος, ἄληπτος ὅλος ἦσθα·*
*καὶ πῶς καθῆσθαι εἴπωμεν, πῶς πάλιν ἵστασθαί σε,*
*πῶς δὲ καθῆσθαι φήσωμεν ἢ ἐν ποίῳ σε θρόνῳ,*
*τὸν τῇ χειρὶ κατέχοντα οὐρανὸν καὶ τὴν γῆν δέ,*
*τὰ ὑπὸ γῆν τε ἅπαντα ἰσχύϊ σῇ κρατοῦντα;*
*Ποῖος θρόνος χωρήσειεν ἢ ποταπὴ οἰκία,*
*ἢ πῶς ἢ ποῦ ἐνίδρυται ἢ ποίοις θεμελίοις,*
*ποίοις δὲ στύλοις αἴρεται, τίς ὅλως ἐννοήσει;*
*Ἀβάλε τοῖς ἀνθρώποις γε καὶ πάσῃ κτιστῇ φύσει,*
*τῇ τὰ τοιαῦτα ἐρευνᾶν περὶ Θεοῦ τολμώσῃ,*
*πρὶν ἐλλαμφθῇ, πρὶν φωτισθῇ, πρὶν κατίδῃ τὰ θεῖα*
*καὶ θεωρὸς γενήσεται τῶν Χριστοῦ μυστηρίων,*
*ἃ οὔτε Παῦλος κατιδὼν ἴσχυσεν ὅλως φράσαι,*
*οὔτε Ἠλίας πρότερον, οὔτε Μωσῆς ὁ μέγας,*
*ἀλλὰ τὰς ἐντολὰς Θεοῦ καὶ θελήματα μόνα*
*κατηξιώθη καὶ αὐτὸς μαθεῖν καὶ ἄλλοις φράσαι.*
*Περὶ αὐτοῦ δὲ τοῦ Θεοῦ πλέον οὐδὲν ἀκοῦσαι*
*κατηξιώθη μαθεῖν ἢ ὅλως διδαχθῆναι,*
*εἰ μὴ ὅτι ὁ ὢν ἐστι Θεὸς πάντων καὶ κτίστης,*
*δημιουργὸς καὶ συνοχεὺς πάντων τῶν παραχθέντων.*
*Ἡμεῖς δέ, οἱ πανάθλιοι, οἱ σκότει καθειργμένοι*
*καὶ σκότος ὅλως πέλοντες ἡδονῶν ἀπολαύσει*
*καὶ ἀγνοοῦντες ἑαυτούς, ὅπου καὶ πῶς κρατοῦνται,*
*οἱ τεθαμμένοι πάθεσιν, οἱ τυφλοὶ καὶ νεκροί τε*
*τὸν ὄντα ὄντως ἄναρχον, ἄκτιστον Θεόν, μόνον*

---

94. Ἠσ. 66,1. 103. Β' Κορ. 12,2.
104. Γ' Βασ. 19,9 ἑ. καὶ Ἐξ. 19,1ἑ.
109. Ἐξ. 3,14.

καὶ πάλι ἐνῶ στέκεσαι ὅλος κινεῖσαι πάντα,
μὲ δίχως μετακίνηση, γιατὶ καὶ ποῦ νὰ φύγεις;
Ὡς εἶπα ξεχειλᾶς τὸ πᾶν κι εἶσαι ἀπ' τὸ πᾶν πιὸ πάνω
σὲ ποιά νὰ μετακινηθεῖς λοιπὸν κάποια ἄλλη θέση;
Ἀλλὰ καὶ μήτε στέκεσαι, ἀφοῦ εἶσαι δίχως σῶμα,
εἶσαι ἀσχημάτιστος κι ἁπλός, τὰ σύμπαντα γεμίζεις,
ἄυλος κι ἀπερίγραπτος κι ἀσύλληπτος συνάμα.
Πῶς νὰ ποῦμε ὅτι κάθεσαι κι ὅτι στέκεσαι πάλι;
Νὰ ποῦμε ὅτι κάθεσαι μὰ πῶς καὶ σὲ ποιό θρόνο,
σὺ ποὺ γῆ κι οὐρανὸ κρατᾶς μὲς στὸ δικό σου χέρι,
κι ὅσα εἶναι κάτω ἀπό τὴ γῆ συνέχει ἡ δύναμή σου;
Ποιός θρόνος εἶναι ποὺ μπορεῖ νὰ σὲ χωρέσει ἢ σπίτι
καὶ πῶς καὶ ποῦ ἔχει κτιστεῖ, σὲ ποιά θεμέλια ἐπάνω,
σὲ ποιούς στύλους ὑψώνεται, ποιός θὰ τὸ καταλάβει;
Τί κρίμα γιὰ τὸν ἄνθρωπο κι ὅλη τὴν κτιστὴ φύση,
ὁποὺ ὅλα αὐτὰ γιὰ τὸ Θεὸ τολμᾶ νὰ τὰ ἐρευνήσει,
πρὶν ἐλλαμφθεῖ, πρὶν φωτιστεῖ πρὶν θεαστεῖ τὰ θεῖα,
τῶν μυστηρίων τοῦ Χριστοῦ θεωρὸς προτοῦ νὰ γίνει,
ποὺ μήτε ὁ Παῦλος μπόρεσε ποὺ τὰ εἶδε νὰ τὰ ἐκφράσει,
οὔτε καὶ ὁ Ἠλίας πρωτύτερα κι οὔτε ὁ Μωυσῆς ὁ μέγας,
ἀλλὰ τὶς ἐντολὲς τοῦ Θεοῦ καὶ τὰ θελήματά του
κι ὁ ἴδιος νὰ μάθει ἀξιώθηκε καὶ σ' ἄλλους νὰ ἑρμηνεύσει.
Μὰ γιὰ τὸν ἴδιο τὸ Θεὸ τίποτα πιὰ ν' ἀκούσει,
νὰ μάθει δὲν ἀξιώθηκε κι οὔτε διδάχτη κάπως,
παρὰ μονάχα ὅτι εἶναι ὁ Θεὸς ὁποὺ ἔχτισε τὰ πάντα,
ποὺ ἔκτισε καὶ συγκρατεῖ ὅσα ἔχει δημιουργήσει.
Ὡστόσο οἱ πανάθλιοι ἐμεῖς στὶς φυλακὲς τοῦ σκότους,
ὅπου μὲ τὴν ἀπόλαυση τῶν ἡδονῶν σκοτάδι
γίναμε καὶ τὸ ποῦ καὶ πῶς κλειστήκαμε ἀγνοώντας,
στὰ πάθη ποὺ ἔχομε θαφτεῖ, τυφλοὶ καὶ πεθαμένοι,
τὸν ἄναρχον ἀληθινά, Θεὸν ἄκτιστο, τὸν μόνο

111. Βέβαια εἶναι οἱ ἄνθρωποι 'πανάθλιοι' μέσα στὴν σκοτεινὴ εἱρκτή τους καὶ πολὺ περισσότερο ὅταν ὁ Συμεὼν συγκρίνει τὴν κατάστασή τους μὲ τὸν φωτεινὸ κόσμο στὸν ὁποῖο πλέει ἡ ψυχή του.

*ἀθάνατον ὑπάρχοντα, ἀόρατον τοῖς πᾶσιν*
*ἐξερευνῶντες λέγομεν ὡς ἀκριβῶς εἰδότες*
*περὶ Θεοῦ, οἱ τοῦ Θεοῦ ὄντες κεχωρισμένοι.*
*Εἰ γὰρ δὴ καὶ ἡνῶντο αὐτῷ, οὐκ ἄν ποτε ἐτόλμων*
*περὶ αὐτοῦ λαλῆσαι βλέποντες, ὅτι πάντα*
*ἄφραστα, ἀκατάληπτα πέλουσι τὰ ἐκείνου·*
*οὐ μόνον τὰ ἐκείνου δέ, ἀλλὰ καὶ τῶν ἐκείνου*
*ἔργων τὰ πλείω ἄγνωστα ὑπάρχουσι τοῖς πᾶσι.*
*Τίς γὰρ καὶ ἑρμηνεύσειε, πῶς ἐξ ἀρχῆς με πλάττει,*
*ποίαις χερσὶ τὸν χοῦν λαβὼν ὁ ἀσώματος πάντη*
*στόμα μὴ ἔχων ὡς ἡμεῖς πῶς ἐνεφύσησέ μοι*
*καὶ εἰς ψυχὴν ἀθάνατον πῶς ἄρα γέγονέ μοι;*
*Ἀπὸ πηλοῦ δέ, λέγε μοι, πῶς ὀστᾶ, πῶς δὲ νεῦρα,*
*πῶς κρέας, πῶς δὲ φλέβες μοι, πῶς δερματίς, πῶς τρίχες*
*πῶς ὀφθαλμοί, πῶς ὦτα δέ, πῶς χείλεα, πῶς γλῶσσα,*
*πῶς ὄργανα φωνητικά, ὀδόντων τε στερρότης*
*ἔναρθρον λόγον πνεύματι τρανῶς ἀποτελοῦσιν;*
*Ἀπὸ ξηρᾶς δὲ καὶ ὑγρᾶς ὕλης, θερμῆς τε καὶ ψυχρᾶς*
*ζῷον με ἀπετέλεσε μίξει τῶν ἐναντίων.*
*Πῶς οὖν δεσμεῖται νοῦς σαρκί, πῶς σὰρξ δὲ τῷ ἀΰλῳ*
*νοῒ συνανακέκραται ἀμίκτως, ἀσυγχύτως,*
*ἀφύρτως τε νοῦς καὶ ψυχὴ προσφέρουσι τὸν λόγον,*
*τὸν ἐνδιάθετον λαλῶ, καὶ μένουσιν ὡσαύτως*
*ἄτμητα, ἀναλλοίωτα, ἀσύγχυτα εἰς ἅπαν;*
*Ταῦτ' οὖν εἰδότες, ἀδελφοί, ἀνερμήνευτα εἶναι*
*καὶ πᾶσιν ἀκατάληπτα τὰ καθ' ἡμᾶς ὑπάρχειν*
*πῶς τὸν ἡμᾶς ποιήσαντα τοιούτους ἐκ μὴ ὄντων*
*ἐξερευνᾶν οὐ φρίττομεν ἢ ἐννοεῖν ἢ λέγειν*
*τὰ ὑπὲρ λόγον, ὑπὲρ νοῦν τὸν ἡμέτερον ὄντα;*
*Κτίσματα ὄντες δὲ λοιπὸν φοβήθητε τὸν κτίστην*

---

125. Γεν. 2,7
126. Α' Κορ. 15,45.

ὁποὺ ὑπάρχει ἀθάνατος κι ἀόρατος στοὺς πάντες
ψάχνομε ὑποστηρίζοντας πὼς ξέρομε μ' ἀκρίβεια
περὶ Θεοῦ, ἐνῶ ἀπ' τὸν Θεὸν εἴμαστε χωρισμένοι.
Ἂν ἑνωμένοι εἴμαστε ποῦ θά 'χαμε τὴν τόλμη
γιὰ κεῖνον νὰ μιλήσομε βλέποντας ὅτι ὅλα
ὅσα τὸν ἴδιον ἀφοροῦν δὲ λέγονται, δὲ νοοῦνται,
καὶ ὄχι ἐκεῖνος μοναχὰ μὰ κι ἀπ' τὰ ἔργα ἐκείνου
τὰ περισσότερα ἄγνωστα γιὰ ὅλους ἐμᾶς εἶναι.
Ποιός εἶναι αὐτὸς ὁποὺ θὰ πεῖ πῶς στὴν ἀρχὴ μὲ πλάθει,
μὲ χέρια ποιὰ ὁ ἀσώματος τῆς γῆς τὸν πηλὸ παίρνει,
καὶ πῶς στόμα μὴ ἔχοντας φυσάει στὸ πρόσωπό μου
καὶ πῶς ἀθάνατη ψυχὴ μοῦ ἔγινε ἡ πνοή του;
Καὶ πές μου τώρα· ἀπ' τὸν πηλὸ πῶς κόκκαλα καὶ νεῦρα,
πῶς κρέας μὰ καὶ φλέβες πῶς, τρίχωμα πῶς καὶ δέρμα,
αὐτιὰ καὶ μάτια πῶς, μὰ πῶς χείλη καὶ πῶς καὶ γλώσσα,
πῶς τῆς φωνῆς τὰ ὄργανα καὶ τῶν δοντιῶν τὸ φράγμα
λόγο ἀρθρωμένο, καθαρὸ μὲ νόημα μᾶς δίνουν;
Κι ἀπ' τὰ στοιχεῖα ξηρὸ κι ὑγρό, θερμὸ ψυχρό, μὲ κάνει
ὕπαρξη νά' χω ζωντανὴ τὰ ἐνάντια σμίγοντάς τα.
Πῶς νοῦς καὶ σάρκα δένονται, κι ἡ σάρκα μὲ τὸν ἄυλο
τὸ νοῦν ἄσμιχτα σμίγουνε καὶ σύγχυση καμία
καὶ δίχως νὰ συμφύρονται νοῦς καὶ ψυχὴ προφέρουν
τὸ λόγο τὸν ἐνδιάθετο καὶ πάλι μένουν ἴδια,
ἀχώριστα, ἀναλλοίωτα κι ἀσύγχυτα ὥς τὸ τέλος;
Αὐτά, ἀδελφοί μου, ξέροντας πὼς ἀνερμήνευτα εἶναι
καὶ ὅτι εἶναι ἀκατανόητα τὰ ὅσα μᾶς ἀφοροῦνε,
αὐτὸν ποὺ ἔτσι μᾶς ἔκανε ἀπ' τὸ μηδὲν πῶς φρίκη
νὰ μὴ μὲ πιάνει ψάχνοντας καὶ λέγοντας καὶ νοώντας·
ὅσα τὸ λόγο ξεπερνοῦν, ποὺ εἶναι ἀπ' τὸ νοῦ μας πέρα;
Σὰν εἶστε κτίσματα λοιπὸν τὸν κτίστη φοβηθεῖτε

---

136. ἀμίκτως-ἀσυγχύτως ἔννοιες ποὺ ἐπαναλαμβάνονται συχνὰ ἀναφερόμενες κυρίως στὴν ἁγία Τριάδα· ἕνωση χωρὶς σύγχυση (μιὰ θεότητα– τρία πρόσωπα).

*καὶ τὰς ἐκείνου ἐντολὰς μόνας ἐξερευνᾶτε,*
*τηρεῖν δὲ ταύτας σπεύσατε ὑμῶν πάσῃ δυνάμει,*
*εἰ βούλοισθε καὶ τῆς ζωῆς κληρονόμοι γενέσθαι!*
*Εἰ δὲ καταφρονήσετε τῶν αὐτοῦ προσταγμάτων*
*καὶ τὰ θελήματα αὐτοῦ παρίδετε, ὡς εἶπε,*
*καὶ ἀπειθήσετε αὐτῷ ἐν ἑνὶ πάντως λόγῳ,*
*οὐ δόξα, οὐκ ἀξίωμα, οὐ πλοῦτος ἐκ τοῦ κόσμου,*
*ἀλλ' οὐδ' ἡ γνῶσις ἡ μωρὰ τῶν ἔξω μαθημάτων,*
*οὐ σύνταξις, οὐ σύνθεσις καλλιεπείας λόγων*
*οὐδ' ἄλλο τι τῶν ἐπὶ γῆς πραγμάτων ἢ χρημάτων*
*ὠφέλειαν τὴν οἱανοῦν παρέξουσί γε τότε,*
*ὅτε κρινεῖ τὰ σύμπαντα καὶ πάντας ὁ Θεός μου.*
*Ἀλλ' ὁ παροφθεὶς λόγος παρ' ἡμῶν τοῦ Δεσπότου*
*στήσεται κατὰ πρόσωπον ἑνὸς ἑκάστου τότε*
*καὶ ἕκαστον κατακρινεῖ μὴ φυλάξαντα τοῦτον.*
*Οὐκ ἔστι λόγος γὰρ ἀργός, ἀλλὰ ζῶν Θεοῦ λόγος*
*ζῶντος καὶ διαμένοντος εἰς αἰῶνας αἰώνων.*
*Λοιπόν, ἡ κρίσις ἔσεται οὕτω, καθὼς καὶ εἶπον,*
*ὁμοῦ τε καὶ τῆς ἐντολῆς, οἴμοι, προσυνπαντώσης,*
*ἐλεγχούσης τὸν ἄπιστον ἢ πιστὸν πάντων ὄντα,*
*πειθήνιον ἢ ἀπειθῆ τοῖς λόγοις τοῦ Δεσπότου,*
*γενόμενον ἐπιμελῶς ἢ καὶ ἀμεληθέντα,*
*καὶ οὕτω χωρισθήσονται οἱ ἄδικοι δικαίων,*
*οἱ ἀπειθεῖς τῶν τῷ Χριστῷ πάντως ὑπακουσάντων,*
*τῶν φιλοθέων οἱ νῦν ἀγαπῶντες τὸν κόσμον*
*καὶ τῶν εὐσπλάγχνων ἄσπλαγχνοι καὶ τῶν ἐλεημόνων*
*ἀνελεήμονος ὁμοῦ, καὶ στήσονται οἱ πάντες*
*γυμνοὶ καὶ πλούτου καὶ τιμῆς καὶ ἀρχῆς, ἧς ἐν κόσμῳ*
*ἀπήλαυσαν, καὶ ἑαυτούς, οἴμοι, κατακρινοῦσιν.*

---

146–147. Ἰω. 14,21. 148. Τίτ. 3,7.
151. Ματθ. 5,19. 158–159. Ἰω. 12,48.
161. Ἑβρ. 4,12. 162. Ἡσ. 40,8.
168. Ματθ. 13,49. 173. Ἑβρ. 4,13.

καὶ νὰ ἐρευνᾶτε μοναχὰ τὶς ἐντολὲς ἐκείνου
καὶ μ' ὅλη σας τὴ δύναμη τρέξτε νὰ τὶς τηρῆστε,
ἂν θέλετε νὰ γίνετε καὶ τῆς ζωῆς κληρονόμοι.
Μὰ σὰν περιφρονήσετε τὰ θεῖα προστάγματά του
καὶ σὰν παραμελήσετε τὸ θέλημά του, ὡς εἶπε,
κι ἂν ἀπειθήσετε σ' αὐτὸν τέλος, μὲ λίγα λόγια,
δόξα ὄχι, μὴ ἀξίωμα καὶ πλούτη ὄχι τοῦ κόσμου,
ἀλλὰ οὔτε γνώση ἀνόητη τῶν ἔξω μαθημάτων,
σύνταξη ὄχι καὶ σύνθεση καὶ τορνευμένοι λόγοι
οὔτε ἄλλο τίποτ' ἀπ' τὴ γῆ πράγματα, χρήματα εἴτε,
ὠφέλεια ὁποιαδήποτε τότε θὲ νὰ προσφέρουν,
ὅταν τὰ σύμπαντα ὁ Θεὸς θὰ κρίνει καὶ τοὺς πάντες.
Μὰ ὁ λόγος τοῦ Κυρίου μας ὁποὺ ἔχομε ἀμελήσει
θὰ σταθεῖ κατὰ πρόσωπο τότε τοῦ καθενός μας
κι αὐτὸν ποὺ δὲν τὸν φύλαξε θὰ τὸν καταδικάσει.
Δὲν εἶναι λόγος ἄνεργος μὰ ζωντανὸς Θεοῦ λόγος,
Θεοῦ ποὺ ζεῖ παντοτινὰ στοὺς αἰῶνες τῶν αἰώνων.
Λοιπὸν ἡ κρίση θἄ γινεῖ ἔτσι καθὼς σᾶς εἶπα
καὶ ἡ ἐντολὴ ἀλίμονο θὰ μᾶς προϋπαντήσει
καὶ θὰ μᾶς δείξει ἄπιστος ἢ καὶ πιστὸς ποιός εἶναι,
ὑπάκουος ποιός κι ἀπείθαρχος στοὺς λόγους τοῦ Κυρίου,
ποιός στάθηκε ἐπιμελὴς καὶ ποιός ἔδειξε ἀμέλεια,
κι εἶναι ἔτσι ποὺ θἄ χωριστοῦν οἱ ἄδικοι ἀπ' τοὺς δίκαιους,
ἀπ' τοὺς ὑπάκουους στὸ Χριστὸ οἱ ἀπείθαρχοι ὅσοι εἶναι,
κι ὅσοι τὸν κόσμον ἀγαποῦν τώρα ἀπὸ τοὺς φιλόθεους,
οἱ ἄσπλαχνοι ἀπ' τοὺς εὔσπλαχνους κι' ἀνελεήμονες ὅσοι
χώρια ἀπ' τοὺς ἐλεήμονες καὶ θὰ σταθοῦνε ὅλοι
γυμνοὶ ἀπὸ πλούτη καὶ τιμὲς καὶ τὶς ἀρχὲς στὸν κόσμο,
ποὺ χάρηκαν κι ἀλίμονο θ' αὐτοκατακριθοῦνε.

---

146. Τὸ μόνο καὶ ἀσφαλὲς ποὺ μπορεῖ νὰ κάνει ὁ πιστός, ὁ μοναχὸς εἶναι νὰ ἐρευνᾶ καὶ νὰ πράττει τὶς ἐντολὲς τοῦ Θεοῦ. Εἶναι ὅμως φρικτὰ νὰ ἐρευνοῦμε ἢ νὰ θέλομε νὰ νοήσομε ἢ νὰ μιλήσομε γι' αὐτὸν ποὺ μᾶς ἔπλασε 'ἐκ τοῦ μη ὄντος'.

*Αὐτοκατάκριτοι αὐτῶν γενόμενοι τοῖς ἔργοις*
*ἀκούσονται δ'· Ἀπέλθετε, μικροί τε καὶ μεγάλοι,*
*μὴ πειθαρχήσαντες ἐμοί, Δεσπότῃ φιλανθρώπῳ!*
*Ἧς, Δέσποτα, ρυσθείημεν δικαίας καταδίκης*
*καὶ τῆς μερίδος τύχοιμεν τῶν προβάτων σου, Λόγε,*
*δωρεάν, ὡς μὴ ἔχοντες ἐλπίδα σωτηρίας*
*ἐξ ἔργων, οἱ κατάκριτοι νῦν καὶ εἰς τοὺς αἰῶνας!*

Κι ἀφοῦ αὐτοκατακριθοῦν ἀπ' τὰ ἴδια τους τὰ ἔργα
θ' ἀκούσουν τότε· Φύγετε, μικροὶ κι ὅσοι μεγάλοι,
ποὺ δὲ μὲ ὑπακούσατε τὸ φιλάνθρωπο Κύριο.
Ἀπὸ τὴ δίκαιη, Δέσποτα, σῶσε μας καταδίκη
καὶ στῶν προβάτων τὴ μεριά, Λόγε, κατάταξέ μας,
γιὰ χάρη, ἀφοῦ δὲν ἔχομε ἐλπίδα σωτηρίας
ἀπὸ ἔργα, οἱ δικασμένοι ἐμεῖς τώρα καὶ στοὺς αἰῶνες.

---

175. Τίτ. 3,11
179. Ματθ. 25,3.

## ΛΒ'

***Ὅτι οἱ ἔνδοξοι τῆς γῆς καὶ σοβαροὶ τῷ πλούτῳ περὶ τὴν σκιὰν τῶν ὁρωμένων πλανῶνται, οἱ δέ γε τῶν παρόντων καταφρονήσαντες ἐν ἀπλανεῖ μεθέξει τοῦ Θείου γίνονται Πνεύματος.***

*Ὑπὸ πιστῶν με, Δέσποτα, λοιδορούμενον βλέπων*
*ὡς ὑπάρχοντα πλάνον τε καὶ προπεπλανημένον,*
*ὅτι τὸ Πνεῦμα λέγοιμι τῇ σῇ φιλανθρωπίᾳ*
*καὶ τοῦ πατρός μου ταῖς εὐχαῖς, τὸ ἅγιον λαβεῖν με,*
*ἐλέησον καὶ χάρισαι λόγον, γνῶσιν, σοφίαν,*
*ἵνα οἱ πάντες γνώσωνται οἱ ἀντικείμενοί μοι,*
*ὅτι τὸ σὸν ἐντὸς ἐμοῦ λαλεῖ Πνεῦμα τὸ Θεῖον!*
*Δός μοι εἰπεῖν, ὡς εἴρηκας, δὸς κἀμοί, ὡς ὑπέσχου,*
*οἷς ἀντειπεῖν οὐδεὶς αὐτῶν ἢ ἀντιστῆναι, Σῶτερ,*
*ἰσχύσει· σὺ γὰρ εἶ δοτὴρ τῶν ἀγαθῶν ἁπάντων.*
*Ἐγώ, Χριστέ, κἂν λέγωσι πλανᾶσθαί με, σὸν δοῦλον,*
*οὐδέποτε πεισθήσομαι βλέπων σε, τὸν Θεόν μου,*
*καὶ καθορῶν τὸ ἄχραντον πρόσωπόν σου καὶ θεῖον*
*καὶ ἐξ αὐτοῦ δεχόμενος ἐλλάμψεις σου τὰς θείας,*
*λαμπόμενος ἐν πνεύματι νοερούς ὀφθαλμούς μου.*
*Ἀλλὰ μὴ δῴης, ὦ Θεέ, ἅπαντας πλανηθῆναι*
*τοὺς νῦν εἰς σὲ πιστεύοντας πλάνην τὴν ὀλεθρίαν*
*τοῦ μὴ πιστεύειν, ὅτι σὺ πάντας καὶ νῦν φωτίζεις*
*ἐλλάμπων τῆς θεότητος ἀκτῖσί σου τῆς θείας.*

---

8–9. Ματθ. 10,20 καὶ Λουκᾶ 21,15.

7. Ὁ Συμεὼν ἔλεγε ὅτι εἶχε λάβει τὸ ἅγιο Πνεῦμα, οἱ ἐχθροί του ὅμως τὸν κατηγοροῦσαν ὅτι παραπλανοῦσε τοὺς ἄλλους, πλανημένος πρωτύτερα ὁ ἴδιος.

## 32

**Ὅσοι δοξάζονται στὴ γῆ καὶ ὑπερηφανεύονται γιὰ τὰ πλούτη τους πλανῶνται κυνηγώντας τὸν ἴσκιο τῶν φαινομένων· ἐνῶ ὅσοι περιφρόνησαν τὰ παρόντα φτάνουν στὴ δίχως πλάνη μέθεξη τοῦ θείου Πνεύματος.**

Ὅλοι οἱ πιστοί σου, Δέσποτα, βλέπεις μὲ λοιδοροῦνε,
ὅτι τὸν κόσμο ξεγελῶ, κι ὁ ἴδιος γελασμένος,
λέγοντας πὼς τὸ Πνεῦμά σου τὸ ἅγιον ἔχω λάβει
μὲ τὴ φιλανθρωπία σου κι εὐχὲς τοῦ γέροντά μου·
σπλαχνίσου με καὶ δῶσε μου λόγο, γνώση, σοφία,
ὥστε ν' ἀναγνωρίσουνε ὅλοι ὅσοι εἶναι ἐχθροί μου,
πὼς ὅ,τι μέσα μου μιλεῖ εἶναι τὸ θεῖο σου Πνεῦμα.
Ὡς μοῦ εἶπες, δῶσε μου νὰ πῶ, νὰ πῶ ὅπως μοῦ ὑποσχέθης,
ὥστε ν' ἀντισταθεῖ κανεὶς ἢ νὰ μοῦ ἀντιλογήσει
νὰ μὴν μπορέσει, ὅτι εἶσαι ἐσὺ τῶν ἀγαθῶν δοτήρας,
Χριστέ, κι ἂν ἰσχυρίζονται ὅτι ὁ δοῦλος σου πλανιέται,
τὸ Θεό μου ἐσένα βλέποντας δὲ θὰ πειστῶ ποτέ μου
καὶ τ' ἄχραντο ἀντικρίζοντας καὶ θεῖο πρόσωπό σου
καὶ τὶς ἀντανακλάσεις του δεχόμενος τὶς θεῖες,
μὲ φωτισμένα τὰ νοερὰ μάτια ἀπ' τὸ θεῖο σου Πνεῦμα.
Ἀλλὰ μὴν ἐπιτρέψεις, Θεέ, νὰ ὁδηγηθοῦνε ὅλοι
ὅσοι τώρα πιστεύουνε στὴν πλάνη τὴν ὀλέθρια
τῆς ἀπιστίας, γιατὶ ἐσὺ καὶ τώρα ὅλους φωτίζεις
μὲ λάμψεις περιχύνοντας τῆς θείας θεότητάς σου.

---

Τὴν ἐπιβεβαίωση τῶν λόγων του ζητεῖ ἀπὸ τὸ Θεὸ μὲ τὴν παραχώρηση λόγου, γνώσης καὶ σοφίας, γιὰ ν' ἀποστομωθοῦν οἱ ἐχθροί του. Ὁ Θεὸς φωτίζει ὅλους τοὺς ἀνθρώπους.

*Σὺ γὰρ πολὺς ἐν οἰκτιρμοῖς, ἡμεῖς ἐν ἁμαρτίαις·*
*σὺ φῶς οἰκεῖς ἀπρόσιτον, σκότος ἡμεῖς δὲ πάντες·*
*σὺ ἔξω εἶ τῆς κτίσεως καὶ ἡμεῖς ἐν τῇ κτίσει.*
*Οἱ πλείους δὲ τῶν ἐξ ἡμῶν καὶ τῆς κτίσεως ἔξω*
*ἐν τῇ αἰσθήσει πέλουσιν ὅλως ἀναισθητοῦντες*
*καὶ παρὰ φύσιν ὄντες ἔξω εἰσὶ τῶν πάντων,*
*οἳ βλέποντες οὐ βλέπουσιν, ὁρῶντες οὐχ ὁρῶσιν*
*οὐδὲ Θεοῦ θαυμάσια ἐν νοερᾷ αἰσθήσει*
*καταλαβεῖν ἰσχύουσιν, ἀλλ' εἰσὶν ἔξω κόσμου,*
*μᾶλλον δ' ἐν κόσμῳ ὡς νεκροὶ καὶ πρὸ θανάτου εἰσὶ*
*καὶ πρὸ ἐξόδου κάτοχοι ἐν ᾅδῃ κατωτάτῳ.*
*Οὗτοι οὖν ὄντως πέλουσιν, οὓς ἡ Γραφή γε λέγει,*
*οἱ ἔνδοξοι, οἱ πλούσιοι, οἱ σοβαροὶ τοῖς πᾶσιν,*
*οἱ καὶ δοκοῦντες εἶναί τι ἐκ τῶν τοιούτων ὅλως,*
*μὴ συνιδεῖν ἰσχύοντες τὴν ἑαυτῶν αἰσχύνην·*
*κἂν γὰρ σοφίαν κέκτηνται ἐν ἑαυτοῖς τοῦ κόσμου,*
*δόξαν τε ὡς ἱμάτιον, οἴησιν τὴν ματαίαν*
*ὥσπερ σκηνὴν δομήσαντες φρεσὶ πεπλανημέναις*
*καὶ τὴν μὲν ἐνδυσάμενοι, τὴν δὲ ἐγκατοικοῦντες,*
*ὡς ἐν πυθμένι κάθηνται ἐν ᾅδου κατωτάτου*
*καὶ ἀγνοοῦσι τὸν Θεόν, ἀγνοοῦσι τὸν κόσμον*
*καὶ τὰ ἐν κόσμῳ ἅπαντα ποιήματα τοῦ κτίστου.*
*Τίς γὰρ τὸν κτίστην γνώσεται, πρὶν ἢ τὴν κτίσιν ἴδοι*
*ἐν λόγῳ οἷα λογικός, ἐν νοΐ νοερῶς δέ,*
*καὶ ἐν αἰσθήσει νοερᾷ νοερῶς κατοπτεύων,*
*– τίς δέ; Ὁ καθορῶν πνευματικῶς διὰ Πνεύματος Θείου*
*μυστικῶς ἐλλαμπόμενος, ὁδηγούμενος θ' ἅμα –,*
*πρὸς γνῶσιν τὴν τοῦ ποιητοῦ ἀμυδρῶς πως ἀνέλθοι;*
*Οὕτω γὰρ καθαιρόμενον τρανοτέραν τὴν γνῶσιν*
*λαβεῖν ἀξιωθήσεται, ὡς Γραφὴ πᾶσα λέγει.*

---

21. Α' Τιμ. 6,16. 26. Ματθ. 13,13.
32. Α' Κορ. 4,10. 33. Γαλ. 6,3
35. Α' Κορ. 1,20. 41. Ρωμ. 1,20.
49. Ματθ. 5,8.

Οἱ οἰκτιρμοί σου εἶναι πολλοί, πολλές μας οἱ ἁμαρτίες·
μένεις σὲ φῶς ἀπρόσιτο κι ἐμεῖς στὶς ἁμαρτίες·
ἔξω ἀπ' τὴν κτίση εἶσαι ἐσὺ κι ἐμεῖς μέσα στὴν κτίση.
Κι οἱ περισσότεροι ἀπὸ μᾶς ἔξω κι ἀπὸ τὴν κτίση
ζωντανοὶ ἀκόμα βρίσκονται ἀναίσθητοι σὲ ὅλα
κι ἀντίθετα στὴ φύση τους εἶναι ἔξω ἀπὸ τὰ πάντα·
αὐτοὶ θωροῦν καὶ δὲ θωροῦν καὶ βλέπουν καὶ δὲ βλέπουν,
οὔτε καὶ τοῦ Θεοῦ μποροῦν τὰ θαύματα νὰ νιώσουν
μὲ τὴν νοερή τους δύναμη, μὰ εἶν' ἔξω ἀπ' τὸν κόσμο,
ἢ εἶναι στὸν κόσμο σὰν νεκροὶ πρὶν ἀπ' τὸ θάνατό τους
καὶ πρὶν πεθάνουν, ἔγκλειστοι στ' ἀπύθμενα τοῦ ἅδη.
Αὐτοὶ λοιπὸν εἶναι ἀκριβῶς ποὺ ἡ Γραφὴ ἀναφέρει,
οἱ ἔνδοξοι κι οἱ πλούσιοι κι οἱ ἐπηρμένοι σ' ὅλους
ποὺ καὶ νομίζουν γιὰ ὅλα αὐτὰ πὼς κάτι εἶναι στόν κόσμο
καὶ δὲν μποροῦν ν' ἀντιληφθοῦν πόση ντροπὴ τοὺς δέρνει.
Κι ἂν τὴ σοφία μέσα τους σωριάζουν τοῦ κόσμου,
τὴ δόξα σὰν ἱμάτιο, τὴν ἔπαρση τὴ μάταιη
καθὼς σκηνὴ σὰν ἔφτιαξαν μὲ πλανημένη σκέψη,
καὶ σὰν τὴ δόξα ντύθηκαν καὶ κατοικοῦν στὴν οἴηση
εἶναι σὰν μέσα στ' ἄπατα νὰ κάθονται τοῦ ἅδη
καὶ δὲ γνωρίζουν τὸ Θεὸ μὰ καὶ ἀγνοοῦν τὸν κόσμο
καὶ ὅλα τοῦ δημιουργοῦ τὰ κτίσματα στὸν κόσμο.
Τὴν κτίση ποιός προτοῦ νὰ δεῖ τὸν κτίστη θὰ γνωρίσει
μὲ λογικὴ σὰν λογικὸς καὶ ὡς νοερὸς μὲ νόηση
κι ἀκόμα μ' αἴσθηση νοερὴ θωρώντας μὲ τὸ νοῦ του;
Κι ὅποιος θωρεῖ πνευματικὰ μὲ τὸ Πνεῦμα τὸ θεῖο,
δέχεται ἐλλάμψεις μυστικὲς συνάμα καὶ ὁδηγίες,
μόλις ποὺ θὰ ὑψωθεῖ θαμπὰ στοῦ δημιουργοῦ τὴ γνώση.
Ἔτσι, μονάχα ἂν καθαρθεῖ θ' ἀξιωθεῖ νὰ λάβει
τὴ γνώση τὴ σαφέστερη ποὺ κάθε γραφὴ λέει.

---

33. 'Οἱ δοκοῦντες εἶναί τι' αὐτοὶ δὲν μποροῦν νὰ προσεγγίσουν τὰ θαυμάσια τοῦ Θεοῦ καὶ εἶναι σκληρὸς ἀπέναντι σ' αὐτοὺς ὁ ποιητής.

*Οἱ ἐμπαθεῖς, ὡς ἔφην δέ, ἀπόνοιαν ἐκεῖνοι*
*φοροῦντες ὡς ἱματιον, τὴν οἴησιν ὡς δόξαν*
*ἐνδεδυμένοι τέρπονται καὶ γελῶσι τοὺς ἄλλους*
*καὶ παίζουσιν ἐν ταῖς σκιαῖς τὸν τῶν σκυλάκων τρόπον.*
*Κάρυον εἰ προσρίψειας καὶ κροτήσειε τρέχον,*
*ἐπιπηδῶσι, δράσσονται, περιχαίνουσι τοῦτο*
*καὶ σὺν αὐτῷ κυλίονται καὶ συσκιρτῶσιν ἅμα·*
*κἂν φραγγελίου σύρῃ τις πρὸ ποδῶν τὸ σχονίον*
*συστρέφονται καὶ πίπτουσι καὶ πόδας εἰς ἀέρα*
*ἐκτείνουσι καὶ πρόξενοι γέλωτος τοῖς ὁρῶσιν*
*ἀνθρώποις ἐπὶ τῇ αὐτῶν γίνονται πτώσει πᾶσιν.*
*Οὕτως οὖν καὶ οὗτοι δαίμονας τέρπουσιν ἀναισθήτως*
*ἐν ταῖς οἰκείαις πράξεσι καὶ ἤθεσιν ὡσαύτως·*
*οἱ γοῦν τοιοῦτοι, λέγε μοι ἐρωτῶντι, ὡς ἔχεις,*
*πῶς τὰ Θεοῦ μυστήρια διηγήσονται ἄλλοις;*
*Πῶς δὲ τὸ φῶς τῆς γνώσεως φωτισθῶσι κἂν ὅλως*
*καὶ ἄλλοις μεταδώσουσιν, εἴτε κρίσιν εὐθεῖαν*
*ἐν διακρίσει ἀληθεῖ ἐξάξουσι δικαίως,*
*οἱ σκότος ὡς ἱμάτιον ὄντες ἐνδεδυμένοι,*
*ἐν αἰσθήσει ἀναίσθητοι, ζωῆς νεκροὶ ἐν μέσῳ;*
*Ἀλλ', ὦ ὑμεῖς φιλόθεοι, ἀκούσατε ρημάτων*
*ἀληθινῶν καὶ θαυμαστῶν, ὧν τὸ στόμα Κυρίου*
*καὶ προλαβὸν ἐλάλησε καὶ νῦν λαλεῖ τοῖς πᾶσιν!*
*Εἰ μὴ δόξαν ἀπώσεσθε, εἰ μὴ ρίψετε πλοῦτον,*
*εἰ μὴ ματαίαν οἴησιν ἐκδύσεσθε εἰς ἅπαν,*
*εἰ μὴ τῶν πάντων γένησθε ἔσχατοι ἐν τοῖς ἔργοις*
*καὶ ἐν αὐτοῖς τοῖς λογισμοῖς, μᾶλλον δὲ ταῖς ἐννοίαις*
*ἐσχάτους πάντων ἑαυτοὺς νομίζετε ὑπάρχειν,*
*οὐκ ἂν δακρύων ὀχετούς, οὐ κάθαρσιν σαρκός τε*

64. Ψαλμ. 74,3
65. Ὠσ. 10,12.
75. Ματθ. 19,30 καὶ Μάρκ. 10,44

53. Τοὺς ἀνθρώπους τῆς σημ. 33. παρομοιάζει μὲ 'σκύλακες', μικρὰ σκυλιά, μὲ τὰ ὁποῖα παίζουν οἱ ἄνθρωποι. Μ' αὐτοὺς ὅμως διασκεδάζουν οἱ δαίμο-

Κι ὡς εἶπα, οἱ δέσμιοι τῶν παθῶν ἐκεῖνοι σὰν ἱμάτιο
φορώντας τὴν ἀναμυαλιά, τὴν ἔπαρση σὰ δόξα
ντυμένοι διασκεδάζουνε κι ἀναγελοῦν τοὺς ἄλλους
κι ὅπου βροῦν ἴσκιο παίζουνε σάν τὰ μικρὰ κουτάβια.
Καρύδι ὅταν τούς ρίξουνε καὶ μὲ κρότο κυλήσει
αὐτὰ πηδοῦν, τὸ ἁρπάζουνε καὶ θέλουν νὰ τὸ χάψουν,
κυλιοῦνται παίζοντας μ' αὐτὸ κι ἀναπηδοῦν ἀμέσως·
κι ἂν τὸ σκοινὶ ἀπὸ καμουτσὶ σύρει κανεὶς μπροστά τους
πέφτουνε, κουλουριάζονται, τὰ πόδια στὸν ἀέρα
σηκώνουν κι ὅσους τὰ κοιτοῦν τριγύρω νὰ ξεσπᾶνε
κάνουν σὲ γέλια βλέποντας νὰ πέφτουνε ὁλοένα.
Καὶ τοῦτοι ἔτσι τοὺς δαίμονες τέρπουν χωρὶς νὰ νιώθουν
μὲ ὅσα ἐκεῖνοι πράττουνε κι ὅσα ποθεῖ ἡ καρδιά τους.
Τοῦτοι λοιπὸν οἱ ἄνθρωποι, σὲ ρωτῶ, ἀπάντησέ μου,
πῶς τὰ μυστήρια τοῦ Θεοῦ θὰ διηγηθοῦνε σὲ ἄλλους;
Πῶς μὲ τὸ φῶς θὰ φωτιστοῦν τῆς γνώσης κὰν μὲ λίγο
καὶ θὰ τὸ μεταδώσουνε στοὺς ἄλλους ἢ θὰ βγάλουν
σωστὴ μιὰ κρίση δίκαιη μ' ἀληθινὴ διάκριση
αὐτοὶ ποὺ σὰν ἱμάτιο φορᾶνε τὸ σκοτάδι,
στὶς αἰσθήσεις μέσα ἀναίσθητοι, νεκροὶ στῆς ζωῆς τὴ μέση;
Ἀλλά, ἐσεῖς φίλοι τοῦ Θεοῦ, ἀφουγκραστεῖτε λόγια
ἀληθινὰ καὶ θαυμαστά, ποὺ τοῦ Κυρίου τὸ στόμα
καὶ πιὸ μπροστὰ διαλάλησε καὶ τώρα λέει πρὸς ὅλους.
Τὴ δόξα ἂν δὲν πετάξετε, τὸ βιὸ ἂν δὲν ἀρνηθεῖτε,
ἂν δὲ γδυθεῖτε ὁλότελα τὴν οἴηση τὴ μάταιη,
ἂν δὲ γενεῖτε ἔσχατοι στὰ ἔργα σας ἀπ' ὅλους,
ὡς καὶ σ' αὐτοὺς τοὺς λογισμοὺς καὶ στὶς ἁπλὲς τὶς σκέψεις
ἂν δὲν πιστέψετε ἔσχατοι ἀπ' ὅλους ὅτι εἶστε,
ποτὲ δακρύων ποταμοὺς καὶ κάθαρση τῆς σάρκας

---

νες. Φρικτὸ καὶ νὰ τὸ σκεφτεῖ μόνο κανένας. Ἡ ζωηρὴ περιγραφή του μαρτυρεῖ ὀργὴ καὶ ἀγανάκτηση.

71. Ἐπανέρχεται στὴν ἀρχική του διατύπωση. Εἶναι τὸ στόμα τοῦ Κυρίου ποὺ λαλεῖ ὅσα λέει ὁ Συμεών. Γιὰ τὴν ὀρθοδοξία του ὁ ποιητής εἶναι βεβαιότατος.

*κτήσησθε ἢ θεάσησθε πῶς ἐνεργοῦνται ταῦτα.*
*Λοιπόν, θρηνεῖτε ἑαυτούς, λοιπόν, μετανοεῖτε,*
*λοιπόν, θερμὰ προχέετε δάκρυα καθ' ἡμέραν,*
*ἵν' ὀφθαλμοὺς ἐκπλήνυτε νοεροὺς τῆς καρδίας,*
*ἵνα τὸ φῶς θεάσησθε τὸ λάμψαν ἐν τῷ κόσμῳ,*
*ὃ λάμπον κράζει καὶ βοᾷ· Τὸ φῶς ἐγὼ τοῦ κόσμου*
*ἤμην, εἰμὶ καὶ ἔσομαι καὶ θέλω καθορᾶσθαι!*
*Εἰς τοῦτο γὰρ ἐλήλυθα σωματικῶς ἐν κόσμῳ,*
*διπλοῦς ὁ εἷς γενόμενος καὶ μείνας εἷς ὡσαύτως,*
*ἵνα Θεόν με ὁρατὸν οἱ πιστῶς προσκυνοῦντες*
*καὶ τὰς ἐμὰς φυλάσσοντες ἐντολὰς ἀοράτως*
*ἐλλάμπονται καὶ νοερῶς μυούμενοι τὴν δόξαν*
*θεότητός μου τῆς φρικτῆς, σαρκός τε προσληφθείσης*
*καὶ τὸ διπλοῦν τῶν φύσεων μυστικῶς καθορῶντες*
*ὡς ἕνα με τότε Θεὸν ἀδιστάκτως ὑμνοῦσιν.*
*Ἄλλως οὐκ ἔνι γὰρ καλῶς ἐμὴν οἰκονομίαν,*
*ἐμήν τε συγκατάβασιν ἐπιγνῶναι καὶ φρίξαι*
*καὶ προσκυνῆσαι ὡς Θεὸν τὸν ἐν μορφῇ ἀνθρώπου*
*γενόμενόν με καὶ Θεὸν μείναντα ἀνεκφράστως·*
*δύο τὸ ἓν ἀμέριστα ὑποστάσει, οὐ φύσει,*
*εἷς οὖν Θεὸς ἐγώ εἰμι, τέλειος ἄνθρωπός τε,*
*ὁλοτελής, ὁλόκληρος, σάρξ, ψυχή, νοῦς καὶ λόγος·*
*ἄνθρωπος ὅλος καὶ Θεὸς ἐν δυσὶ ταῖς οὐσίαις,*
*διπλαῖς ὡσαύτως φύσεσι, διπλαῖς ταῖς ἐνεργείαις,*
*διπλᾶς καὶ ταῖς θελήσεσιν ἐν μιᾷ ὑποστάσει,*
*Θεὸς ὁμοῦ καὶ ἄνθρωπος εἷς εἰμι τῆς Τριάδος.*
*Οἱ οὕτω με πιστεύσαντες εἶναι καὶ ἐπιγνόντες*
*ἐν τῷ καθάραι ἑαυτοὺς σπουδῇ καὶ μετανοίᾳ*
*καὶ δυνηθέντες κατιδεῖν ἐν καθαρᾷ καρδίᾳ*

δὲ θ' ἀποκτήσετε οὔτε πῶς γίνονται αὐτὰ θὰ δεῖτε.
Λοιπόν, θρηνήσετε γιὰ σᾶς, λοιπὸν μετανοεῖτε,
χύνετε δάκρυα θερμὰ λοιπὸν τὴν πᾶσα ἡμέρα,
τὰ νοερὰ νὰ πλύνετε τὰ μάτια τῆς καρδιᾶς σας,
γιὰ ν' ἀντικρίσετε τὸ φῶς ποὺ ἔλαμψε μὲς στὸν κόσμο,
ποὺ βοᾶ καὶ κράζει λάμποντας· Ἐγὼ τὸ φῶς τοῦ κόσμου
ἤμουνα, εἶμαι καὶ θὰ εἶμαι, θέλω νὰ μὲ θωρᾶτε.
Γιατὶ γι' αὐτὸ κατέβηκα σωματικὰ στὸν κόσμο·
ὁ ἕνας ἔγινα διπλὸς μένοντας ὅμως ἕνας,
ὥστε ὅποιοι ὡς ὁρατὸ Θεὸ μὲ προσκυνοῦν μὲ πίστη
καὶ τὶς δικές μου ἐντολὲς φυλάγοντας ἀοράτως
δέχονται λάμψεις καὶ νοερὰ εἰσάγονται στὴ δόξα
τῆς θεότητάς μου τῆς φρικτῆς καὶ τῆς ποὺ ἔλαβε σάρκα
καὶ τὴ διπλή μου μυστικὰ ἀντικρίζοντας τὴ φύση
σὰν ἕνα τότε ἀδίσταχτα Θεὸ μὲ ἀνυμνοῦνε.
Ἀλλιῶς δὲν εἶναι δυνατὸ τὴ συγκατάβασή μου
καὶ τὴν οἰκονομία μου ν' ἀντιληφθοῦν, νὰ φρίξουν,
κι αὐτὸν ὁποὺ ἦρθε μὲ μορφὴν ἀνθρώπου νὰ λατρέψουν,
καθὼς Θεὸν καὶ ποὺ θεὸς ἀνέκφραστα ἔχει μείνει·
δύο τὸ ἕνα ἀχώριστα ἀπὸ ὑπόσταση, ὄχι φύση,
ἕνας λοιπὸν Θεὸς ἐγὼ κι ἄνθρωπος τέλειος εἶμαι,
τέλειος κι ἀκέραιος, ψυχή, σάρκα καὶ νοῦς καὶ λόγος,
ἀκέραιος ἄνθρωπος καὶ Θεὸς ἔχοντας δύο οὐσίες
καὶ φύσεις δύο ἔχοντας καὶ δύο τὶς ἐνέργειες
κι ἔχοντας δύο θελήματα σὲ ὑπόσταση ὅμως μία,
Θεὸς μαζὶ καὶ ἄνθρωπος ἀπ' τὴν Τριάδα ὁ ἕνας.
Ὅποιοι ἔτσι μὲ πιστεύουνε καὶ μ' ἔνιωσαν πὼς εἶμαι
τὸν ἑαυτό τους καθαίροντας μὲ ζῆλο καὶ μετάνοια
καὶ μπόρεσαν μὲ καθαρὴ καρδιὰ πιὰ ν' ἀντικρίσουν

83-84. Ἰω. 8,12 καὶ 9,5.
86. Μάρκ. 1,39.
96. Φιλ. 2,7.

*καὶ μυηθῆναι νοερῶς ἐμὴν οἰκονομίαν,*
*αὐτοί με ἀγαπήσουσιν ἐξ ὅλης τῆς καρδίας,*
*αὐτοὶ δὲ καὶ φυλάξονται πάσας τὰς ἐντολάς μου*
*καταπλαγέντες τὴν ἐμὴν ἄπειρον εὐσπλαγχνίαν,*
*αὐτοί μοι καὶ συνέσονται καὶ κοινωνοὶ τῆς δόξης,*
*τῆς τοῦ Πατρός μου ἔσονται εἰς αἰῶνας αἰώνων.*
*Ἀμήν.*

καὶ νοερὰ νὰ διδαχτοῦν τὴ θεία μου οἰκονομία,
αὐτοὶ θά μ' ἀγαπήσουνε μὲ ὅλη τὴν καρδιά τους
κι αὐτοὶ θὲ νὰ φυλάξουνε ὅλες τὶς ἐντολές μου
κατάπληκτοι ἀπ' τὴν ἄμετρη φιλανθρωπία ποὺ ἔχω,
αὐτοὶ θά 'ναι μαζὶ μ' ἐμὲ καὶ θὲ νὰ μοιραστοῦμε
τὴ δόξα τοῦ Πατέρα μου στοὺς αἰῶνες τῶν αἰώνων.
'Αμήν.

---

109. Ματθ. 22,37.
112. Α΄ Πέτρ. 5,1.

## ΛΓ'

### *Περὶ θεολογίας, καὶ ὅτι οἱ τὸ κατ' εἰκόνα φυλάξαντες τὰς πονηρὰς δυνάμεις τοῦ ἄρχοντος τοῦ σκότους καταπατοῦσιν, οἱ δ' ἄλλοι, οἷς ἐμπαθὴς ὁ βίος, ὑπ' αὐτοῦ κρατοῦνται καὶ βασιλεύονται.*

*Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱός, φῶς τὸ ἅγιον Πνεῦμα.*
*Βλέπε τί λέγεις, ἀδελφέ, βλέπε μὴ παρασφάλῃς!*
*Ἓν γὰρ τὰ τρία φῶς εἰσιν, ἕν, οὐ κεχωρισμένον,*
*ἀλλ' ἡνωμένον ἐν τρισὶ προσώποις ἀσυγχύτως.*
*Θεὸς γὰρ ἀδιαίρετος ὅλως ἐστὶ τῇ φύσει,*
*καὶ τῇ οὐσίᾳ ἀληθῶς ὑπὲρ πᾶσαν οὐσίαν·*
*οὐ τῇ δυνάμει τέμνεται, οὐ τῇ μορφῇ, οὐ δόξῃ,*
*οὐ τῇ ἰδέᾳ, ὅλος γὰρ ἁπλοῦν φῶς καθορᾶται.*
*Ἐν τούτοις ἓν τὰ πρόσωπα, ἓν αἱ τρεῖς ὑποστάσεις·*
*τὰ τρία γὰρ ἐν τῷ ἑνί, ἓν τὰ τρία δὲ μᾶλλον,*
*τὰ τρία μία δύναμις, τὰ τρία μία δόξα,*
*τὰ τρία μία φύσις γε, οὐσία καὶ θεότης.*
*Αὐτὰ καὶ φῶς τὸ ἕν εἰσιν, ὃ φωτίζει τὸν κόσμον,*
*οὐχὶ τὸν κόσμον, ἄπαγε, τὸν ὁρώμενον τοῦτον*
*– οὐδὲ γὰρ ἔγνωκεν αὐτόν, οὐδὲ δύναται γνῶναι*
*ὁ κόσμος ὁ ὁρώμενος οὐδ' οἱ τοῦ κόσμου φίλοι·*
*ὁ γὰρ τὸν κόσμον ἀγαπῶν ἐχθρὸς Θεοῦ τυγχάνει –,*
*ἀλλ' ὃν αὐτὸς πεποίηκεν ἄνθρωπον κατ' εἰκόνα*
*αὐτοῦ καὶ καθ' ὁμοίωσιν, κόσμον ἡμεῖς καλοῦμεν,*

---

10–11. Μία θεότης, μία δύναμις, μία δόξα σὲ τρία πρόσωπα ἢ τρεῖς ὑποστάσεις. Τὸ δόγμα τῆς ἁγίας Τριάδας, ποὺ εἴδαμε καὶ κάπου προηγουμένως νὰ διατυπώνεται κάπως παράξενα. Γιὰ τὴ διατύπωση τοῦ δόγματος αὐτοῦ ἀφορμὴ δίνει ὁ ἴδιος μὲ ὅσα γράφει στοὺς πρώτους στίχους.

**Περὶ θεολογίας, καὶ ὅτι ὅσοι φύλαξαν τὸ 'κατ' εἰκόνα' καταπατοῦν τὶς πονηρὲς δυνάμεις τοῦ ἄρχοντα τοῦ σκότους, ἐνῶ οἱ ἄλλοι, ποὺ ὁ βίος τους κυλᾶ μέσα στὰ πάθη, τὸν ἔχουν δυνάστη καὶ βασιλιά τους.**

Φῶς ὁ Πατέρας, φῶς ὁ Υἱός, φῶς καὶ τὸ ἅγιο Πνεῦμα.
Τί λέγεις πρόσεχε, ἀδελφέ, βλέπε μὴν κάνεις σφάλμα!
Ἕνα τὰ τρία τους εἶναι φῶς, ἕνα, ὄχι χωρισμένο,
ἀλλὰ σὲ τρία πρόσωπα ἀσύγχυτα ἑνωμένο.
Γιατὶ εἶναι Θεὸς ἀδιαίρετος ὁλότελα στὴ φύση
καὶ στὴ οὐσία ἀληθινὰ πάνω ἀπὸ κάθε οὐσία.
Δὲν κόβεται στὴ δύναμη, στὴ μορφὴ καὶ στὴ δόξα,
οὔτε στὴν ὄψη, γιατὶ φῶς ἁπλὸ φαίνεται ὅλος.
Ἕνα σ' αὐτὰ τὰ πρόσωπα, κι ἕνα οἱ τρεῖς ὑποστάσεις,
τὰ τρία σὲ ἕνα ἀληθινά, κάλλιο τὰ τρία ἕνα,
τὰ τρία μιὰ εἶναι δύναμη, τὰ τρία δόξα μία,
τὰ τρία εἶναι φύση μιά, μιὰ οὐσία καὶ θεότης·
τὰ τρία αὐτὰ εἶναι τὸ φῶς, τὸν κόσμο πού φωτίζει,
ὄχι τὸν κόσμο, πρὸς Θεοῦ, τὸν ὁρατὸν ἐτοῦτον
–γιατὶ δὲ γνώρισε τὸ Θεὸν οὔτε καὶ νὰ γνωρίσει
μπορεῖ ὁ κόσμος ὁ ὁρατός, κι οὔτε τοῦ κόσμου οἱ φίλοι·
κι ὅποιος τὸν κόσμον ἀγαπᾶ τοῦ Θεοῦ ἐχθρὸς τυχαίνει–
φωτίζει ἐκεῖνον ποὺ ἔπλασεν ὁ ἴδιος «κατ' εἰκόνα»
ἀλλὰ καὶ καθ' ὁμοίωση. Κόσμον ἐμεῖς καλοῦμε

1. Α'. Ἰω. 1,5. 3. Ἰω. 1,9 καὶ 8,12.
15. Ἰω. 1,10 Α' Κορ. 2,14. 17. Ἰακ. 4,4. 18. Γεν. 1,26.

19. Κόσμος γιὰ τὸν ποιητὴ δὲν εἶναι αὐτὸς ποὺ λέμε ἐμεῖς, ἀλλὰ ὁ ἄνθρωπος ποὺ μπορεῖ νὰ κοσμηθεῖ μὲ τὶς ἀρετές.

*ὅτι κοσμεῖται ἀρεταῖς, ἄρχει τῶν ἐπιγείων,*
*καθὼς ἐκεῖνος τοῦ παντὸς ἔχει τὴν ἐξουσίαν,*
*καὶ βασιλεύει τῶν παθῶν τοῦτο τὸ κατ' εἰκόνα*
*καὶ ὑποτάσσει δαίμονας δημιουργοὺς κακίας,*
*καταπατεῖ τὸν δράκοντα, τὸν ἀρχαῖον, τὸν μέγαν,*
*ὥσπερ στρουθίον εὐτελές· καὶ πῶς; Ἄκουσον, τέκνον!*
*Ὁ ἄρχων οὗτος ὁ πεσὼν τοῦ φωτὸς τῇ στερήσει*
*ἐν σκότει γέγονεν εὐθὺς καὶ ἔστι μετὰ πάντων*
*τῶν σὺν αὐτοῦ ἐξ οὐρανοῦ πεσόντων ἐν τῷ σκότει*
*καὶ βασιλεύει ἐν αὐτῷ, τῷ σκότει πάντως λέγω,*
*τῶν κρατουμένων ἐν αὐτῷ δαιμόνων καὶ ἀνθρώπων.*
*Πᾶσα ψυχὴ μὴ βλέπουσα φῶς τῆς ζωῆς τὸ λάμπον*
*ἔν τε ἡμέρᾳ καὶ νυκτὶ ὑπ' αὐτοῦ τιμωρεῖται,*
*τιτρώσκεται, δαμάζεται, ἄγεται καὶ δεσμεῖται*
*καὶ βέλεσι τῶν ἡδονῶν κεντᾶται καθ' ἡμέραν.*
*Εἰ καὶ δοκεῖ ἀνθίστασθαι, εἰ καὶ δοκεῖ μὴ πίπτειν,*
*ἀλλ' οὖν ἱδρῶτι σὺν πολλῷ, κόπῳ, πόνῳ καὶ μόχθῳ*
*ἔχει ἀεὶ τὸν πόλεμον ἀκατάλλακτον τούτου.*
*Ψυχὴ δὲ πᾶσα ἡ τὸ φῶς καθορῶσα τὸ θεῖον,*
*ὅθεν ἐκεῖνος πέπτωκε, καταφρονεῖ ἐκείνου*
*καὶ λαμπομένη παρ' αὐτοῦ φωτὸς τοῦ ἀπροσίτου*
*καταπατεῖ τὸν ἄρχοντα τοῦ σκότους ὥσπερ φύλλα*
*καταπεσόντα ἐπὶ γῆν ἀφ' ὑψηλοῦ τοῦ δένδρου.*
*Ἐν σκότει γὰρ τὴν δύναμιν ἔχει καὶ ἐξουσίαν,*
*ἐν τῷ φωτὶ δὲ γίνεται πτῶμα νεκρὸν εἰς ἅπαν.*
*Φῶς δὲ ἀκούων, πρόσεχε ὁποῖον φῶς σοι λέγω,*
*μὴ ὑπολάβῃς λέγειν με τὸ φῶς τὸ τοῦ ἡλίου!*
*Καὶ γὰρ ὁρᾷς ἐν τῷ φωτὶ τούτου πολλοὺς ἀνθρώπους*
*ἐξαμαρτόντας ὡς ἐγώ, δεινῶς μαστιζομένους,*
*πίπτοντας καὶ ἀφρίζοντας μεσούσης τῆς ἡμέρας*
*καὶ ἀοράτως πάσχοντας ἐκ πονηρῶν πνευμάτων,*

---

23. Λουκᾶ 10,17. 24. Ψαλμ. 90,13 καὶ Ἀποκ. 12,9.
28. Λουκᾶ 10,18 καὶ Ἠσ. 14,12.

ὅ,τι στολίζουν οἱ ἀρετὲς καὶ κυβερνᾶ τὰ ἐπίγεια
ὅπως ἐκεῖνος τοῦ παντὸς ἔχει τὴν ἐξουσία.
Καὶ μὲ τὸ κατ' εἰκόνα αὐτὸ στὰ πάθη βασιλεύει,
δουλαγωγεῖ τοὺς δαίμονες τοὺς αἴτιους τῆς κακίας,
καταπατεῖ τὸ δράκοντα, τὸν παλαιό, τὸ μεγάλο,
σὰ σπουργιτάκι ταπεινό. Καὶ πῶς; Ἄκου παιδί μου·
Ὁ ἄρχοντας ποὺ γκρεμίστηκε τὸ φῶς ἔχοντας χάσει
στὸ σκότος βρέθηκε μὲ μιᾶς κι εἶναι μαζί μὲ ὅλους
ποὺ ἀντάμα ἀπὸ τὸν οὐρανὸ ἔπεσαν στὸ σκοτάδι
καὶ βασιλιὰς θέλω νὰ πῶ τοῦ σκοταδιοῦ θὰ γίνει
καὶ στοὺς δεσμῶτες ποὺ κρατεῖ δαίμονες καὶ ἀνθρώπους.
Κάθε ψυχὴ ποὺ δὲ θωρεῖ τὸ φῶς τῆς ζωῆς ποὺ λάμπει
ὀλημερὶς καὶ ὀλονυχτὶς σκληρὰ τὴ βασανίζει,
τήνε λαβώνει, τὴ χτυπᾶ, τὴ σέρνει, τήνε δένει,
μὲ τὶς σαϊτιὲς τῶν ἡδονῶν τὴν τρυπᾶ κάθε μέρα.
Καὶ μόλο ποὺ ν' ἀντισταθεῖ θέλει καὶ νὰ μὴν πέσει,
ὅμως μὲ ἱδρώτα ἄφθονο, κόπο, πόνο καὶ μόχθο
πάντοτε ἀφίλιωτο κρατεῖ τὸν πόλεμο μὲ τοῦτα.
Ἐνῶ ἡ κάθε μιὰ ψυχὴ τὸ φῶς τὸ θεῖο ποὺ βλέπει
ἀπ' ὅπου αὐτὸς ἐξέπεσε, καταφρονάει ἐκεῖνον
καὶ φωτισμένος ἀπ' τὸ φῶς τὸ ἀπρόσιτο τὸ ἴδιο
καταπατεῖ τὸν ἄρχοντα τοῦ σκοταδιοῦ σὰν φύλλα
ποὺ ἔπεσαν πάνω στὴ γῆ ἀπὸ ἕνα ψηλὸ δέντρο.
Τὸ κράτος καὶ τὴ δύναμη νά 'χει μέσα στὸ σκότος,
ἐνῶ γίνεται μὲς στὸ φῶς τέλεια ἄψυχο κουφάρι.
Καὶ πρόσεχε ὅταν φῶς ἀκοῦς γιὰ ποιό φῶς σοῦ μιλάω,
νὰ μὴ νομίσεις πὼς σοῦ λέω γιὰ τὸ ἡλιοφῶς ποὺ βλέπεις!
Γιατὶ μέσα σ' αὐτὸ τὸ φῶς βλέπεις πολλοὺς ἀνθρώπους
νὰ κάνουν λάθη ὅπως ἐγώ, νὰ μαστιγώνονται ἄγρια,
νὰ πέφτουν κάτω καὶ ν' ἀφρίζουν μέρα μεσημέρι
κι ἀόρατα ἀπὸ πονηρὰ πνεύματα νὰ ὑποφέρουν,

45. Καθιστᾶ προσεκτικὸ τὸν ἀκροατή του στὸ θέμα τοῦ φωτός. Δὲν πρέπει νὰ νομιστεῖ ὅτι ὁ Θεὸς εἶναι τὸ ἡλιακὸ φῶς ποὺ φωτίζει τὴν κτίση.

*καὶ τοῦ ἡλίου λάμποντος οὐδὲν ἐκ τούτου πλέον*
*ἐγγίνεται τὸ ὄφελος τοῖς δαίμοσιν ἐκδότοις.*
*Τοίνυν οὐ λέγω σοι τὸ φῶς τοῦ αἰσθητοῦ ἡλίου,*
*οὐ τῆς ἡμέρας, ἄπαγε, οὐ λυχνιαῖον ὅλως,*
*οὐ τῶν ἀστέρων τῶν πολλῶν, οὐδὲ σελήνης φάος,*
*οὐκ ἄλλους ὅλως ὁρατοῦ ἀπαύγασμα φωτός σοι*
*παραδηλῶν ἐνέργειαν τοιαύτην ὅλως ἔχειν.*
*Τὰ αἰσθητὰ τοὺς αἰσθητοὺς ὀφθαλμοὺς καὶ γὰρ μόνους*
*φωτίζουσι καὶ λάμπουσι φῶτα καὶ βλέπειν μόνον*
*παρέχουσι τὰ αἰσθητά, τὰ νοητὰ οὐ μέντοι.*
*Πάντες οὖν, ὅσοι βλέπουσι τὰ αἰσθητὰ καὶ μόνον,*
*τυφλοί εἰσι τὰ νοερὰ ὄμματα τῆς καρδίας.*
*Τὰ νοερὰ οὖν ὄμματα τῆς νοερᾶς καρδίας*
*καὶ νοερῷ φωτίζεσθαι ὀφείλουσι φωτί γε.*
*Εἰ γὰρ ὁ ἔχων σώματος τὰς κόρας ἐσβεσμένας*
*ὅλος ὑπάρχει σκοτεινός, ἀγνοῶν ποῦ ὑπάρχει,*
*πόσῳ γε μᾶλλον ὁ ψυχῆς ἔχων τυφλὸν τὸ ὄμμα*
*ἐσκοτισμένος ἔσεται, καὶ σώματι καὶ πράξει*
*μικροῦ νενεκρωμένος δὲ καὶ πνεύματι ὑπάρξει;*
*Νόησον τοίνυν ἀκριβῶς, ὁποῖον φῶς σοι λέγω!*
*Οὐ λέγω σοι τὴν πίστιν γάρ, οὐ λέγω τὴν τῶν ἔργων*
*πρᾶξιν οὐδὲ μετάνοιαν οὐδὲ νηστείαν πάντως,*
*ἀκτημοσύνην οὐδαμῶς, οὐ σοφίαν, οὐ γνῶσιν,*
*ἀλλ' οὐδὲ τὸ διδάσκειν· τούτων γὰρ οὐδέν ἐστιν,*
*οὐ φῶς οὐδὲ ἀπαύγασμα φωτός, οὗπέρ σοι λέγω,*
*οὐδέ γε ἡ εὐλάβεια ἡ ἔξωθεν, οὐ σχῆμα*
*τὸ ταπεινὸν καὶ εὐτελές· πάντα γὰρ ταῦτα πράξεις*
*καὶ ἐντολῶν ἐκπλήρωσις, εἴ γε καλῶς τελοῦνται*
*καὶ ἐκπληροῦνται, ὡς αὐτὸς ἐντέλλεται ὁ κτίστης.*
*Τὰ δάκρυα κατὰ πολλοὺς ἐκχέονται τοὺς τρόπους*
*καὶ ἢ ἐπωφελῆ εἰσιν ἢ καὶ βλάπτουσι μᾶλλον·*
*τέως αὐτὰ καθ' ἑαυτὰ ἀνόνητα εἰς ἅπαν.*

κι ἂν λάμπει ὁ ἥλιος ἀπ' τὸ φῶς δὲν ἔχουνε κανένα
ν' ἀποκομίσουν ὄφελος οἱ σκλάβοι τῶν δαιμόνων.
Δὲ σοῦ μιλῶ λοιπὸν γιὰ φῶς τοῦ αἰσθητοῦ ἡλίου,
γιὰ φῶς τῆς μέρας, οὔτ' αὐτό, οὔτε γιὰ φῶς τοῦ λύχνου,
οὔτε τῶν ἄστρων τῶν πολλῶν, γιὰ φεγγαρόφωτο οὔτε,
οὔτε ἄλλης μιᾶς φωτοπηγῆς φῶς ὁρατὸ καθόλου
πὼς ἔχει τέτοια δύναμη θά 'θελα νὰ σοῦ δείξω.
Τὰ αἰσθητὰ φῶτα, μονάχα τὰ αἰσθητὰ τὰ μάτια
φωτίζουνε καὶ φέγγουνε καὶ κάνουνε νὰ βλέπουν
ὅ,τι εἶναι μόνο αἰσθητὸ καὶ τὰ νοητὰ καθόλου.
Ὅσοι λοιπὸν μποροῦν νὰ δοῦν τὰ αἰσθητὰ μονάχα
ἔχουν τυφλὰ τὰ νοερὰ τὰ μάτια τῆς καρδιᾶς τους.
Τὰ νοερὰ μάτια λοιπὸν τῆς νοερῆς καρδιᾶς
μὲ νοερὸ νὰ φωτίζονται μονάχα φῶς ὀφείλουν.
Γιατὶ τὶς κόρες τῶν ματιῶν σβησμένες ὅποιος ἔχει
εἶναι ὅλος κατασκότεινος, ποῦ βρίσκεται δὲν ξέρει·
καὶ πιὸ πολὺ ὅποιος τῆς ψυχῆς ἔχει τυφλὰ τὰ μάτια
θά 'χει στὸ σκότος βυθιστεῖ μὲ σῶμα καὶ μὲ ἔργα
καὶ λίγο ἀκόμα θὰ τὸν δεῖς νεκρὸ στὸ σῶμα ἐπίσης.
Σκέψου λοιπὸν τώρα ἀκριβῶς γιὰ ποιό φῶς σοῦ μιλάω.
Δὲν εἶναι ἡ πίστη ποὺ σοῦ λέω, δὲ σοῦ μιλῶ γιὰ ἔργα
οὔτε γιὰ τὴ μετάνοια μὰ οὔτε καὶ γιὰ νηστεία·
γι' ἀκτημοσύνη; ξέχνα την· σοφία, γνώση ἐπίσης,
μήτε καὶ τὸ ἔργο διδαχῆς· ἀπὸ αὐτὰ κανένα
δὲν εἶναι· φῶς, ἀπαύγασμα φωτὸς ποὺ ἐγὼ σοῦ λέγω·
δὲν εἶναι ἡ ἐξωτερικὴ εὐλάβεια οὔτε τὸ σχῆμα
τὸ ταπεινὸ καὶ φτωχικό· πράξεις εἶναι ὅλα τοῦτα
κι ἐκπλήρωση τῶν ἐντολῶν, ὅσο καλὰ τελοῦνται
κι ὅσο ἐκπληρώνονται καθὼς ὁ ἴδιος ὁρίζει ὁ κτίστης.
Τὰ δάκρυα οὔτε μὲ πολλοὺς ποὺ χύνονται τοὺς τρόπους
καὶ οὔτε μᾶς εἶναι ὠφέλιμα ἢ πιὸ πολὺ ζημιώνουν,
ἐνῶ αὐτὰ ἀπὸ μόνα τους δὲν ὠφελοῦν καθόλου.

55. Α΄ Κορ. 15,41.

*Ἡ δ' ἀγρυπνία μοναχῶν οὐκ ἔστι πάντως μόνων,*
*ἀλλὰ καὶ τοῦ κοινοῦ λαοῦ ἔργοις ἀσχολουμένων,*
*καὶ ἀγρυπνοῦσι πλείονα ὑφαίνουσαι γυναῖκες,*
*χρυσοχόοι τε καὶ χαλκεῖς ἢ μονασταὶ οἱ πλεῖστοι,*
*καὶ διὰ τοῦτο λέγομεν ὅτι τούτων ἁπάντων*
*τῶν ἐναρέτων πράξεων οὐδὲν φάος καλεῖται.*
*Ὅπου καὶ συναγόμεναι εἰς ἓν αἱ πᾶσαι πράξεις*
*καὶ ἀρεταὶ ἀνελλιπῶς φῶς οὐκ εἰσι τὸ θεῖον,*
*διΐστανται γὰρ ἐξ αὐτοῦ πᾶσαι πράξεις ἀνθρώπων,*
*καὶ αὗται μὲν αἱ παρ' ἡμῶν ἐκπληρούμεναι πράξεις*
*τὸ καθ' ἡμᾶς πρὸς τοὺς λοιποὺς ζῶντας ἐν πονηρίᾳ*
*φῶς λέγονται πρὸς τὰ καλὰ κἀκείνους ὁδηγοῦσαι*
*καί, ὅπερ ἔστιν ἐν ἐμοὶ σκότος καὶ ἐκτυφλοῖ με,*
*φῶς τῷ πλησίον γίνεται καὶ τοῖς ὁρῶσι λάμπει.*
*Καὶ ἵνα μὴ παράδοξα ὑποπτευθῶ σοι λέγειν,*
*ἄκουσον, καὶ λαλήσω σοι αἰνίγματος τὴν λύσιν·*
*νηστεύω ἴσως διὰ σέ, ἵνα φανῶ νηστεύων,*
*καὶ τοῦτο κέντρον μὲν ἐμοῦ τοῖς ὀφθαλμοῖς ὑπάρχει*
*καὶ ὡς δοκὸς ἐμπέπηκται μέσον ἐν τούτοις πάντως·*
*σὺ δὲ φωτίζῃ βλέπων με, εἰ μή με κατακρίνῃς,*
*ἀλλ' εἶ μεμφόμενος σαυτὸν ὡς γαστρίμαργον πάντως·*
*πρὸς γὰρ ἐγκράτειαν γαστρὸς καθοδηγῇ ἐκ τούτου*
*καὶ τῆς τρυφῆς ὑπερορᾶν προφανῶς ἐκμανθάνεις.*
*Πάλιν ἐγὼ ἐνδέδυμαι εὐτελῆ καὶ ῥακώδη*
*καὶ μονοχίτων ἐν παντὶ περιπατῶν νομίζω*
*δόξαν ἐκ τῶν ὁρώντων με καὶ ἔπαινον θηρᾶσθαι*
*καὶ ὡς ἀπόστολος αὐτοῖς ἄλλος νέος ὁρᾶσθαι,*
*καὶ τοῦτο γίνεται ἐμοὶ πάσης αἴτιον βλάβης*
*καὶ σκότος ὄντως καὶ παχὺ νέφος ἐν τῇ ψυχῇ μου·*

---

99. Ματθ. 6,16. 100–101. Ματθ. 7,3
106. Βλ. Μάρκ. 6,9.

97. Ἡ ἐξήγηση ποὺ δίνει στὴν ἰδέα ποὺ ἔχει ὁ Συμεὼν γιὰ τὸ φῶς ἀρχίζει ἀπὸ τὸ στίχο 70. Τώρα παρατηρεῖ ὅτι ὅσα λέει μπορεῖ νὰ θεωρηθοῦν παράδοξα

Κι ἡ ἀγρυπνία, τῶν μοναχῶν δὲν εἶναι ἔργο μονάχα,
ἀλλὰ καὶ τοῦ κοινοῦ λαοῦ ποὺ τὸν καλεῖ ἡ δουλειά του
καὶ ξαγρυπνοῦνε ὑφαίνοντας περσότερο οἱ γυναῖκες
κι οἱ χρυσοχόοι κι οἱ χαλκουργοὶ ἀπ' ὅ,τι ὅσοι μονάζουν,
καὶ νά, γιατί σοῦ τόνισα ὅτι ἀπὸ τοῦτες ὅλες
τὶς πράξεις τὶς ἐνάρετες καμιὰ φῶς δὲν καλεῖται.
Μὰ κι ἂν ἀκόμα συναχτοῦν σὲ μιὰν οἱ πράξεις ὅλες
κι ὅλες οἱ ἀρετὲς μαζὶ κι ἔτσι φῶς θεῖο δὲν εἶναι·
ὅλες στέκουν μακριὰ ἀπ' αὐτὸ οἱ πράξεις τῶν ἀνθρώπων
κι ὅλες ὁποὺ ἐκπληρώνομε ἐμεῖς αὐτὲς οἱ πράξεις
στούς ἄλλους ἀπὸ μέρος μας ποὺ ζοῦνε στὴν κακία
λέγονται φῶς, ἀφοῦ ὁδηγοῦν πρὸς τὸ καλὸ κι ἐκείνους·
κι αὐτὸ ποὺ σκότος μέσα μου εἶναι καὶ μὲ τυφλώνει
γίνεται φῶς στὸ διπλανὸ καὶ φέγγει σ' ὅσους βλέπουν.
Καὶ γιὰ νὰ μὴ μὲ ὑποπτευθεῖς πὼς ἄτοπα σοῦ λέγω,
ἄκου ἀπὸ ἐμένα νὰ σοῦ πῶ τοῦ αἰνίγματος τὴ λύση.
Νηστεύω ἴσως γιὰ χάρη σου, γιὰ νὰ δεῖς πὼς νηστεύω,
κι αὐτὸ εἶναι γιὰ τὰ μάτια μου ποὺ τὰ πληγώνει ἀγκάθι
καὶ σὰν δοκάρι ἀληθινὰ ἔχει στηθεῖ μπροστά τους.
Φωτίζεσαι θωρώντας με, ἂν δὲ μὲ κατακρίνεις,
μὰ τὸν ἑαυτό σου μέμφεσαι ὅτι λαίμαργος εἶναι.
Σ' ἐγκράτεια σὲ καθοδηγεῖ γαστρὸς ἡ πράξη τούτη
καὶ νὰ περιφρονεῖς λαμπρὰ κάθε τρυφὴ σοῦ δείχνει.
Ἕν' ἄλλο τώρα· ντύνομαι μὲ φτωχικὰ κουρέλια
κι ὅπως πηγαίνω πάντοτε φορώντας τὰ ἴδια ροῦχα
θαρρῶ πὼς δόξα κι ἔπαινο ἔχω ἀπ' ὅσους μὲ βλέπουν
κι εἶμαι μπροστὰ στὰ μάτια τους ἀπόστολος καινούργιος.
Αὐτὸ γιὰ μένα γίνεται αἰτία κάθε βλάβης
καὶ στὴν ψυχή μου ἀληθινὰ σκότος παχὺ καὶ νέφος·

---

–καὶ πῶς νὰ τὸ κάνομε; εἶναι– Ἐπιχειρεῖ ὡς τὸ τέλος γιὰ ἀναλυτικότερη ἐξήγησή τους.

98. Ὁ τρόπος τοῦ Συμεὼν ἔχει καὶ παιδαγωγικὴ ἀξία. Ἂν δοθεῖ κάτι ὡς αἴνιγμα πρὸς λύση προσκτᾶται μονιμότερα καὶ σαφέστερα.

*τοὺς δὲ ὁρῶντάς με λαοὺς φωτίζει καὶ διδάσκει*
*ὑπερφρονεῖν καλλωπισμοῦ, ὑπερφρονεῖν καὶ πλούτου*
*καὶ εὐτελοῦς ἀντέχεσθαι καὶ τραχείας ἐσθῆτος,*
*ὅπερ καὶ ἔστιν ἀληθῶς ἔνδυμα ἀποστόλων.*
*Οὕτω καὶ πᾶσαι αἱ λοιπαὶ τῶν ἀρετῶν γε πράξεις*
*πράξεις εἰσὶν ἐκτὸς φωτός, ἔργα ἀκτῖνος δίχα,*
*ὁμοῦ γὰρ συναγόμεναι πᾶσαι, ὥσπερ προεῖπον,*
*καὶ εἰς τὸ ἓν γινόμεναι αἱ ἐνάρετοι πράξεις,*
*εἴπερ καὶ ἔστι δυνατὸν ἐν ἀνθρώπῳ γενέσθαι,*
*λαμπάδι ἐξωμοίωνται φωτὸς ἐστερημένῃ.*
*Ὡς γὰρ οὐκ ἔστι λέγεσθαι πῦρ τοὺς καρβῶνας μόνους,*
*ἀλλ' οὐδὲ πάλιν ἄνθρακας οὐδὲ φλόγα τὰ ξύλα,*
*οὕτως οὐ πίστις ἅπασα, οὐκ ἔργα οὐδὲ πράξεις,*
*οὐκ ἐντολῶν ἐκπλήρωσις πῦρ, φλὸξ ἢ φῶς τὸ θεῖον*
*εἰσὶν ἄξια λέγεσθαι, οὐ γάρ εἰσι τῷ ὄντι,*
*ἀλλ' ὅτι δέξασθαι τὸ πῦρ, τῷ φωτί τε ἐγγίσαι*
*καὶ ἀναφθῆναι δύνανται ἀπορρήτῳ ἑνώσει,*
*τοῦτο ὑπάρχει ἀρετῶν ἔπαινός τε καὶ κλέος.*
*Καὶ διὰ τοῦτο ἄσκησις πᾶσα καὶ πᾶσαι πράξεις*
*ἐπιτελοῦνται παρ' ἡμῶν, ἵνα φωτὸς τοῦ θείου*
*ὥσπερ λαμπὰς μετάσχωμεν, ὡς ἓν κηρίον πάσας*
*προβαλλομένης τῆς ψυχῆς φωτὶ τῷ ἀπροσίτῳ·*
*μᾶλλον δὲ ὥσπερ πάπυρος ἐμβάπτεται κηρίῳ,*
*οὕτω ψυχὴ ταῖς ἀρεταῖς ἁπάσαις πιανθεῖσα*
*ὅλη ἀνάψει ἐξ αὐτοῦ, ὅσον ὁρᾶν ἰσχύσει,*
*ὅσον ἐν οἴκῳ τε αὐτῆς εἰσαγαγεῖν χωρήσει,*
*καὶ τότε φωτιζόμεναι αἱ ἀρεταὶ ὡς θείῳ*
*φωτὶ συγκοινωνήσασαι φῶς καὶ αὐταὶ καλοῦνται,*

---

133. Α' Τιμ. 6,16

129. Ὁ ἔπαινος καὶ ἡ ἀξία καὶ τὸ κλέος τῶν ἀρετῶν εἶναι αὐτές· χωρὶς νὰ εἰ-

κι ὅσους ἀνθρώπους μὲ θωροῦν φωτίζει καὶ διδάσκει
τὰ πλούτη νὰ περιφρονοῦν μαζὶ καὶ τὰ στολίδια
καὶ νὰ τοὺς φτάνει ροῦχο ἁπλὸ καὶ χοντροδουλεμένο,
ὁποὺ 'ναι καὶ τὸ ἀληθινὸ ροῦχο τῶν ἀποστόλων.
Ἔτσι κι ὅλες οἱ ὑπόλοιπες τῆς ἀρετῆς οἱ πράξεις,
εἶναι πράξεις μὲ δίχως φῶς, πράξεις μὲ δίχως λάμψη.
Γιατὶ ἂν ὅλες συναχτοῦν μαζὶ καθὼς προεῖπα
καὶ γίνουν ἕνα κι ἑνωθοῦν τῆς ἀρετῆς οἱ πράξεις,
ἂν εἶναι τοῦτο δυνατὸ σ' ἕνα ἄνθρωπο νὰ γίνει,
μὲ μιὰ λαμπάδα εἶναι ὅμοιος ὁποὺ τὸ φῶς τῆς λείπει.
Κι ὅπως ἀδύνατο νὰ πεῖς φωτιὰ τὰ κάρβουνα εἶναι
κι οὔτε καὶ πάλι κάρβουνα τὰ ξύλα κι οὔτε φλόγες,
ἔτσι οὔτε ἡ πίστη ὁλόκληρη, μήτε ἔργα, μήτε πράξεις,
κι ἡ ἐκπλήρωση τῶν ἐντολῶν εἶναι ἄξια νὰ τὰ λέμε
φλόγα, φωτιὰ ἢ θεῖο φῶς· στ' ἀλήθεια ἄξια δὲν εἶναι·
ἀλλὰ νὰ λέμε ὅτι μπορεῖ τὴ φλόγα νὰ δεχτοῦνε,
τὸ φῶς ν' ἀγγίξουν καὶ μὲ μιὰ κρυφὴ ἕνωση ν' ἀνάψουν.
Αὐτὸς εἶναι τῶν ἀρετῶν ὁ ἔπαινος κι ἡ δόξα.
Κι εἶναι γιὰ τοῦτο ποὺ ὅλη αὐτὴ κι ἡ ἄσκηση κι οἱ πράξεις
ὅλες ποὺ γίνονται ἀπὸ μᾶς, ὥστε ἀπ' τὸ φῶς τὸ θεῖο
ἕνας πυρσὸς ν' ἀνάψομε καὶ σὰν κερὶ ὅλες ἕνα
στὸ ἀπλησίαστο ἡ ψυχὴ τὸ φῶς νὰ τὶς προβάλει.
Ἢ μᾶλλον ὅπως πάπυρος μὲς στὸ κερὶ βουτιέται,
ἔτσι ἡ ψυχὴ τὶς ἀρετὲς ἀπορροφώντας ὅλες
θ' ἀνάψει ὁλόκληρη ἀπ' αὐτό, ὅσο νὰ δεῖ μπορέσει,
ὅσο μέσα στὸ σπίτι μας μπορέσει νὰ χωρέσει.
Καὶ οἱ ἀρετὲς ὁλόφωτες καθὼς ἀπὸ τὸ θεῖο
τὸ φῶς κι αὐτὲς μετάλαβαν κι ἐκεῖνες φῶς καλοῦνται

---

ναι οἱ ἴδιες φῶς εἶναι κατάλληλες νὰ δεχτοῦν τὸ θεῖο φῶς καὶ νὰ φλογιστοῦν ἢ ν' ἀνάψουν ἀπὸ αὐτό, ὥστε νὰ φωτίσουν κι αὐτὸν ποὺ δέχτηκε καὶ μεταδίδει τὸ φῶς τους κι αὐτὸν ποὺ τὸ δέχεται.

*μᾶλλον δ' εἰσὶ καὶ αὗται φῶς φωτὶ συγκεκραμέναι,*
*περιαυγάζουσί τε φῶς ψυχὴν αὐτὴν καὶ σῶμα*
*καὶ λάμπουσί γε ἀληθῶς πρῶτον τῷ κεκτημένῳ*
*καὶ τότε πᾶσι τοῖς λοιποῖς τοῖς ἐν σκότει τοῦ βίου·*
*οὓς φώτισον ἐν Πνεύματι, Χριστέ, τῷ παναγίῳ*
*καὶ κληρονόμους ποίησον οὐρανῶν βασιλείας*
*μετὰ πάντων ἁγίων σου, νῦν καὶ εἰς τοὺς αἰῶνας.*
*Ἀμήν.*

ἢ μᾶλλον εἶναι φῶς κι αὐτὲς μὲ τ' ἅγιο φῶς σμιγμένες,
καὶ περιλάμπουν τὴν ψυχὴ τὴν ἴδια καὶ τὸ σῶμα
καὶ φέγγουν πρῶτα ἀληθινὰ αὐτὸν ποὺ τὶς κατέχει
κι ἔπειτα κι ὅσους κάθονται στοῦ βίου τὰ σκοτάδια.
Ὅλους, Χριστέ μου, φώτισε μὲ τὸ πανάγιο Πνεῦμα,
κάνε μας κληρονόμους τῆς οὐράνιας βασιλείας
μὲ τοὺς ἁγίους ὅλους μαζὶ τώρα καὶ στοὺς αἰῶνες.
Ἀμήν.

---

143. Λουκᾶ 1,79.
145. Ἰακ. 2,5.

## ΛΔ΄

***Ὅτι ἡ τοῦ παναγίου Πνεύματος ἕνωσις πρὸς κεκαθαρμένας ψυχὰς ἐν αἰσθήσει τρανῇ ἤγουν ἐν ἐπιγνώσει γίνεται καί, ἐν αἷς ἂν γένηται, φωτοειδεῖς ὁμοίας ἑαυτοῦ καὶ φῶς αὐτὰς ἀπεργάζεται.***

*Διΐσταται τῶν ὁρατῶν ὁ ἀόρατος πάντως*
*καὶ τῶν κτισμάτων ὁ αὐτὰ πρῶτον κατασκευάσας*
*καὶ τῶν φθαρτῶν ὁ ἄφθαρτος, τὸ σκότος τοῦ φωτός τε,*
*καὶ μίξις τούτων γέγονεν, ὅτε Θεὸς κατῆλθε.*
*Τὰ διεστῶτα τότε γὰρ ἥνωσεν ὁ Σωτήρ μου,*
*ἀλλ᾽ οἱ τυφλοὶ τὴν ἕνωσιν οὐκ εἶδον, οἱ νεκροὶ δὲ*
*λέγουσι ταύτης αἴσθησιν μηδ᾽ ὅλως ἐσχηκέναι,*
*καὶ ζῆν καὶ βλέπειν οἴονται, ὢ μανίας ἐσχάτης,*
*καὶ ἀπιστοῦντες λέγουσιν· Οὐδεὶς τῇ πείρᾳ τοῦτο*
*ἔγνωκεν ἢ ἔπαθεν, οὐκ εἶδεν ἐν αἰσθήσει,*
*ἀλλ᾽ ἀκοῇ καὶ διδαχῇ λόγων γίνεται μόνων.–*
*᾽Αλλ᾽, ὦ Χριστέ μου, δίδαξον εἰπεῖν μέ τι πρὸς ταῦτα*
*καὶ τῆς ἀγνοίας τῆς πολλῆς καὶ ἀπιστίας τούτους*
*ἐκσπᾶσαι καὶ χαρίσασθαι ἰδεῖν σε, φῶς τοῦ κόσμου!*
*᾽Ακούσατε καὶ σύνετε, πατέρες, θείους λόγους*
*καὶ γνώσεσθε τὴν ἕνωσιν ἐν γνώσει γινομένην*
*καὶ ἐν αἰσθήσει ἐκ παντὸς καὶ πείρᾳ καὶ ὁράσει!*
*Θεός ἐστιν ἀόρατος, ὁρατοὶ δ᾽ ἡμεῖς πάντως·*
*εἰ οὖν αὐτὸς τοῖς ὁρατοῖς θελήματι ἑνοῦται,*
*ἕνωσις ἄρα γίνεται ἀμφοτέρων ἐν γνώσει.*

---

14. Ἰω. 8,12.

15. Ἡ ἕνωση μὲ τὸ Θεὸ εἶναι συνειδητὴ ἀλλιῶς, κατὰ τὸ συλλογισμὸ τ

**Ὅτι ἡ ἕνωση τοῦ παναγίου Πνεύματος μὲ καθαρμένες ψυχὲς γίνεται μὲ ἔντονη αἴσθηση, δηλαδὴ μὲ ἐπίγνωση, καὶ σ' ὅποιες συμβεῖ τὶς κάνει ὅμοιες μὲ τὸν ἑαυτό του, φωτοειδεῖς καὶ φῶς.**

Στέκει μακριὰ ὁ ἀόρατος ἀπὸ τὰ ὁρατὰ ὅλα
κι ἀπ' τὰ δημιουργήματα αὐτὸς ποὺ τά 'χει πλάσει
ἀπ' τὰ φθαρτὰ ὁ ἄφθαρτος κι ἀπὸ τὸ φῶς τὸ σκότος·
ἡ ἀνάμιξή τους ἔγινε σὰν ὁ Θεὸς κατέβη.
Ὅσα ἦταν τότε χωριστὰ τὰ ἕνωσε ὁ Σωτήρας,
ἀλλὰ δὲν εἶδαν οἱ τυφλοὶ τὴν ἕνωση καὶ λένε
οἱ νεκροὶ ὅτι καμιὰν αἴσθηση ὅτι γι' αὐτὴ δὲν ἔχουν·
καὶ ζοῦν καὶ βλέπουνε θαρροῦν, ὢ ἀξεπέραστη τρέλα,
καὶ λένε, ἄνθρωποι ἄπιστοι· Στὴν πείρα του κανένας
οὔτε ἔμαθε κι οὔτε ἔπαθε κι οὔτε ἡ αἴσθησή του τὸ εἶδε,
μὰ αὐτὸ μ' ἄκουσμα γίνεται καὶ διδαχὴ μονάχα.
Μά, ὢ Χριστέ μου, μάθε μου νὰ πῶ γιὰ τοῦτα κάτι
κι ἀπὸ τὴν ἄγνοια τὴν πολλὴ κι ἀπὸ τὴν ἀπιστία
νὰ τοὺς τραβήξω καὶ νὰ δοῦν ἐσὲ τὸ φῶς τοῦ κόσμου.
Ἀκοῦστε κι ἐννοήσετε, πατέρες, θείους λόγους,
καὶ μάθετε ὅτι ἡ ἕνωση γίνεται στὸν κάθενα
μὲ γνώση του καὶ μ' αἴσθηση, τὴν νιώθει καὶ τὴ βλέπει.
Εἶναι ὁ Θεὸς ἀόρατος ὁρατοὶ ἐμεῖς ὡστόσο.
Ἐὰν λοιπὸν ἑνώνεται μὲ τὰ ὁρατὰ ἑκούσια,
συνειδητὴ ἄρα γίνεται ἕνωση καὶ τῶν δύο.

---

ποιητή, ἡ ἕνωση θὰ εἶναι μεταξὺ νεκρῶν. Τὴ σκέψη του τὴν ἀποδεικνύει μὲ τρία παραδείγματα (ἀόρατος–ὁρατό, κτίστης–κτίσμα, ἄφθαρτος–φθαρτό).

*Εἰ δὲ ἀγνώστως εἴποιας τοῦτο καὶ ἀναισθήτως,*
*πάντως νεκρῶν ἡ ἕνωσις καὶ οὐ ζωῆς πρὸς ζῶντας.*
*Κτισμάτων κτίστης ὁ Θεός, κτιστοὶ δι' ἡμεῖς ὡσαύτω*
*εἰ οὖν τῷ κτίσματι Θεὸς ὁ κτίσας συγκατέλθῃ*
*καὶ ἑνωθῇ καὶ γένηται ὡς ὁ κτίστης τὸ κτίσμα,*
*αἴσθησιν ὄντως λάβοιεν ἀληθοῦς θεωρίας,*
*ὅτι τῷ κτίστῃ τὸ κτιστὸν ἀπορρήτως ἡνώθη.*
*Εἰ δὲ μὴ τοῦτο δώσομεν, ἀπόλωλεν ἡ πίστις*
*καὶ ἡ ἐλπὶς ἠφάνισται τῶν μελλόντων εἰς ἅπαν,*
*ἀνάστασις οὐκ ἔσεται οὐδ' ἡ καθόλου κρίσις.*
*Ἐπειδὴ καὶ τὰ κτίσματα, ὡς λέγεις, ἀναισθήτως*
*τῷ ποιητῇ ἑνούμεθα μηδὲν γνωστῶς νοοῦντες,*
*καὶ κινδυνεύει γε Θεὸς κατὰ σέ, ὡς οὐκ ἔστι*
*ζωὴ οὐδὲ ζωὴν ἡμῖν ἑνούμενος παρέχει.*
*Πάλιν ὁ κτίστης ἄφθαρτος, τὰ κτίσματα φθαρτὰ δέ·*
*καὶ γὰρ οἱ ἁμαρτήσαντες οὐχὶ τὸ σῶμα μόνον,*
*ἀλλὰ καὶ τὰς ψυχὰς αὐτὰς εἰς φθορὰν παρεισῆξαν,*
*καὶ σώματι καὶ ψυχῇ κατὰ τὸν λόγον τοῦτον*
*φθαρτοί ἐσμεν, ὡς τῇ φθορᾷ τοῦ νοητοῦ θανάτου*
*κρατηθέντες ὁμοῦ πάντες καὶ τῇ τῆς ἁμαρτίας.*
*Εἰ οὖν ὁ φύσει ἄφθαρτος ἑνωθῇ τῷ φθαρτῷ μοι,*
*ὄντως ἓν τούτων ἔσεται, ὧνπερ λέγειν σοι μέλλω·*
*ἢ γὰρ ἐμὲ μεταβαλεῖ καὶ ἄφθαρτον ποιήσει*
*ἢ πρὸς φθορὰν μεταβληθῇ ὁ ἄφθαρτος· καὶ οὕτως*
*ἴσως ἐγὼ οὐ γνώσομαι ἐκείνου πεπονθότος*
*καὶ γεγονότος ὡς ἐγώ· ἐγὼ δ' εἰ γένωμαί γε*
*ἄφθαρτος ὅλος ἐκ φθαρτοῦ κολληθεὶς τῷ ἀφθάρτῳ,*
*πῶς ἂν οὐκ αἰσθανθήσομαι, πῶς ἂν αὐτῇ τῇ πείρᾳ*
*οὐκ ἴδω οὐδὲ γνώσομαι γεγονώς, ὃ οὐκ ἤμην;*
*Τὸ γὰρ εἰπεῖν ὅτι Θεὸς ἑνούμενος ἀνθρώποις*
*οὐ μεταδίδωσιν αὐτοῖς τῆς θείας ἀφθαρσίας,*
*ἀλλὰ ἐκείνων τῇ φθορᾷ συγκατασπᾶται μᾶλλον,*

---

22. Ἰω. 14,6. 28. Α' Κορ. 15,14.

Κι ἂν πεῖς πὼς ἀσυναίσθητα καὶ δίχως γνώση τοῦτο
γίνεται, εἶν' ἕνωση νεκρῶν κι ὄχι ζωῆς μὲ ζῶντες.
Εἶναι ὁ Θεὸς δημιουργὸς κι ἐμεῖς δημιουργημένοι.
Ἂν ὁ Θεὸς συγκατεβεῖ, ὁ δημιουργὸς στὸ κτίσμα,
κι ἂν ἑνωθοῦν κι ὅμοιο γινεῖ τὸ κτίσμα μὲ τὸν κτίστη,
τότε θὰ λάβουν αἴσθηση ἀληθινῆς θεωρίας
πὼς τὸ κτιστὸν ἀπόρρητα ἑνώθη μὲ τὸν κτίστη.
Ἂν ὅμως τ' ἀρνηθοῦμε αὐτὸ ἐχάθηκεν ἡ πίστη,
ἡ ἐλπίδα ἐξαφανίστηκε τοῦ μέλλοντος αἰώνα,
ἡ ἀνάσταση δὲ γίνεται καὶ ἡ τελευταία κρίση.
Ἀφοῦ κι ἐμεῖς τὰ κτίσματα ἀσυναίσθητα, ὅπως θέλεις,
μὲ τὸν ποιητὴ ἑνωνόμαστε χωρὶς νὰ τὸ ἐννοοῦμε.
Καὶ νὰ μὴν εἶναι σύμφωνα μ' ἐσὲ ὁ Θεὸς κοντεύει,
ζωὴ κι ἂν ἑνωθεῖ μ' ἐμᾶς μήτε ζωὴ νὰ δίνει. [του.
Κι ἄλλο· εἶναι ὁ κτίστης ἄφθαρτος, φθαρτὰ τὰ κτίσματά
Γιατὶ ὅσοι ἁμαρτήσανε ὄχι τὸ σῶμα μόνο,
μὰ στὴ φθορὰ ὁδήγησαν μαζὶ καὶ τὶς ψυχές τους.
Κι ὅπως ὁ λόγος λέει αὐτὸς καὶ μὲ ψυχὴ καὶ σῶμα
φθαρτοί 'μαστε, ἀφοῦ στὴ φθορὰ τοῦ νοητοῦ θανάτου
ὅλοι μαζὶ πιαστήκαμε μὰ καὶ τῆς ἁμαρτίας.
Κι ἂν σμίξει ὁ φύσει ἄφθαρτος μὲ τὸν φθαρτὸν ἐμένα
ἕνα ἀπὸ τοῦτα θὰ συμβεῖ ποὺ νὰ σοῦ πῶ σκοπεύω·
ἢ ἐμὲ θ' ἀλλάξει δηλαδὴ κι ἄφθαρτο θὰ μὲ κάνει,
ἢ σὲ φθαρτὸν ὁ ἄφθαρτος μεταβολὴ θὰ πάρει·
κι ἔτσι ἴσως δὲ θ' ἀντιληφθῶ πὼς ἔχει ἀλλάξει ἐκεῖνος
κι ἴδιος μ' ἐμένα ἔγινε· ὅμως ἐγὼ ἂν ἀλλάξω
κι ἄφθαρτος γίνω ἀπὸ φθαρτὸς στὸν ἄφθαρτο δεμένος,
πῶς καὶ νὰ μὴν τὸ αἰσθανθῶ καὶ μ' αὐτή μου τὴν πεῖρα
νὰ μὴ γνωρίσω καὶ νὰ δῶ πὼς ἔγινε κάτι ἄλλο;
Ἂν πεῖ κανεὶς ὅτι ἂν ἑνωθεῖ ὁ Θεὸς μὲ τοὺς ἀνθρώπους
δὲ μεταδίνει καὶ σ' αὐτοὺς τὴ θεία του ἀφθαρσία,
μὰ στὴ φθορὰ ὑποτάσσεται ἐκεῖνος τὴ δική τους,

34. Ἰω. 14,6 καὶ 17,2. 47. Α΄ Κορ. 6,18.

*τοῦ ἀνωλέθρου ὄλεθρον ὁ λέγων δογματίζει*
*καὶ βλασφημεῖ καὶ τῆς ζωῆς αὐτὸς ὅλως ἐκπίπτει.*
*Εἰ δὲ τοῦτο ἀδύνατον, δέξαι μᾶλλον τὸ ἄλλο*
*καὶ ἀφθαρσίας μετασχεῖν σπούδασον πρὸ τοῦ τέλους!*
*Τὸ φῶς ὑπάρχει ὁ Θεός, οἱ ἐν σκότει ἡμεῖς δέ,*
*ἢ ἀληθέστερον εἰπεῖν, ἡμεῖς αὐτοὶ τὸ σκότος·*
*οὐδὲ γὰρ λάμψει ἀλλαχοῦ ὁ Θεός, μὴ πλανᾶσθε,*
*εἰ μὴ ἐν μόναις ταῖς ψυχαῖς, αἷς ἑνωθῇ πρὸ τέλους·*
*τοῖς δ' ἄλλοις, εἰ καὶ λάμψειεν οἱ κήρυκες, ὡς εἶπον,*
*ὡς πῦρ αὐτοῖς φανήσεται ἀπρόσιτον εἰς ἅπαν,*
*τὸ ἔργον δοκιμάσει τε, ὁποῖον τὸ ἑκάστου,*
*καὶ πάλιν χωρισθήσεται τούτων ὡς ἀναξίων,*
*ἐκεῖνοι δ' ἀπολήψονται κόλασιν ἐπαξίαν.*
*Ὅμως ἐνταῦθα καὶ ἐκεῖ φῶς ψυχῶν αὐτὸς μόνος,*
*ἡμεῖς δὲ σκότος τὰς ψυχὰς ἔχοντες ἀφωτίστους·*
*εἰ οὖν τὸ φῶς τὸ τῶν ψυχῶν ἑνωθῇ τῇ ψυχῇ μου,*
*ἐκεῖνο συσβεσθήσεται καὶ γενήσεται σκότος*
*ἢ ἡ ψυχή μου ὡς τὸ φῶς ἔσεται φωτισθεῖσα.*
*Τὸ φῶς γάρ, ὅταν ἀναφθῇ, φεύγει εὐθὺς τὸ σκότος,*
*καίτοι ἐστὶ τοῦ αἰσθητοῦ φωτὸς ἐκεῖνο ἔργον.*
*Εἰ δὲ τὸ φῶς τὸ παραχθὲν ἐνεργεῖ σοι τοιαῦτα*
*καὶ ὀφθαλμοὺς φωτίζειν σου καὶ ψυχὴν κατευφραίνει*
*καί, ἃ τὸ πρὶν οὐκ ἔβλεπες, χαρίζεται ὁρᾶν σοι,*
*τί οὐ ποιήσει ἐν ψυχῇ λάμψας ὁ τούτου κτίστης,*
*ὁ «Γενηθήτω φῶς» εἰπὼν καὶ εὐθὺς παρεισήχθη;*
*Τί δοκεῖ οὖν σοι, εἰ λάμψει νοερῶς ἐν καρδίᾳ*
*ἢ ἐν νοΐ ὡς ἀστραπὴ ἢ ὡς ἥλιος μέγας,*
*ἐμποιῆσαι δυνήσεται ψυχῇ τῇ ἐλλαμφθείσῃ;*
*Οὐχὶ φωτίσει ταύτην γε καὶ γνωρίσαι παρέξει*
*ἐν ἐπιγνώσει ἀκριβεῖ αὐτόν, ὅστις ὑπάρχει;*

---

54. Γαλ. 5,4. 57. Α' Ἰω. 1,5 καὶ Λουκᾶ 1,79.
58. Ἐφ. 5,8. 63. Α' Κορ. 3,13.
74. Ψαλμ. 12,4 καὶ Παρμ. 15,30.
77. Γεν. 1,3.

ὅποιος τὸ πεῖ τὸν ὄλεθρο τοῦ ἀνώλεθρου διδάσκει
καὶ βλαστημᾶ καὶ τὴ ζωὴν ὁ ἴδιος τέλεια χάνει.
Κι ἂν εἶναι τοῦτο ἀδύνατο τότε τὸ ἄλλο δέξου
καὶ βιάσου πρὶν τὸ τέλος σου τὴν ἀφθαρσία νὰ λάβεις.
Τὸ ἴδιο τὸ φῶς εἶναι ὁ Θεὸς κι ἐμεῖς μὲς στὸ σκοτάδι
καὶ γιὰ νὰ ποῦμε πιὸ σωστά, εἴμαστε ἐμεῖς τὸ σκότος.
Οὔτε θὰ λάμψει κάπου ἀλλοῦ ὁ Θεός, μὴν ξεγελιέστε,
παρὰ σ' ἐκείνους μοναχὰ ποὺ θἄμπει πρὶν τὸ τέλος.
Στοὺς ἄλλους, κι ἂν ἀστράψει ὁ Θεός, ὅπως εἶπαν,
σὰ φλόγα θὰ φανεῖ σ' αὐτοὺς ὁλότελα ἀπλησίαστη,
θὰ δοκιμάσει τὸ ἔργο τους τοῦ καθενὸς ποιό εἶναι
καὶ πάλι θ' ἀπομακρυνθεῖ ἀπὸ τούτους σὰν ἀνάξιους
καὶ κόλαση ἀντάξια τους ἐκεῖνοι θ' ἀπολαύσουν.
Μὰ ἐδῶ κι ἐκεῖ φῶς τῶν ψυχῶν αὐτὸς εἶναι μονάχα
κι ἐμεῖς σκοτάδι ἂν τὶς ψυχὲς ἀφώτιστες κρατοῦμε.
Ἂν τῶν ψυχῶν λοιπὸν τὸ φῶς εἰσέλθει στὴν ψυχή μου
ἐκεῖνο θὰ καταπνιγεῖ καὶ θὰ γινεῖ σκοτάδι
ἢ σὰν τὸ φῶς θὰ φωτιστεῖ καὶ θὰ γινεῖ ἡ ψυχή μου.
Γιατί, ἂν ἀνάψει κάπου φῶς, εὐθὺς διώχνει τὸ σκότος,
παρόλο ποὺ ἐδῶ ἐνεργεῖ φῶς αἰσθητὸ μονάχα.
Ἀλλὰ ἂν τὸ φῶς ποὺ ἀνάψαμε σοῦ δίνει τέτοια λάμψη
τὰ μάτια καταλάμπει σου καὶ τὴν ψυχή σου εὐφραίνει
κι ὅσα δὲν ἔβλεπες πιὸ πρίν, σοῦ τὰ χαρίζει τώρα,
τί δὲ θὰ κάνει ἂν στὴ ψυχὴ λάμψει ὁ δημιουργός του,
ὁποὺ εἶπε «νὰ γινεῖ τὸ φῶς» κι εὐθὺς ἦρθε στὸν κόσμο;
Τί θὰ μπορέσει στὴν ψυχὴ νὰ κάνει ποὺ ἐφωτίστη
νομίζεις, ἂν πνευματικὰ μὲς στὴν καρδιά σου λάμψει,
μέσα στὸ νοῦ σὰν ἀστραπὴ καὶ σὰν πελώριος ἥλιος;
Θὰ τὴ φωτίσει σίγουρα κι ἐκεῖνον ὁποὺ ὑπάρχει
μὲ ἀκριβὴ ἐπίγνωση θὰ κάνει νὰ γνωρίσει.

81. Ἀπορεῖ ὁ ποιητής· ἂν λάμψει μέσα στὴν ψυχὴ ὁ Θεὸς εἶναι δυνατὸ νὰ μὴν τὴν φωτίσει καὶ νὰ μὴν τὴν κάνει νὰ τὸν συνειδητοποιήσει.

*Ναί, ὄντως οὕτω γίνεται, οὕτως ἐπιτελεῖται,*
*οὕτως ἀποκαλύπτεται τοῦ Πνεύματος ἡ χάρις*
*καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ ὁ Υἱὸς σὺν Πατρί τε·*
*καὶ τούτους βλέπει, ὡς ἐστι δυνατὸν κατιδέσθαι,*
*καὶ τότε τὰ περὶ αὐτῶν ἐξ αὐτῶν ἀπορρήτως*
*διδάσκεται καὶ φθέγγεται καὶ πᾶσιν ἄλλοις γράφει*
*καὶ δόγματα θεοπρεπῆ ἐκτίθεται, ὡς πάντες*
*οἱ προλαβόντες ἅγιοι διδάσκουσι πατέρες·*
*οὕτω γὰρ ἐδογμάτισαν τὸ σύμβολον τὸ θεῖον,*
*τοιοῦτοί τε γενόμενοι, ὡς εἴποιμεν, κἀκεῖνοι*
*μετὰ Θεοῦ τὰ τοῦ Θεοῦ ἐφθέγξαντο καὶ εἶπον.*
*Τίς γὰρ ἐθεολόγησε τριαδικὴν μονάδα*
*ἢ τίς αἱρέσεις ἔτρεψε μὴ γεγονὼς τοιοῦτος*
*ἢ τίς ἐκλήθη ἅγιος μὴ μετασχὼν ἁγίου*
*Πνεύματος; Οὐδεὶς πώποτε. Ὡς καὶ τὸ φῶς αἰσθήσει*
*τὸ νοητὸν προσγίνεσθαι πέφυκεν, οἷς προσέσται.*
*Οἱ δ' ἀναισθήτως λέγοντες τούτου μεταλαμβάνειν,*
*αὐτοὶ τῷ ὄντι ἑαυτοὺς καλοῦσιν ἀναισθήτους,*
*ἡμεῖς δὲ καὶ νεκροὺς ὄντας ζωῆς ἐστερημένους,*
*εἰ καὶ δοκοῦσιν ἔτι ζῆν, ὢ πλάνης, ὢ μανίας!*
*Ἀλλ', ὦ φῶς, λάμψον εἰς αὐτούς, λάμψον, ὅπως ἰδόντες*
*πεισθῶσιν ὄντως ὅτι φῶς σὺ ἀληθὲς ὑπάρχεις,*
*καὶ οἷς ἑνοῦσαι ὥσπερ φῶς, ὁμοίους σοι ἐργάζῃ!–*
*Λάμπω καθὼς καὶ πάντοτε τῶν τυφλῶν πρὸ προσώπου,*
*ἀλλὰ ἰδεῖν οὐ βούλονται, καμμύουσι δὲ μᾶλλον*
*καὶ ἀναβλέψαι πρὸς ἐμὲ οὐ θέλουσιν, ὦ τέκνον!*
*Πρὸς δὲ καὶ ἀποστρέφονται τὰς ὄψεις ἀλλαχόθεν,*
*κἀγὼ συμπεριστρέφομαι, τούτων ἔμπροσθεν στήκω,*
*κἀκεῖνοι πάλιν ἀλλαχοῦ ἐκπέμπουσι τὸ ὄμμα*
*καὶ ὅλως τοῦ προσώπου μου τὸ φῶς οὐ καθορῶσι.*
*Τούτων οἱ μὲν καλύπτονται κολύμμασι τὰς ὄψεις,*

---

104. Ἰω. 1,9
105. Α' Ἰω. 3,2.
107. Πράξ. 28,27 (Ἡσ. 6,9).

Ναί, ἀλήθεια ἔτσι γίνεται κι ἔτσι πραγματοποιεῖται
καὶ ἔτσι ἀποκαλύπτεται τοῦ Πνεύματος ἡ χάρη
καὶ μὲ τὸ Πνεῦμα καὶ σ' αὐτὸ κι ὁ Υἱὸς μὲ τὸν Πατέρα.
Ὅποιος μπορεῖ νὰ τοὺς ἰδεῖ βλέπει τοὺς τρεῖς ἀντάμα
καὶ τὰ δικά τους ἀπ' αὐτοὺς τότε μὲ δίχως λόγια
μαθαίνει καὶ τὰ διαλαλεῖ, τὰ γράφει καὶ στοὺς ἄλλους
καὶ δόγματα θεοτικὰ ἐκφράζει ὅπως ὅλοι
οἱ ἅγιοι πρὶν ἀπὸ μᾶς διδάσκουνε πατέρες.
Ἔτσι εἶναι ποὺ δογμάτισαν τὸ σύμβολο τῆς πίστης
κι ἀφοῦ τέτοιοι ἀναδείχτηκαν κι ἐκεῖνοι, ὅπως εἶπα,
μὲ τοῦ Θεοῦ τὴ δύναμη περὶ Θεοῦ μιλῆσαν.
Ποιός θεολογώντας μίλησε γιὰ τριαδικὴ μονάδα
ἢ τὶς αἱρέσεις διάλυσε χωρὶς σ' αὐτὲς νὰ πέσει
ἢ ἅγιος ποιός ὀνομάστηκε χωρὶς νὰ λάβει τ' ἅγιο
Πνεῦμα; Κανείς, καμιὰ φορά. Καὶ τὸ νοητὸ φῶς ἔτσι
ἀπὸ φύση του αἰσθητὰ πηγαίνει σ' ὅποιους πάει.
Κι ὅσοι λένε ἀσυναίσθητα πὼς ἀπ' αὐτὸ μετέχουν
τὸν ἑαυτό τους πράγματι ἀναίσθητο καλοῦνε,
κι ἐμεῖς τοὺς λέμε καὶ νεκροὺς ὁποὺ ἡ ζωὴ τοὺς λείπει,
ἂν καὶ θαρροῦν ποὺ ἀκόμα ζοῦν, ὢ πλάνη κι ὢ μανία!
Ἀλλά, ὢ φῶς, λάμψε σ' αὐτούς, λάμψε, γιὰ νὰ σὲ δοῦν,
γιὰ νὰ πειστοῦν βαθιὰ τὸ φῶς τ' ἀληθινὸ πὼς εἶσαι
καὶ μ' ὅποιους ἑνωθεῖς σὰν φῶς ὅμοιους μ' ἐσὲ τοὺς κάνεις.
Ὅπως καὶ πάντα στῶν τυφλῶν μπροστὰ τὰ μάτια λάμπω
ἀλλὰ δὲν θέλουνε νὰ δοῦν καὶ πιὸ πολὺ τὰ κλείνουν
κι οὔτε, παιδί μου, ἐπιθυμοῦν σ' ἐμένα νὰ κοιτάξουν.
Κι αὐτὸ σὰ νὰ μὴν ἔφτανε, στρέφουν ἀλλοῦ τὰ μάτια,
στρέφω κι ἐγὼ μαζὶ μ' αὐτοὺς καὶ στέκομαι μπροστά τους
καὶ πάλι στρέφουνε κι αὐτοὶ σ' ἄλλη μεριὰ τὸ βλέμμα
καὶ τοῦ προσώπου μου τὸ φῶς δὲ βλέπουνε καθόλου.
Ἄλλοι ἀπ' αὐτοὺς σκεπάσματα βάζουν ἐμπρὸς στὰ μάτια

107. Ἂν δὲν βλέπουν τὸ Θεὸ εἶναι γιατὶ δὲ θέλουν.

*οἱ δὲ καὶ ἔξω φεύγουσι μισήσαντές με πάντως.*
*Τί οὖν τούτους ποιήσαιμι, ἐξαπορῶ εἰς ἅπαν·*
*τὸ ἀβουλήτως γὰρ αὐτοὺς καὶ βίᾳ τάχα σῶσαι,*
*καὶ τοῦτο θλῖψις δόξειε, μὴ θέλοντας σωθῆναι.*
*Τὸ γὰρ καλὸν θελήματι ἔσται καλὸν τῷ ὄντι,*
*τὸ δ' ἀβουλήτως ἀγαθὸν οὐκ ἀγαθὸν ὑπάρξει,*
*καὶ διὰ τοῦτο θέλοντας καὶ ὁρῶ καὶ ὁρῶμαι*
*καὶ βασιλείας τῆς ἐμῆς ποιῶ συγκληρονόμους,*
*τοὺς δὲ μὴ θέλοντας ἐῶ θέλοντας ἐν τῷ κόσμῳ*
*καὶ γίνονται κριταὶ αὐτοὶ ἑαυτῶν πρὸ τῆς δίκης,*
*ὅτι ἐμοῦ ἐκλάμποντος φωτὸς τοῦ ἀπροσίτου*
*αὐτοὶ τὸ σκότος ἑαυτοῖς προεξένησαν μόνοι,*
*φῶς ἰδεῖν μὴ θελήσαντες καὶ μείναντες ἐν σκότει.*

---

123. Τίτ. 3,11.
125. Ἰω. 3,19.
126. Ἰω.12,46.

καὶ ἄλλοι φεύγουνε μακριὰ ἀπὸ μίσος πρὸς ἐμένα.
Τί νὰ τοὺς κάνω ἀπορῶ ὁλότελα ὅλους τούτους·
τάχα χωρὶς νὰ θέλουνε μὲ βία νὰ τοὺς σώσω
εἶναι καὶ τοῦτο θλιβερὸ τὸ νὰ σωθοῦν ἀκούσια.
Κι ὅποιο καλὸ ἐπιθυμεῖς εἶναι καλὸ στ' ἀλήθεια,
ἐνῶ ὅποιο ἀγαθὸ δὲ θὲς οὔτε ἀγαθὸ θὲ νά 'ναι.
Γι' αὐτὸ κι ἐγὼ ὅσους θέλουνε τοὺς βλέπω καὶ μὲ βλέπουν
καὶ μὲς στὴ βασιλεία μου τοὺς παίρνω κληρονόμους
κι ἀφήνω ὅσους δὲ θέλουνε θέλοντας μὲς στὸν κόσμο
καὶ πρὶν τὴ δίκη γίνονται κριτὲς τοῦ ἑαυτοῦ τους,
γιατὶ ἐνῶ ἀκτινοβολοῦσα ἐγώ, τὸ φῶς τὸ ἀπλησίαστο,
αὐτοὶ τὸ σκότος μάζεψαν μόνοι γιὰ τὸν ἑαυτό τους,
μὴ θέλοντας νὰ δοῦν τὸ φῶς καὶ μένοντας στὸ σκότος.

## *ΛΕ'*

### *Ὅτι πάντες οἱ ἅγιοι ἐλλαμπόμενοι αὐγάζονται καὶ τὴν δόξαν τοῦ Θεοῦ καθορῶσιν, ὡς θεμιτὸν ἀνθρωπίνῃ φύσει Θεὸν ὁρᾶν.*

*Βλέψον ἄνωθεν, Θεέ μου,*
*καὶ εὐδόκησον φανῆναι*
*καὶ πτωχῷ προσομιλῆσαι!*
*᾿Αποκάλυψον τὸ φῶς σου*
*διανοίξας οὐρανούς μοι,*
*ἄνοιξον τὸν νοῦν μου μᾶλλον,*
*εἴσελθε καὶ νῦν ἐντός μου!*
*Λάλησον, καθάπερ πάλαι,*
*διὰ ρυπαρᾶς μου γλώσσης,*
*περὶ ὧν τινες λαλοῦσιν,*
*ὅτι νῦν οὐδεὶς ὑπάρχει,*
*ὃς Θεὸν γνωστῶς κατεῖδεν,*
*οὐδὲ γέγονε πρὸ τούτου*
*παρεκτὸς τῶν ἀποστόλων.*
*᾿Αλλ᾿ οὐδὲ αὐτοὺς ἐκείνους*
*λέγουσι τρανῶς ἰδέσθαι*
*τὸν Θεόν σου καὶ Πατέρα,*
*ἀλλὰ ἄγνωστον τοῖς πᾶσιν,*
*ἀθεώρητον ὡσαύτως*
*δογματίζουσιν ὑπάρχειν,*
*προβαλλόμενοι τὸ ρῆμα*
*τοῦ ὑπερηγαπημένου*

---

5. Πράξ. 7,56. 6. Λουκᾶ 17,21.
14. Α' Ἰω. 1,1–3. 17. Ἰω. 14,9.

## 35

**Ὅλοι οἱ ἅγιοι δεχόμενοι μέσα τους τὴν ἔλλαμψη καταυγάζονται καὶ ἀντικρίζουν τὴ δόξα τοῦ Θεοῦ, ὅσο εἶναι ἐπιτρεπτὸ στὴν ἀνθρώπινη φύση νὰ βλέπει τὸ Θεό.**

Θεέ μου, κοίταξ' ἀπ' τὰ οὐράνια,
δέξου νὰ φανεῖς σ' ἐμένα,
μὲ φτωχὸ ἕνα νὰ συντύχεις.
Ἄνοιξε τοὺς οὐρανούς σου
κι ἀποκάλυψε τὸ φῶς σου·
ἄνοιξε τὸ νοῦ μου κάλλιο,
ἔλα μέσα μου καὶ τώρα.
Μίλησε, καθὼς καὶ πρῶτα,
μὲ τὴ ρυπαρή μου γλώσσα
γιὰ ὅσα κάποιοι βεβαιώνουν,
πὼς κανεὶς δὲν εἶναι τώρα
ποὺ τὸ Θεὸ εἶδε καὶ τὸ ξέρει·
μὰ καὶ πρὶν δὲν ἔχει γίνει
ἔξω ἀπὸ τοὺς ἀποστόλους.
Μὰ κι οἱ ἀπόστολοι ἀκόμα,
λέν, δὲν εἶδαν καθαρὰ
τὸ Θεό σου καὶ Πατέρα,
ἀλλὰ ἄγνωστος σὲ ὅλους
μὰ κι ἀνίδωτος ἐπίσης
δογματίζουν πὼς ὑπάρχει
καὶ προβάλλουνε τὸ λόγο
τοῦ πολυαγαπημένου

---

11. Ὁ ὕμνος τουλάχιστο ξεκινᾶ ἀπὸ τὸ ἴδιο σημεῖο μὲ τὸν προηγούμενο μὲ τὴν προσθήκη ἑνὸς 'νῦν'.

*μαθητοῦ σου Ἰωάννου*
*λέγοντος· «Θεὸν οὐδέπω*
*ἑωράκει τις ἀνθρώπων».*
*Ναί, Χριστέ μου, λέξον τάχος,*
*ἵνα μὴ τοῖς ἀσυνέτοις*
*ἔγωγε δόξω ληρεῖν! –*
*Γράφε, εἶπεν, ἅπερ λέγω,*
*γράφε καὶ μὴ κατοκνήσῃς!*
*Ἦ Θεὸς ἐγὼ πρὸ πάντων*
*ἡμερῶν, ὡρῶν καὶ χρόνων*
*ἀλλὰ καὶ αἰώνων πάντων*
*καὶ τῶν ὁρωμένων πάντων*
*νοουμένων τε κτισμάτων.*
*Ἤμην ὑπὲρ νοῦν καὶ λόγον,*
*ὑπὲρ ἔννοιάν τε πᾶσαν*
*μόνος μετὰ μόνου μόνος,*
*καὶ οὐδὲν τῶν ὁρωμένων,*
*ἀλλ᾽ οὐδὲ τῶν ἀοράτων*
*ἦν πρὸ τοῦ γενέσθαι ὄντως.*
*Μόνος ἄκτιστος ἐγὼ*
*σὺν Πατρὶ καὶ Πνεύματί μου*
*μόνος ἄναρχος ὑπάρχω*
*ἐξ ἀνάρχου τοῦ Πατρός μου·*
*ἀγγέλων δὲ οὐδεὶς οὐδέπω,*
*ἀλλ᾽ οὐδὲ τῶν ἀρχαγγέλων,*
*οὐ τῶν ἄλλων τε ταγμάτων*
*εἶδέ μου ποτὲ τὴν φύσιν*
*οὐδ᾽ αὐτὸν ἐμὲ τὸν κτίστην*
*ὅλον, οἱόσπερ τυγχάνω.*
*Μόνην δὲ ἀκτῖνα δόξης*
*καὶ ἀπόρροιαν φωτός μου*
*καθορῶσι καὶ θεοῦνται.*

---

24. Ἰω. 1,18.
31. Κολ. 1,17.
33. Ψαλμ. 54,20.
39. Κολ. 1,16.

μαθητῆ σου τοῦ Ἰωάννη
ποὺ λέει· «τὸ Θεὸν ὣς τώρα
ἄνθρωπος κανεὶς δὲν εἶδε».
Ναί, Χριστέ μου, πὲς μου εὐθύς,
γιὰ νὰ μὴ θαρροῦν οἱ ἀνόητοι
πὼς παραμιλῶ καὶ παίω.
Γράφε μοῦ 'πε ὅ,τι σοῦ λέγω,
γράφε καὶ μὴν ἀμελήσεις.
Εἶμαι Θεὸς ναί, πρὶν ἀπὸ ὅλα,
ἀπὸ μέρες, ὧρες, χρόνια
μὰ κι ἀπ' ὅλους τοὺς αἰῶνες
κι ἀπ' τὰ κτίσματα ὅλα κι ὅλα,
ὅσα βλέπομε καὶ νοοῦμε.
Ἤμουν ἀπὸ νοῦ καὶ λόγο ἐπάνω,
πάνω κι ἀπὸ κάθε ἔννοια,
μόνος μὲ τὸ μόνο μόνος
κι ἀπ' ὅσα θωρροῦμε οὔτ' ἕνα,
ἀλλὰ κι ἀπ' τὰ ἀόρατα οὔτε
ἦταν πρὶν γινεῖ στ' ἀλήθεια.
Μόνος ἄκτιστος ἐγὼ εἶμαι
ὁ Πατέρας καὶ τὸ Πνεῦμα
καὶ χωρὶς ἀρχὴ ἐγὼ μόνος,
ὅπως εἶναι κι ὁ Πατέρας.
Ἄγγελος κανεὶς ἀκόμα
μὰ κι ἀρχάγγελος κανένας
οὔτε ἀπ' τ' ἄλλα τάγματα ἕνας
δὲν μοῦ ἀντίκρισε τὴ φύση
οὔτε καὶ τὸν ἴδιο ἐμένα
πῶς ὁ κτίστης ὅλος εἶμαι.
Ἀλλὰ μόνο ἀκτίνα δόξας
κι ἀπολάμπισμα ἀπ' τὸ φῶς μου
βλέπουν, ποὺ θεοὺς τοὺς κάνει.

31. Ἀπὸ τὸ στίχο αὐτὸν ὁ ἴδιος ὁ Χριστὸς μιλῶντας ὣς τὸ τέλος ἀνασκευάζει τὴ γνώμη ὅτι 'οὐδεὶς τὸν Θεὸν γνωστῶς κατοῖδε'.

*Ὡς γὰρ ἔσοπτρον ἡλίου*
*τὰς ἀκτῖνας δεδεγμένον*
*ἢ κρυστάλλινος ὡς λίθος*
*ἐλλαμφθεὶς ἐν μεσημβρίᾳ,*
*οὕτω δέχονται ἀκτῖνας*
*τῆς θεότητός μου πάντες.*
*Ὅλον δέ με κατιδέσθαι*
*οὔπω τις κατηξιώθη,*
*οὐκ ἀγγέλων, οὐκ ἀνθρώπων,*
*οὐ δυνάμεων ἁγίων.*
*Ἔξω γάρ εἰμι τῶν πάντων*
*καὶ ἀόρατος τοῖς πᾶσιν,*
*οὐ φθονῶν δὲ τούτοις πάντως,*
*ὅπως μή με καθορῶσιν,*
*οὐδ᾽ ὡς ἀκαλλὴς ὑπάρχων*
*κρύπτομαι τοῦ μὴ φανῆναι,*
*ἀλλὰ ἄξιος οὐδείς μου*
*τῆς θεότητος εὑρέθη,*
*οὐδὲ γέγονε τοῦ κτίστου*
*ἰσοδύναμον τὸ κτίσμα.*
*Τοῦτο γὰρ οὐδὲ συμφέρει·*
*μικρὰν δ᾽ ὁρῶντες ἀπαυγὴν*
*ὄντως εἶναί με μυοῦνται*
*καὶ γινώσκουσι Θεόν με*
*τὸν αὐτοὺς παραγαγόντα,*
*καὶ ἐκπλήξει με καὶ φόβῳ*
*ἀνυμνοῦντες λειτουργοῦσιν.*
*Οὐκ ἐνδέχεται Θεὸν γὰρ*
*ἄλλον φύσει παραχθῆναι*
*ἰσοδύναμον τοῦ κτίστου*
*οὐδ᾽ ὁμοφυῆ ἐκείνου,*
*οὐδὲ δυνατὸν γὰρ ὅλως*
*ὁμοούσιον τοῦ κτίστου*
*τὸ κτιζόμενον γενέσθαι.*

---

55. Α᾽ Κορ. 13,12.  66. Α᾽ Τιμ. 1,17.

Ὅπως δέχεται τοῦ ἥλιου
τὶς ἀκτίνες ὁ καθρέφτης
ἢ κομμάτι ἑνὸς κρυστάλλου
ποὺ ἐφωτίστη μεσημέρι,
ἔτσι ὅλοι τὶς ἀκτίνες
δέχονται τῆς θεότητάς μου.
Μὰ νὰ μὲ ἀντικρίσει ὅλον
δὲν ἀξιώθη ἀκόμη οὔτ' ἕνας
ἄγγελος εἴτ' ἄνθρωπος
ἢ ἀπ' τὶς θεϊκὲς δυνάμεις.
Εἶμ' ἐγὼ ἀπ' ὅλα χώρια
κι εἶμαι ἀόρατος γιὰ ὅλους.
Ἀφανέρωτος δὲ μένω
ἀπὸ φθόνο γιὰ ὅλους τούτους,
γιὰ νὰ μὴ μὲ ἀντικρίζουν
ἢ γιατὶ ἡ ὀμορφιά μοῦ λείπει.
Ἀλλὰ δὲν εὑρέθηκε ἄξιος
τῆς θεότητάς μου οὔτε ἕνας·
οὔτε κι ἔγινε τὸ κτίσμα
μὲ τὸν κτίστη του ἰσάξιο,
οὔτε καὶ συμφέρον του εἶναι·
μὰ ἕνα ἀπαύγασμα θωρώντας
πὼς στ' ἀλήθεια εἶμαι μαθαίνουν
καὶ ὡς Θεὸ μ' ἀναγνωρίζουν
ποὺ τοὺς ἔχω δημιουργήσει,
καὶ μὲ τρόμο καὶ μὲ φόβο
μὲ ἀνυμνοῦν καὶ μὲ λατρεύουν.
Ἄλλος Θεὸς κατὰ τὴ φύση
εἶναι ἀδύνατο νὰ γίνει
μὲ τὸ δημιουργὸν ἰσάξιος
καὶ τὴν ἴδια φύση νά 'χει·
οὔτε δυνατὸ ποτὲ εἶναι
ὁμοούσιο μὲ τὸν κτίστη
τὸ δημιούργημα νὰ γίνει·

76. Φτάνει μιὰ μικρὴ 'ἀπαυγὴ' –αὐτὸ μόνο εἶναι δυνατὸ γιὰ τὸν ἄνθρωπο– γιὰ νὰ 'μυηθοῦν' οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὸ Θεό.

*Τῷ ἀκτίστῳ τὸ κτιστὸν γὰρ*
*πῶς ποτε ἐξισωθείη;*
*Τοῦ ἀεὶ ὡσαύτως ὄντος*
*καὶ ἀνάρχου καὶ ἀκτίστου*
*τὰ κτιζόμενα ἐλάττω·*
*καὶ γὰρ εἶναι μαρτυρήσεις*
*καὶ τοσοῦτον διαφέρειν,*
*ὅσον ἅμαξα καὶ πρίων·*
*τοῦ αὐτὰ τεκτηναμένου.*
*Πῶς οὖν ἅμαξα τὸν ταύτην*
*τεκτηνάμενον ἐκμάθοι;*
*Πῶς δὲ πρίων τὸν κινοῦντα*
*ἐπιγνώσεται, εἰπέ μοι,*
*εἰ μὴ τούτοις δώσει γνῶσιν,*
*εἰ μὴ ὅρασιν ἐνθείη*
*ὁ αὐτὰ κατασκευάσας,*
*ὃ ἀδύνατον ὑπάρχει*
*τοῦτο πᾶσι τοῖς κτισθεῖσιν;*
*Οὐδεὶς ἀνθρώπων ὅλως οὖν,*
*οὐδεὶς καὶ τῶν ἀγγέλων*
*τοῦ διδόναι πνεῦμα ἄλλοις*
*ἔλαβε τὴν ἐξουσίαν*
*ἢ ζωὴν αὐτοῖς παρέχειν,*
*ὁ δὲ Κύριος τῶν πάντων*
*ἔχων ἐξουσίαν μόνος,*
*μόνος ἔχων δυναστείαν*
*ὡς πηγὴ ζωῆς ὑπάρχων*
*ἔμψυχα παράγει ζῷα,*
*οἷα πάντως καὶ θελήσει,*
*καὶ χαρίζεται ἑκάστῳ*
*ὡς τεχνίτης, ὡς Δεσπότης,*
*ὅσα βούλεται καὶ θέλει,*
*ᾧ ἡ δόξα καὶ τὸ κράτος*
*νῦν, ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*
*Ἀμήν.*

---

100. Ἠσ. 10,15. 112. Ρωμ. 10,12.
113. Ματθ. 28,18.
115. Ψαλμ. 35,10. 121. Α' Πέτρ. 4,11.

μὲ τὸν ἄκτιστο τὸ κτίσμα
πῶς θὰ ἐξισωθεῖ ποτέ;
Ἀπὸ αὐτὸν ποὺ ὁ ἴδιος πάντα,
ἄναρχος κι ἄκτιστος εἶναι,
εἶν' τὰ κτίσματα πιὸ κάτω.
Εἶσαι μάρτυρας πὼς εἶναι
καὶ πὼς διαφέρει τόσο
ὅσο ἀμάξι καὶ πριόνι
ἀπὸ αὐτὸν ποὺ τὰ μαστόρεψε.
Καὶ τὸ ἀμάξι πῶς θὰ μάθει
κεῖνον ποὺ τὸ ἔχει φτιάξει;
Πές μου· πῶς καὶ τὸ πριόνι
ὅποιον τὸ κινεῖ θὰ νιώσει,
ἂν σ' αὐτὰ δὲ δώσει γνώση,
ἂν καὶ μάτια δὲν τοὺς βάλει
ὅποιος τά 'χει μαστορέψει,
πράγμα ποὺ ἀδύνατο εἶναι
γιὰ ὅλα τὰ δημιουργημένα;
Ἄνθρωπος λοιπὸν κανένας
ἀλλὰ κι ἄγγελος ἐπίσης
ἐξουσία δὲν ἔχει λάβει
νὰ ἐμφυσᾶ πνεῦμα στοὺς ἄλλους
ἢ ζωὴ σ' αὐτοὺς νὰ δίνει.
Μόνο ὁ Κύριος τῶν ὅλων
ποὺ ἔχει ἐξουσία σ' ὅλα
κι ἔχει δύναμη σὲ ὅλα
ὡς πηγὴ ζωῆς ποὺ εἶναι
πλάθει ἔμψυχα τὰ ζῶα
τέτοια ποὺ θὰ τὰ θελήσει,
καὶ χαρίζει στὸ καθένα
σὰν τεχνίτης καὶ ἀφέντης
ὅσα ἐπιθυμεῖ καὶ θέλει.
Ἡ δύναμη σ' αὐτὸν κι ἡ δόξα
τώρα, πάντοτε, στοὺς αἰῶνες.
Ἀμήν.

## *ΛΣΤ'*

### ***Εὐχαριστία ὑπὲρ τῆς ἐξορίας καὶ τῶν θλίψεων, ὧν ὑπέστη ἐν τῷ κατ' αὐτὸν διωγμῷ.***

*Εὐχαριστῶ σοι, Κύριε, εὐχαριστῶ σοι, μόνε,*
*καρδιογνῶστα, βασιλεῦ δίκαιε, πανοικτίρμον!*
*Εὐχαριστῶ σοι, ἄναρχε, παντοδύναμε Λόγε,*
*ὁ κατελθὼν ἐπὶ τῆς γῆς καὶ σαρκωθεὶς Θεός μου*
*καὶ γεγονώς, ὅπερ οὐκ ἦς, ἄνθρωπος ὅμοιός μου*
*δίχα τροπῆς καὶ ρεύσεως καὶ πάσης ἁμαρτίας,*
*ἵνα παθὼν ὁ ἀπαθὴς ὑπ' ἀνόμων ἀδίκως*
*ἀπάθειαν παράσχῃς μοι τῷ κατακεκριμένῳ*
*ἐν τῷ μιμήσασθαι τὰ σὰ παθήματα, Χριστέ μου!*
*Δικαία οὖν ἡ κρίσις σου καὶ ἡ πρόσταξις ἅμα,*
*ἥνπερ προσέταξας ἡμᾶς φυλάσσειν, πανοικτίρμον,*
*Αὕτη δ' ἐστὶν ἡ μίμησις τῆς ταπεινώσεώς σου,*
*ἵν', ὥσπερ ἔπαθες αὐτὸς ἀναμάρτητος πέλων,*
*οὕτως ἡμεῖς ὑποίσωμεν ἁμαρτήσαντες πάντα,*
*καὶ πειρασμοὺς καὶ διωγμοὺς καὶ μάστιγας καὶ θλίψεις*
*καὶ τελευταῖον θάνατον παρὰ τῶν παρανόμων.*
*Σὺ δαιμονᾶν γὰρ ἤκουσας καὶ πλάνος ἐνομίσθης*
*ἀθέοις καὶ ἀντίθεος καὶ παραβάτης νόμου.*
*Σὺ ὡς κακοῦργος συλληφθεὶς καὶ δεθεὶς μόνος ἤχθης,*
*πάντων καταλιπόντων σε μαθητῶν τε καὶ φίλων.*
*Σὺ καὶ παρέστης τῷ κριτῇ ὡς κατάκριτος, Λόγε,*

---

6. Ἑβρ. 4,16. 9. Α' Πέτρ. 2,21.
10. Ἀποκ. 16,7. 15. Ρωμ. 8,35.
17. Ἰω. 10,20 ἑ. 19. Ματθ. 26,55.

## 36

**Εὐχαριστία γιὰ τὴν ἐξορία καὶ τὶς θλίψεις ποὺ ὑπέφερε κατὰ τὸ διωγμὸ ποὺ τοῦ ἔγινε.**

Ὢ Κύριε, σ' εὐχαριστῶ, σ' εὐχαριστῶ, ὦ Μόνε,
καρδιογνώστη, βασιλιᾶ δίκαιε, πανοικτίρμων!
Ὢ ἄναρχε, σ' εὐχαριστῶ, παντοδύναμε Λόγε,
ὁ Θεός μου ποὺ κατέβηκες στὴ γῆ καὶ ποὺ σαρκώθης
κι ὅ,τι δὲν ἦσουν ἔγινες ἄνθρωπος ὅμοιός μου
χωρὶς τροπή, χωρὶς ροὴ καὶ κάθε ἁμαρτία,
ὥστε ἄδικα σὺ ὁ ἀπαθὴς ἀπὸ ἄνομους νὰ πάθεις
χαρίζοντας ἀπάθεια στὸ δικασμένο ἐμένα,
Χριστέ μου, μὲ τὴ μίμηση ὅσων ἐσὺ ἔχεις πάθει.
Δίκαιη ἡ ἀπόφαση μαζὶ κι ἡ προσταγή σου,
ποὺ, πανοικτίρμων, ὅρισες σ' ἐμᾶς γιὰ νὰ τηροῦμε.
Καὶ τοῦτο εἶναι ἡ μίμηση τῆς ταπεινώσεώς σου,
ὥστε, ὅπως ὁ ἀναμάρτητος ἐσὺ ἔχεις ὑποφέρει,
ἔτσι κι ἐμεῖς οἱ ἁμαρτωλοὶ νὰ πάθομε τὰ πάντα,
καὶ πειρασμοὺς καὶ διωγμοὺς καὶ μάστιγες καὶ θλίψεις
καὶ τέλος καὶ τὸ θάνατο ἀπὸ τοὺς παρανόμους.
Δαιμονισμένο σὲ εἶπανε καὶ πλάνο σὲ λογιάσαν
οἱ ἄθεοι κι ἀντίθεο, τοῦ νόμου παραβάτη.
Σὰν τὸν κακοῦργο σ' ἔπιασαν καὶ μοναχὸ δεμένο
σὲ πῆραν, ὅλοι σ' ἄφησαν καὶ μαθητὲς καὶ φίλοι.
Σὰν ἔνοχος ἐστάθηκες μπρὸς στὸν κριτή σου, Λόγε,

---

20. Ματθ. 26,56.

12. Ἡ προσταγὴ τοῦ Χριστοῦ στοὺς ἀνθρώπους εἶναι νὰ μιμηθοῦν τὴν τ
πείνωσή του καὶ τὴν ὑπομονή του στοὺς πειρασμοὺς καὶ τὰ πάθη.

*καὶ κρίσιν, ἣν ἐξήνεγκε κατά σου, κατεδέξω.*
*Σὺ καὶ λαλήσας ῥάπισμα παρὰ δούλου ὑπέστης*
*καὶ σιωπήσας θάνατον εὐθὺς κατεδικάσθης.*
*Οἱ λόγοι σου γὰρ μάχαιρα τοῖς ἀνόμοις ὑπῆρχον,*
*ἡ σιωπὴ δέ, βασιλεῦ, καταδίκης αἰτία·*
*διὸ μὴ φέροντες ὁρᾶν σὲ τὸν δίκαιον μόνον*
*οἱ ἄδικοι θανάτῳ σε παρέδωκαν αἰσχίστῳ.*
*Ὅθεν ἐτύφθης κεφαλὴν καὶ ἀκάνθαις*
*ἐστεφανώθης, χλαῖνάν τε κοκκίνην ἐνεδύσω.*
*Ἐνεπτύσθης τὸ πρόσωπον, οἴμοι, καὶ ἐνεπαίχθης,*
*Χαῖρε! ἀκούσας παικτικῶς, βασιλεῦ, ὑφ' Ἑβραίων.*
*Σὺ τὸν σταυρὸν ἐβάστασας, Σῶτερ, ἐπὶ τῶν ὤμων*
*καὶ προσεπάγης ἐν αὐτῷ ἀνυψωθείς, Θεέ μου.*
*Χεῖρας ἡλώθης πόδας τε, καὶ ὄξος ἐποτίσθης*
*καὶ τὴν πλευρὰν ἐνύγης σου τῇ λόγχῃ, πανοικτίρμον.*
*Ταῦτα ἡ γῆ μὴ φέρουσα ἐκλονεῖτο τῷ φόβῳ*
*καὶ τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ ἀπεδίδου ἐν τάχει,*
*ὁ ἥλιος εἰς αἷμα δὲ μετεστράφη ὁρῶν σε*
*καὶ ἡ σελήνη ζόφωσιν ἐνεδύσατο τότε.*
*Τὸ καταπέτασμα ναοῦ τοῦ τότε διεσχίσθη*
*ἀπὸ τῶν ἄνω γεγονὸς δύο ἕως τῶν κάτω,*
*καὶ οὐδὲν οἱ παράνομοι τούτων συνῆκαν ὅλως,*
*ἀλλὰ καὶ τάφῳ κείμενον φύλακας ἐφιστᾶσι*
*καὶ τὸν λίθον σφραγίζουσι σὲ κατασχεῖν δοκοῦντες.*
*Σὺ οὖν ἀνέστης, Δέσποτα, ἰδίᾳ ἐξουσίᾳ*
*καὶ τὰς σφραγῖδας ἔλιπες σώας τοῖς παραβάταις·*
*ἀγγέλων παρουσία δὲ ἐκύλισε τὸν λίθον*
*καὶ τοὺς ἐκεῖ φυλάσσοντας κατέπληξε τῷ φόβῳ,*
*καὶ οὐκ ἠθέλησαν ποσῶς τοῦ συνιέναι ὅλως,*
*ἀλλ' ἔμειναν τυφλώττοντες τὸν νοῦν καὶ τὴν καρδίαν*
*πεπωρωμένην τὴν αὐτῶν ἔχοντες μέχρι τέλους.*
*Τί οὖν ὑπάρχει μέγα μοι, εἰ ταῦτα κἀγὼ πάθω,*

---

23. Ἰω. 18,22. 25. Ματθ. 10,34. 29. Ἰω. 19,2.
30. Ματθ. 29,27. Ἰω. 19,3. 31. Ματθ. 26,27. 32. Ἰω. 19,3.
33. Ἰω. 19,17. 35. Ἰω. 19,29. 36. Ἰω. 19,34.

κι ἔσκυψες στὴν ἀπόφαση ποὺ ἔβγαλε γιὰ σένα.
Ἐμίλησες καὶ δέχτηκες τὸ ράπισμα τοῦ δούλου·
σώπασες καὶ σὲ θάνατο εὐθὺς καταδικάστης.
Μαχαίρι γιὰ τοὺς ἄνομους τὰ λόγια σου ὑψωθῆκαν
καὶ ἡ σιωπή σου, βασιλιά, αἰτία καταδίκης.
Γι' αὐτὸ κι ἐσὲ τὸν δίκαιο μὴ ἀντέχοντας νὰ βλέπουν
μονάχο οἱ ἄδικοι σ' αἰσχρὴ θανὴ σὲ παραδῶσαν.
Σὲ χτύπησαν στὴν κεφαλὴ γιὰ τοῦτο καὶ μ' ἀγκάθια
σὲ στεφανῶσαν καὶ μὲ χλαμύδα ἄλικη σὲ ντύσαν.
Σὲ φτύσανε στὸ πρόσωπο, ἀλί, σὲ περιπαῖξαν,
σοῦ ἐκράξαν 'Χαῖρε, βασιλεῦ,' οἱ Ἑβραῖοι περιγελώντας.
Σὺ τὸ σταυρό σου ἐσήκωσες, Σωτήρα μου, στοὺς ὤμους
καὶ ἀνυψωμένο ἐπάνω του σὲ κάρφωσαν, Θεέ μου.
Στὰ χέρια καὶ στὰ πόδια σου καρφιὰ ἔμπηξαν, οἰκτίρμων,
σοῦ δῶσαν ξίδι κι ἔσκισε ἡ λόγχη τὴν πλευρά σου.
Αὐτὰ δὲν ἄντεχεν ἡ γῆ κι ἔτρεμε ἀπὸ τὸ φόβο
καὶ τοὺς νεκροὺς ποὺ φύλαγε στὰ σπλάγχνα της ξερνοῦσε.
Σ' αἷμα τὸ φῶς του ἄλλαξε θωρώντας σε ὁ ἥλιος
καὶ τὸ φεγγάρι φόρεσε ροῦχο του τὸ σκοτάδι.
Τότε τὸ καταπέτασμα καὶ τοῦ ναοῦ ἐσκίστη
καὶ δυὸ κομμάτια γίνηκε ἀπὸ ψηλὰ ὣς κάτω.
Ἀπ' ὅλα τοῦτα τίποτα οἱ παράνομοι δὲ νιῶσαν,
ἀλλὰ σοῦ βάλαν καὶ φρουροὺς στὸ μνῆμα ποὺ κειτόσουν
καὶ τὸ σφραγίσαν θέλοντας σ' αὐτὸ νὰ σὲ κρατήσουν.
Μὰ σὺ ἀναστήθης, Δέσποτα, μὲ δύναμη δική σου
καὶ τὶς σφραγίδες ἄφησες στοὺς παραβάτες σῶες·
ἀγγέλων παρουσία ἐκεῖ ἀποκύλισε τὴν πέτρα
στοὺς φύλακες ποὺ φύλαγαν τρομάρα προκαλώντας,
ἀλλὰ δὲ θέλησαν ποσῶς αὐτοὶ νὰ καταλάβουν,
μόνο ἀπομείνανε τυφλοὶ στὸ νοῦ καὶ τὴν καρδιά τους,
πέτρα τὴν κράτησαν σκληρὴ κι ἀναίσθητη ὣς τὸ τέλος.
Ποιό τὸ ἐξαιρετικὸ λοιπόν, ἂν κι ἐγὼ πάθω τὰ ἴδια

37. Ματθ. 27,52. 39. Ματθ. 27,45. Πράξ. 2,20.
41. Ματθ. 27,51. 44. Ματθ. 27,66. 48. Ματθ. 28,2.
49. Ματθ. 28,4. 51. Ματθ. 28,11.

*ἅπερ αὐτὸς σὺ πέπονθας ἀναμάρτητος πέλων*
*ὑπὲρ τοῦ κόσμου, Δέσποτα, ἵνα τὸν κόσμον σώσῃς,*
*ὁ ἁμαρτήσας πάμπολλα ἐκ νέας ἡλικίας*
*καὶ παροργίσας σε, Χριστέ, ἐν ἔργοις τε καὶ λόγοις;*
*Μέγα μοι ὄντως, μᾶλλον δὲ καὶ ὑπὲρ πᾶσαν δόξαν,*
*ὅτι με μέτοχον ποιεῖ δόξης σου τῆς ἀρρήτου*
*ἡ κοινωνία τῶν παθῶν, ἡ μίμησις τῶν ἔργων,*
*καὶ πρόξενος θεότητος ἡ ταπείνωσις πέλει*
*ἡ σὴ τοῖς μετὰ γνώσεως ταύτην μετερχομένοις.*
*Εὐχαριστῶ σοι, Δέσποτα, πάσχων μᾶλλον ἀδίκως,*
*εἰ δὲ δικαίως, ἔστω μοι εἰς ἔκτισιν πταισμάτων,*
*εἰς κάθαρσιν ἀμέτρων μου, Χριστέ, πλημμελημάτων,*
*καὶ μὴ ἐάσῃς μοί ποτε πόνους ἐπενεχθῆναι*
*ὑπὲρ δύναμιν, Δέσποτα, ἢ πειρασμοὺς ἢ θλίψεις,*
*ἀλλὰ ἀεί μοι χάρισαι τὴν ἔκβασιν, Θεέ μου,*
*καὶ τὴν ἰσχὺν τοῦ δύνασθαι ὑπενεγκεῖν τὰς λύπας!*
*Σὺ γὰρ ὑπάρχεις τῶν καλῶν ὁ παροχεὺς ἀρχῆθεν*
*τοῖς ἐκ ψυχῆς προσπίπτουσι τῷ σῷ κράτει ἀξίως,*
*τῆς πίστεως, τῶν ἔργων τε καὶ τῶν χρηστῶν ἐλπίδων*
*παρέχων τὰ χαρίσματα, τὰς δωρεάς τε πάσας*
*τοῦ Θείου καὶ προσκυνητοῦ Πνεύματός σου, οἰκτίρμον,*
*νῦν καὶ ἀεὶ καὶ πάντοτε εἰς αἰῶνας αἰώνων.*
*Ἀμήν.*

---

55. Ἰω. 12,45. 57. Δευτ. 32,21.
66. Α΄ Κορ. 10,13. 73. Πράξ. 2,38.

– ποὺ ἂν κι ἀναμάρτητος ἐσὺ ὁ ἴδιος ἔχεις πάθει,
Δέσποτα, γιὰ τὸν κόσμο σου, τὸν κόσμο γιὰ νὰ σώσεις –,
ἐγὼ ποὺ ἁμάρτησα πολὺ ἀπὸ τὴ νεότητά μου
καὶ σὲ παρόργισα, Χριστέ, μὲ πράξεις καὶ μὲ λόγια;
Εἶναι γιὰ μὲ σημαντικό, πάνω ἀπὸ κάθε ἐλπίδα,
ποὺ μέτοχο τῆς δόξας σου τῆς ἄρρητης μὲ κάνει,
τὰ πάθη σου ὅτι κοινωνῶ τὰ ἔργα σου πὼς μιμοῦμαι
κι ἔρχεται κι ἡ ταπείνωση τὴ θέωση γιὰ νὰ δώσει
σ' ὅλους αὐτοὺς ποὺ ξέροντας θερμὰ τὴν κυνηγοῦνε.
Ὢ Κύριέ μου, σ' εὐχαριστῶ ποὺ ἄδικα μάλλον πάσχω
κι ἂν πάσχω δίκαιά ἂς εἶναι γιὰ ἐξόφληση πταισμάτων,
γιὰ κάθαρση ἀμέτρητων σφαλμάτων μου, Χριστέ μου.
Καὶ μὴν ἀφήσεις κάποτε νὰ μὲ πλακώσουν πόνοι,
Κύριε, ποὺ δὲν τοὺς μπορῶ, ἢ πειρασμοὶ εἴτε θλίψεις,
ἀλλὰ δίνε μου πάντοτε τὴ λύτρωση ἀπὸ τοῦτα
καὶ δῶσε μου τὴ δύναμη τὶς λύπες νὰ ὑποφέρω.
Γιατὶ σὺ εἶσαι ἀπ' τὴν ἀρχὴ κάθε ἀγαθοῦ ὁ δοτήρας
σ' ὅποιους προσπέφτουν πρόθυμα στὴν ἐξουσία σου ἄξια
τῆς πίστης καὶ τῶν πράξεων καὶ τῶν καλῶν ἐλπίδων
δίνοντας τὰ χαρίσματα καὶ τὰ δωρήματα ὅλα
τοῦ θείου καὶ προσκυνητοῦ, οἰκτίρμων, Πνεύματός σου,
τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

---

63. Ὁ Συμεὼν ποὺ διαμαρτύρεται γιὰ ὅσα ἔχει ὑποστεῖ. Εὐχαριστεῖ ἀπεναντίας γιὰ τὸ ὅτι συμμετέχει στὰ πάθη τοῦ Χριστοῦ. Εἶναι καλὰ ἂν πάσχει ἄδικα καὶ ἂν δίκαια γιὰ ἔκτιση καὶ κάθαρση ἀμέτρων πταισμάτων.

## ΛΖ'

### *Δέησις καὶ προσευχὴ τοῦ αὐτοῦ πρὸς Θεὸν τῆς ἐκείνου ἕνεκα βοηθείας.*

*Δέσποτα Χριστέ, Δέσποτα ψυχοσῶστα,*
*Δέσποτα Θεὲ πάντων τῶν ὁρωμένων*
*ἀοράτων τε δυνάμεων, ὡς κτίστης*
*τῶν ἐν οὐρανῷ πάντων, τῶν ὑπεράνω*
*τοῦ οὐρανοῦ τε καὶ οὐρανῶν ἁπάντων,*
*τῶν ὑπὸ γῆν τε καὶ τῶν ἐν γῇ ὡσαύτως!*
*Σὺ εἶ ὁ Κύριος τούτων, Θεός τε καὶ Δεσπότης,*
*σὺ τῇ χειρί σου περικρατεῖς τὴν κτίσιν,*
*ὅτι ἐν αὐτῇ περιέχεις τὰ πάντα.*
*Χείρ σου, Δέσποτα, δύναμις ἡ μεγάλη,*
*ἡ τὸ θέλημα τοῦ σοῦ Πατρὸς πληροῦσα*
*καὶ δημιουργεῖ, ἐργάζεται καὶ κτίζει*
*καὶ οἰκονομεῖ τὰ καθ' ἡμᾶς ἀρρήτως·*
*αὕτη οὖν κἀμὲ νυνὶ παραγαγοῦσα*
*ἐκ τοῦ μὴ ὄντος πεποίηκε τοῦ εἶναι,*
*ὃς καὶ γεγονὼς ἤμην ἐν τῷδε κόσμῳ*
*ἀγνοῶν ὅλως σέ, τὸν καλὸν Δεσπότην,*
*σέ, τὸν κτίστην μου, σέ, ὦ δημιουργέ μου,*
*καὶ ὥσπερ τυφλὸς ὑπῆρχον ἐν τῷ κόσμῳ*
*καὶ ὡς ἄθεος, ἀγνοῶν τὸν Θεόν μου.*
*Αὐτὸς οὖν ἐλέησας καὶ ἐπεσκέψω*

---

3. Ἐξ. 20,11 καὶ Κολ. 1,16.
7. Ἰούδα 4.
11. Λουκᾶ 22,42.

## Δέηση καὶ προσευχὴ τοῦ ἴδιου πρὸς τὸ Θεὸ ἐξαιτίας τῆς βοήθειας ποὺ ἔλαβε ἀπὸ αὐτόν.

Ὢ Κύριέ μου Χριστέ, ὦ Κύριε ψυχοσώστη,
ὦ Κύριέ μου Θεὲ ὅλων ὅσα θωροῦμε
καὶ τῶν ἀοράτων δυνάμεων, ὡς κτίστης
ὅλων ὅσα στὸν οὐρανὸν ὑπάρχουν καὶ ὅσα
πάνω ἀπ' τὸν οὐρανὸ καὶ τοὺς οὐρανοὺς ὅλους,
ὅσα κάτω ἀπ' τὴ γῆ καὶ μὲς στὴ γῆν ἐπίσης.
Ἐσὺ κυρίαρχος εἶσαι τούτων, Θεὸς κι ἀφέντης,
ἐσὺ περικρατεῖς στὸ χέρι σου τὴ γῆ ὅλη,
γιατὶ μπορεῖς σ' αὐτὸ τὰ πάντα νὰ περιέχεις.
Τὸ χέρι σου εἶναι, Κύριε, ἡ δύναμη ἡ μεγάλη,
ὅπου τὸ θέλημα ἐκπληρώνει τοῦ Πατέρα
καὶ δημιουργεῖ συνέχεια, ἐργάζεται καὶ κτίζει
καὶ οἰκονομεῖ μ' ἄρρητο τρόπο τὰ δικά μας.
Αὐτὸ λοιπὸν κι ἐμένα τώρα ἀφοῦ δημιούργησε
ἀπ' τὴν ἀνυπαρξία μ' ἔφερε στὸ εἶναι,
κι ἀφοῦ ἔγινα καὶ μὲς σ' αὐτὸν τὸν κόσμο βρέθηκα
τὸν καλὸ ἐσένα ἀφέντη ν' ἀγνοῶ ὁλότελα,
ἐσὲ τὸν κτίστη μου, ὦ δημιουργέ μου, ἐσένα,
καὶ σὰν τυφλὸς πηγαινοερχόμουνα στὸν κόσμο
καὶ σὰν χωρὶς Θεὸ τὸ Θεό μου ἀγνοώντας.
Μ' ἐλέησες τότε ὁ ἴδιος σὺ καὶ μ' ἐπισκέφτηκες,

---

16. Ἰω. 1,9.

19. Τυφλότητα τοῦ ἀνθρώπου χαρακτηρίζεται ἡ ἐπιδίωξη τῶν ἀγαθῶν τοῦ κόσμου καὶ ἡ γοητεία του ἀπὸ αὐτά.

καὶ ἐπέστρεψας λάμψας ἐν σκότει φῶς μοι
καὶ ἑλκύσας με πρὸς ἑαυτόν, ὦ πλάστα,
ἐξαγαγών τε ἐκ κατωτάτου λάκκου,
σκότους τῶν παθῶν, σκότους τοῦ βαθυτάτου
ἐπιθυμιῶν καὶ ἡδονῶν τοῦ βίου
ἔδειξας ὁδόν, δέδωκας ὁδηγόν μοι
πρὸς τὰς ἐντολὰς τὰς σὰς καθοδηγοῦντα.
Ὧι ἀκολουθῶν ἄφροντις διετέλουν,
ἔχαιρον χαρὰν οὐ λαλουμένην, Λόγε,
ὁρῶν κατὰ πόδας σου ἀκολουθοῦντα
καὶ προσομιλοῦντά σοι πολλάκις τοῦτον.
Ἀλλὰ καὶ βλέπων σε, τὸν καλὸν Δεσπότην,
τῷ ὁδηγῷ μου καὶ πατρὶ συμπαρόντα
ἄφραστον εἶχον ἀγάπην τε καὶ πόθον,
ὑπὲρ πίστιν τε καὶ ἐλπίδα ὑπῆρχον
καί· Ἰδού, ὁρῶ τὰ μέλλοντα, ἔλεγον,
καὶ τῶν οὐρανῶν πάρεστι βασιλεία
καὶ τὰ ἀγαθὰ ἃ ὀφθαλμὸς οὐκ εἶδεν,
οὖς οὐκ ἤκουσε, πρὸ ὀφθαλμῶν μου βλέπω,
ἔχων τε αὐτὰ καὶ τί πλέον ἐλπίσω,
ἢ τὴν πίστιν μου ἐν ἄλλοις ποίοις δείξω;
Μεῖζον γὰρ ἄλλο ὑπὲρ ταῦτα οὐκ ἔσται.
Ἐν τούτοις ὄντος καὶ τούτοις ἐντρυφῶντος
ἔλαβες ἐκ γῆς τὸν πατέρα μου, οἴμοι,
ἦρας ὁδηγὸν ἐμὸν ἐξ ὀφθαλμῶν μου,
ὦ φιλάνθρωπε, καὶ κατέλιπας μόνον,
πάντως ὀρφανόν, πάντως μεμονωμένον,
πάντως ἐκ πάντων ἀβοήθητον ὄντα,
καὶ ποίμνης, οἴμοι, προστάτην καὶ ποιμένα,
τὸν ὡς ἀληθῶς ἀπροσταύτευτον ξένον
ἔστησας αὐτὸς τοῖς κρίμασιν, οἷς οἶδας.

---

22. Β' Κορ. 4,6. 24. Ψαλμ. 87,6.
26. Λουκᾶ 8,14.

τὸ δρόμο μου ἄλλαξες ἀστράφτοντάς μου φῶς
πρὸς τὸν ἑαυτό σου μ' ἔσυρες, ὦ πλαστουργέ μου,
ἀφοῦ ἀπ' τὸν τρίσβαθο μὲ τράβηξες τὸ λάκκο μου,
ἀπό τὸ σκότος τῶν παθῶν, τὸ ἀπύθμενο
σκότος τῶν ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν τοῦ βίου,
τὸ δρόμο μοῦ ἔδειξες καὶ ὁδηγὸ μοῦ ἔδωσες
νὰ μὲ ὁδηγεῖ στὶς ἐντολές σου νὰ βαδίζω.
Αὐτὸν ἀκολουθοῦσα καὶ περνοῦσα ἀμέριμνα
καὶ χαρά, Λόγε, ἔνιωθα ἀνεκλάλητη
τ' ἀχνάρια τῶν ποδιῶν σου βλέποντας ν' ἀκολουθῶ
καὶ κουβέντα συχνὰ μαζὶ μ' ἐσὲ νὰ ἀνοίγω.
'Αλλὰ κι ἐσένα, τὸν καλὸ δεσπότη, βλέποντας
νὰ συντροφιάζεις μὲ τὸν ὁδηγό μου καὶ πατέρα μου
ἦταν ἀνέκφραστη ἡ ἀγάπη μου καὶ ὁ πόθος μου, [μου
πάνω ἀπό πίστη ἡ πίστη μου κι ἀπ' τὴν ἐλπίδα ἡ ἐλπίδα
κι ἰδού, μονολογοῦσα, τὰ μελλοντικὰ θωρῶ
κι ἡ βασιλεία τῶν οὐρανῶν ἔχει πιὰ φτάσει
καὶ τ' ἀγαθὰ ποὺ μάτια δὲν τὰ ἔχουν δεῖ κι αὐτιὰ
δὲν ἔχουνε ἀκούσει βλέπω μπρὸς στὰ μάτια μου·
κι αὐτὰ ἀφοῦ ἔχω τί νὰ ἐλπίσω περισσότερο
ἢ σὲ ποιά ἄλλα τὴν πίστη μου νὰ ἐκδηλώσω;
'Ανώτερο ἀπ' αὐτὰ δὲν εἶναι ἄλλο.
Αὐτὰ ἦταν ἡ ζωή μου κι ἡ τρυφή μου αὐτά,
ὅταν, ἀλί μου, πῆρες τὸν πατέρα μου ἀπ' τὴ γῆ,
πῆρες τὸν ὁδηγό μου ἀπὸ τὰ μάτια μου
καὶ μ' ἄφησες, φιλάνθρωπε, ὁλομόναχο,
ὁλότελα ὀρφανὸ κι ὁλότελα μονάχο
κι ὁλότελα χωρὶς καμιὰ βοήθεια ἀπ' ὅλους,
κι, ἀλί, τοῦ παιδιοῦ προστάτη καὶ ποιμένα [τος,
ἐμένα, ποὺ στ' ἀλήθεια ἤμουν ὁ ξένος ὁ ἀπροστάτευ-
μ' ἔβαλες σὺ ὁ ἴδιος μὲ τὶς κρίσεις τὶς βαθιές σου.

38. Ματθ. 3,2. 39. Βλ. Α΄ Κορ. 2,9.
46. Πραξ. 1,9.

*Διὰ τοῦτο σὲ ἄρτι καθικετεύω,*
*ἄρτι δέομαι, ἀντιβολῶ προσπίπτων·*
*μὴ ἀποστραφῇς, μή με ἐγκαταλίπῃς*
*μηδὲ ἀφῇς με, ὦ Δέσποτά μου, μόνον!*
*Οἶδας τῶν ληστῶν τὴν καθ' ἡμῶν μανίαν,*
*οἶδας τὴν πληθὺν τῶν πονηρῶν θηρίων,*
*οἶδας τὴν ἐμὴν ἀσθένειαν, Χριστέ μου,*
*καὶ τὴν ἄγνοιαν, ἣν ὡς ἄνθρωπος ἔχω.*
*Πλὴν οὐδ' ἄνθρωπος ὅλως δοκῶ ὑπάρχειν,*
*ἀλλὰ ἀνθρώπων πολὺ ἀπολιμπάνειν·*
*κατὰ πάντα γὰρ πάντων ἔσχατος πέλω*
*καὶ ἐλάχιστός εἰμι ὄντως ἀνθρώπων πάντων.*
*Ἐπίχεέ μοι, βασιλεῦ καὶ Θεέ μου,*
*τὸ ἔλεός σου, ἐξαιτοῦμαι, τὸ μέγα,*
*ἵνα τὰ ἐμὰ ὑστερήματα, Σῶτερ,*
*καὶ ἐλλείματα τοῦτο ἀναπληρώσῃ*
*καὶ σῶον ὅλον ἄνθρωπόν με ποιήσῃ*
*ὑστερούμενον οὐδὲν τῶν ἀναγκαίων*
*καὶ οὕτω στήσῃ ἐνώπιόν σου, Λόγε,*
*ἀκατάκριτον, ἄμεμπτόν με σὸν δοῦλον*
*ἀνυμνοῦντά σε εἰς αἰῶνας αἰώνων.*
*Ἀμήν.*

---

65. Α' Κορ. 15,9.
66. Σοφ. Σειρ. 18,9.
68. Α' Κορ. 16,17.

Γιὰ τοῦτο τώρα σὲ θερμοπαρακαλῶ,
σοῦ δέομαι καὶ σὲ ἱκετεύω πέφτοντας στὰ πόδια σου·
μὴ μὲ ἀποστραφεῖς καὶ μὴ μ' ἐγκαταλείψεις
καὶ μὴ μ' ἀφήσεις, Κύριε, μοναχὸ μου.
Ξέρεις τὴ δύσκολη πορεία στὸ δύσβατο τὸ δρόμο,
ξέρεις τῶν ληστῶν τὴ μανία ἐναντίον μας,
ξέρεις τῶν πονηρῶν θηρίων τὸ πλῆθος,
ξέρεις καὶ τὴ δική μου ἀσθένεια, Χριστέ μου,
καὶ τὴν ἄγνοια ὁποὺ σὰν ἄνθρωπο μὲ δέρνει.
Μὰ θαρρῶ πὼς μήτε κι ἄνθρωπος δὲν εἶμαι
καὶ πολὺ ἀπὸ τοὺς ἀνθρώπους πίσω μένω,
γιατὶ σὲ ὅλα ἀπ' ὅλους εἶμαι τελευταῖος [ὅλους.
καὶ πιὸ μικρὸς στ' ἀλήθεια εἶμ' ἀπ' τοὺς ἀνθρώπους
Πλημμύρισέ με, βασιλιά μου καὶ Θεέ μου,
μὲ τὸ ἔλεος τὸ μέγα, σ' τὸ ζητῶ γιὰ χάρη,
ὥστε, Σωτήρα μου, τὰ ὑστερήματά μου
καὶ τὶς ἐλλείψεις ὅλες μου αὐτὸ ν' ἀναπληρώσει
καὶ νὰ μὲ κάνει ὅλον ἄνθρωπο σωστό,
ποὺ τίποτε νὰ μὴ μοῦ λείπει ἀπ' ὅσα εἶναι ἀνάγκη,
κι ἔτσι ἀντικρί σου νὰ μὲ βάλεις, Λόγε,
τὸ δοῦλο τὸ δικό σου ἀκατάκριτο κι ἄμεμπτο
ὁποὺ νὰ σ' ἀνυμνῶ στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

55. Οἱ στίχοι αὐτοὶ ἐκφράζουν καὶ τὸ λόγο γραφῆς τῆς προσευχῆς καὶ ἰκεσίας αὐτῆς 'νὰ μὴ ἐγκαταλειφθεῖ μόνος' τώρα ποὺ ἔχει πεθάνει ὁ ὁδηγός του.

## ΛΗ'

***Περὶ θεολογίας καὶ ὅτι ὁ νοῦς τῆς ὕλης τῶν παθῶν καθαρθεὶς ἀΰλως τὸν ἄϋλον καὶ ἀόρατον καθορᾷ.***

*Ποίαν ὁδὸν ὁδεύσοιμι, ποίαν ἐκκλίνω τρίβον;*
*Ποίαν ἀνέλθω κλίμακα, ποίαν εἰσέλθω πύλην*
*ἢ πῶς ἀνοίξω θύραν δὲ καὶ ποίου κουβουκλείου;*
*Ὁποίας δὲ καὶ ποταπῆς ἔνδον οἰκίας εὕρω*
*τὸν ἐν χειρὶ τὰ σύμπαντα καὶ παλάμῃ κρατοῦντα;*
*Ὄρος εἰς ποῖον ἀναβῶ, ἐκ ποίου τε τοῦ μέρους*
*καὶ ποῖον ἄρα σπήλαιον ἐκεῖσε ψηλαφήσω*
*ἢ ποῖον ἕλος διελθὼν τὸν πανταχοῦ παρόντα*
*καὶ ἄληπτον τυγχάνοντα ἀόρατόν τε ὄντα*
*τοῦ κατιδεῖν ἀξιωθῶ καὶ κατασχεῖν, ὁ τάλας;*
*Εἰς ποῖον ᾅδην καταβῶ, εἰς οὐρανὸν δὲ ποῖον*
*ἀνέλθω καὶ εἰς ἔσχατα ποίας θαλάσσης ἄρα*
*γενόμενος εὑρήσαιμι τὸν ἀπρόσιτον πάντῃ,*
*τὸν πάμπαν ἀπερίγραπτον, ἀψηλάφητον ὅλον,*
*τὸν ἄϋλον ἐν ὑλικοῖς, τὸν κτίστην ἐν τῇ κτίσει,*
*τὸν ἄφθαρτον ἐν τοῖς φθαρτοῖς, εἰπέ μοι, πῶς εὑρήσω;*
*Πῶς δ' ἔξω κόσμου γένωμαι, ὁ τυγχάνων ἐν κόσμῳ,*
*πῶς τῷ ἀΰλῳ συναφθῶ, φθαρτὸς ὅλος ὑπάρχων,*
*ὁ ἐν θανάτῳ τῇ ζωῇ πῶς ὅλως πλησιάσω,*

---

1. Ἠσ. 40,3. 6. Ἐξ. 24,12.
7. Γ' Βασ 19,9. 11. Βλ. Ψαλμ. 138,8 ἑ.
11–12. Ψαλμ. 138,8 καὶ 9.

## 38

**Περὶ θεολογίας καὶ ὅτι ὁ νοῦς καθαρμένος ἀπὸ τὰ σωματικὰ πάθη ἀντικρίζει μὲ ἄυλα μάτια τὸν ἄυλο καὶ ἀόρατο.**

Δρόμο νὰ περπατήσω ποιόν, ποιὸ δρόμο νὰ ξεκλίνω;
Πάλι, ποιά σκάλα ν' ἀνεβῶ, ποιά πύλη νὰ περάσω,
ποιά πόρτα καὶ ποιά κάμαρη καὶ πῶς νὰ τὴν ἀνοίξω;
Σὲ σπίτι ποιό καὶ ποιᾶς λογῆς μέσα του μέλλω νά 'βρω
ἐκεῖνον ποὺ τὰ σύμπαντα στὴ φούχτα μέσα κλείνει;
Σὲ ποιό ὄρος ν' ἀναρριχηθῶ καὶ ἀπὸ ποιά μεριά του
καὶ ποιὸ τάχατε σπήλαιον ἐκεῖ νὰ ἀνερευνήσω;
ποιά νὰ περάσω τέλματα γιὰ ν' ἀξιωθῶ, ὁ τάλας,
τὸν πού 'ναι πανταχοῦ παρὼν κι ἀσύλληπτος ὡστόσο
κι ἀόρατος νὰ τὸν ἰδῶ μὰ καὶ νὰ τὸν ἀγγίξω;
Σὲ ποιόν ἅδη νὰ κατεβῶ, σ' ποιόν οὐρανὸ ν' ἀνέβω
καὶ σὲ ποιᾶς τάχα θάλασσας τὰ πέρατα καὶ ἂν φτάσω
αὐτὸν ποὺ εἶναι ἀπροσπέλαστος ὁλότελα γιὰ νά βρω
καὶ ποὺ σὲ ὅρια δὲ χωρεῖ κι ἄγγισμα δὲν τὸν πιάνει
τὸν ἄυλο μὲς στὰ ὑλικά, τὸν κτίστη μὲς στὴν κτίση,
τὸν ἄφθαρτο μὲς στὰ φθαρτὰ πῶς νὰ τὸν βρῶ γιὰ πές μου;
Πῶς νὰ διαβῶ τὰ σύνορα τοῦ κόσμου ὅπου ὑπάρχω,
πῶς νὰ ἑνωθῶ μὲ τ' ἄυλο ὁ δεμένος μὲ τὴν ὕλη;
Πῶς νὰ πλεχτῶ μὲ τὸ ἄφθαρτο, ἀφοῦ φθαρτὸς ἐγώ 'μαι,
πῶς κὰν ν' ἀγγίξω τὴ ζωὴ στὸ θάνατο κλεισμένος

---

1–21. Τὰ ρητορικὰ κάπως αὐτὰ ἐρωτηματικὰ δίνουν τὸ πλαίσιο γιὰ νὰ ἐκτεθοῦν ὅσα ἀκολουθοῦν ἀπὸ τὴν κοσμογονία. Ἡ ἀγωνία τοῦ ποιητῆ ἐκφράζεται μὲ τὶς λέξεις 'θὰ βρῶ, θὰ προσπελάσω, θὰ δῶ, θὰ ψηλαφήσω'· ποῦ καὶ πῶς ὅμως αὐτὸν ποὺ περιέχει τὰ πάντα, ποὺ εἶναι ἀπροσπέλαστος καὶ ἀόρατος καὶ ἀψηλάφητος;

*τῷ ἀθανάτῳ ὁ νεκρὸς πῶς ἄρα προσπελάσω;*
*Ὁ χόρτος ὅλος τῷ πυρὶ πῶς προσψαῦσαι τολμήσω;*
*Ἀλλ' ὅμως ἄρτι ἄκουε τῶν ἀπορρήτων λύσιν!*
*Πρὸ τοῦ γενέσθαι οὐρανόν, πρὸ τοῦ γῆν παραχθῆναι*
*Θεὸς ὑπῆρχεν, ἡ Τριάς, μόνος μεμονωμένος,*
*φῶς ἄναρχον, φῶς ἄκτιστον, φῶς ἄφραστον εἰς ἅπαν,*
*ὅμως Θεὸς ἀθάνατος, ἀτελεύτητος, μόνος,*
*ἀΐδιος, αἰώνιος, ἀγαθώτατος ἄγαν.*
*Νόει καλῶς μόνον Θεὸν ἐν ἀρχῇ τὴν Τριάδα*
*ὑπερανάρχως οὖσαν μέν, ὑπὲρ ἀρχήν τε πᾶσαν*
*ἀνείκαστον, ἀμέτρητον ὕψει, βάθει καὶ πλάτει,*
*τοῦ τε μεγέθους καὶ φωτὸς πέρας μὴ κεκτημένον!*
*Οὐκ ἦν ἀήρ, καθάπερ νῦν, οὐκ ἦν σκότος οὐδ' ὅλως,*
*οὐ φῶς, οὐχ ὕδωρ, οὐκ αἰθήρ, οὐκ ἄλλο τι τῶν ὄντων·*
*πνεῦμα δὲ μόνον ὁ Θεός, φωτοειδὲς εἰς ἅπαν,*
*ὁμοῦ τε παντοδύναμον καὶ ἄϋλον ὑπῆρχεν.*
*Ἐποίησεν ἀγγέλους δέ, ἀρχὰς καὶ ἐξουσίας,*
*τὰ Χερουβὶμ καὶ Σεραφίμ, κυριότητας, θρόνους*
*καὶ τὰ ἀκατωνόμαστα τάγματα λειτουργοῦντα*
*αὐτῷ καὶ παριστάμενα ἐν φόβῳ τε καὶ τρόμῳ.*
*Ὕστερον δὲ παρήγαγεν οὐρανὸν ὡς καμάραν,*
*ὑλικὸν καὶ ὁρώμενον, αἰσθητὸν καὶ παχύν τε*
*καὶ ἐν ῥιπῇ ἐξέτεινε τοῦτον, ὡς οἶδε μόνος.*
*Γῆν τε ὁμοῦ καὶ ὕδατα καὶ ἁπάσας ἀβύσσους*
*μέσον αὐτοῦ ἐν τῷ αὐτῷ ἐννοήματι μόνῳ*
*πεποίηκεν, οἷα καὶ νῦν πάντα ἡμῖν ὁρῶνται.*
*Καὶ ἔμεινεν, ἔνδον τὸ φῶς τὸ ἄϋλον μὴ ἔχων,*
*ὁ οὐρανὸς ἐκτανυσθεὶς αἰσθητός, καθὼς εἶπον,*
*οὐ περιέκοψε φωτὸς ἀΰλου λαμπηδόνας.*

---

24. Βλ. Παρμ. 8,24 ἑ. 31. Ἐφ. 3,18.
35. Γεν. 1,2. 41. Ἡσ. 40,22.
43. Ψαλμ. 103,2 καὶ Ἡσ. 44,24.
44. Παρμ. 8,23.

καὶ στὸν ἀθάνατο ὁ νεκρὸς πῶς τάχα νὰ πλησιάσω;
Πῶς νὰ τολμήσω τὴ φωτιὰ ν' ἀγγίξω ἐγὼ χορτάρι;
Μὰ τώρα τὴν ἐξήγηση τῶν ἀπορρήτων ἄκου:
Προτοῦ νὰ γίνει ὁ οὐρανὸς κι ἡ γῆ προτοῦ νὰ γίνει
ὑπῆρχε ὁ τριαδικὸς Θεὸς μὸνος καὶ μοναχός του,
φῶς ἄναρχο, φῶς ἄκτιστο κι ἔκφραση ποὺ δὲν ἔχει,
μὰ καὶ Θεὸς ἀθάνατος, μονάχος, δίχως τέλος,
ἀΐδιος, αἰώνιος, καλότατος περίσσια.
Σκέψου καλὰ μόνος Θεὸς ἀρχὴ ἦταν ἡ Τριάδα,
ποὺ ἦταν χωρὶς καμιὰν ἀρχή, πάνω ἀπ' τὶς ἀρχὲς ὅλες,
ἄμοιαστη, ἀκαταμέτρητη σ' ὕψος, βάθος καὶ πλάτος,
ποὺ ὅρια ἡ μεγαλοσύνη της δὲν ἔχει καὶ τὸ φῶς της.
'Αέρα σὰν αὐτὸν ἐδῶ δὲν εἶχε κι οὔτε σκότος,
τὸ φῶς, ὁ αἰθέρας, τὸ νερό, κανένα ἀπ' ὅλα τὰ ὄντα,
καὶ πνεῦμα μοναχὰ ὁ Θεός, φῶς ὅλος πέρα πέρα
καὶ παντοδύναμο μαζὶ βασίλευε καὶ ἄυλο.
'Αγγέλους ἐπλαστούργησε κι ἀρχὲς καὶ ἐξουσίες
καὶ Χερουβίμ, καὶ Σεραφίμ, κυριότητες καὶ θρόνους
κι ὅλα ὅσα δίχως ὄνομα τάγματα ὑπηρετοῦνε,
δίπλα του παραστέκονται μὲ φόβο καὶ μὲ τρόμο.
'Αργότερα τὸν οὐρανὸν ἔφτιασε σὰν καμάρα,
ὑλικὸ ποὺ νὰ φαίνεται, πυκνὸς κι αἰσθητὸς νὰ 'ναι
κι ἀστραπιαῖα τὸν ἅπλωσε ὅπως ἐκεῖνος ξέρει.
Τὴ γῆ μαζὶ καὶ τὰ νερὰ καὶ τὶς ἀβύσσους ὅλες
μέσα στὴ μέση του ἔφτιαξε μὲ μιά του σκέψη μόνο
τέτοια ὅπως τώρα τά 'φτιαξε καθὼς τὰ βλέπομε ὅλα.
Καὶ σὰν ἁπλώθη ὁ οὐρανὸς αἰσθητός, ὅπως εἶπα,
ἔμεινε, μέσα μὴ ἔχοντας τὸ ἄυλο τὸ φῶς,
μὰ οὔτε καὶ τ' ἄυλου τοῦ φωτὸς ἐμπόδισε τὶς λάμψεις.

---

24-26. Ὁ ποιητὴς εἶναι κατηγορηματικός. Ἡ Τριάδα εἶναι Θεὸς 'μόνος μεμονωμένος, φῶς ἄναρχον, φῶς ἄκτιστον, φῶς ἄφραστον εἰς ἅπαν'.

35. Ὁ Θεός, ἐπαναλαμβάνει ὁ Συμεών, εἶναι 'Πνεῦμα... φωτοειδὲς εἰς ἅπαν'. Αὐτὸ εἶναι ἡ μία βασικὴ ἰδέα. Ἡ ἄλλη ἐκφράζεται λίγο πιὸ κάτω.

*Ἔνυλος γάρ, ὡς εἴρηται, ὤν, τῶν ἀΰλων ἔξω,*
*οὐ τόπῳ πάντως, φύσει δὲ εὑρέθη καὶ οὐσίᾳ.*
*Ἐνύλων γὰρ ὁ ἄϋλος ἔστι κεχωρισμένος,*
*οὐκ ἔχων τόπον ἴδιον, ἀπερίγραπτος γάρ ὤν·*
*αὐτὸς λόγῳ τὰ σύμπαντα ἐν ἑαυτῷ παράγει*
*καὶ φύσει ἔστι τῶν κτιστῶν πάντη κεχωρισμένος*
*καὶ φέρων πάντα ἐν αὐτῷ ἔξω ἐστὶ τῶν πάντων.*
*Ὥσπερ γὰρ νοῦς καὶ ἄγγελος τοίχοις καὶ θύραις ἔξω*
*οἰκίας οὐκ ἀπείργονται οὐδὲ κρατοῦνται ἔνδον,*
*οὕτως ὁ τούτων ποιητὴς ὅλως οὐκ ἔξω πέλει,*
*οὐκ ἔνδοθεν τοῦ οὐρανοῦ οὐδ' ἐν ἑτέρῳ τόπῳ,*
*ἀλλ' ἔστι πάντως πανταχοῦ Θεὸς κεχωρισμένος*
*ἐνύλων πάντων καὶ κτιστῶν ὑπ' αὐτοῦ παραχθέντων.*
*Ἐγένετο οὖν οὐρανὸς ἔνυλος καὶ διέστη*
*τῇ φύσει, καθὼς εἴρηται, τοῦ φωτὸς τοῦ ἀΰλου*
*καὶ ἔμεινε δίχα φωτός, οἶκος καθάπερ μέγας.*
*Ὁ δὲ Δεσπότης τοῦ παντὸς τὸν ἥλιον ἀνῆψε*
*καὶ τὴν σελήνην, αἰσθητοῖς αἰσθητῶς ὅπως λάμπῃ,*
*δέδωκε δὲ καὶ ἐν χερσὶ φῶς ἐν νυκτὶ τοῦ φαίνειν,*
*ἀπὸ σιδήρου λίθου τε τικτόμενον ἀρρήτως.*
*Ἐκεῖνος δὲ παντὸς φωτὸς ἐστὶ κεχωρισμένος,*
*ὑπέρφωτος, ὑπέρλαμπρος, ἄστεκτος πάσῃ κτίσει·*
*ὡς γὰρ ἡλίου λάμποντος οὐ φαίνονται τὰ ἄστρα,*
*οὕτως, εἰ λάμψαι βουληθῇ ἡλίου ὁ Δεσπότης,*
*οὐχ ὑποστήσεται πᾶς ζῶν ἀνατολὴν τὴν τούτου.*
*Διὸ συνέζευξε τὸν νοῦν τῷ χοΐ τῷ ἐνύλῳ*
*καὶ ἐν ἐνύλοις τέθηκεν ἡμᾶς ἀνθρώπους πάντας,*
*ἵν' ἐν βεβαίᾳ πίστει γε καὶ ἐντολῶν τηρήσει*
*τόν, ὅνπερ συνεχέαμεν παραβάσεως ζόφῳ,*
*νοῦν ἄϋλον ἐν ὑλικῶν παθῶν ἐπιθυμίᾳ*
*καὶ γεύσει τῇ τῶν ἡδονῶν ἐκκαθάραντες αὖθις,*

---

66. Βλ. Γεν. 1,14 ἑ. 72. Ματθ. 24,27
75. Γεν. 2,7.

῎Οντας, ὡς εἶπα, ἔνυλος, ἀπὸ τὰ ἄυλα ἔξω
δὲ βρέθη νά 'ναι τοπικὰ μὰ στὴν οὐσία, στὴ φύση.
Γιατὶ ὁ ἄυλος ἀπ' τὰ ἔνυλα εἶναι ἀποχωρισμένος,
τόπο δικό του μὴ ἔχοντας καὶ δίχως ὅρια ὄντας.
Αὐτὸς μὲ λόγο μέσα του τὰ σύμπαντα παράγει
καὶ εἶναι ἀπὸ τὴ φύση του ἀπ' τὰ κτιστὰ ὅλα χῶρια·
ἔχοντας ὅλα μέσα του εἶναι ἔξω ἀπὸ τὰ πάντα.
Καθὼς ὁ νοῦς κι ὁ ἄγγελος μὲ τοίχους καὶ μὲ πόρτες
δὲν ἐμποδίζονται νὰ μποῦν στὸ σπίτι εἴτε νὰ βγοῦνε,
ὅμοια κι αὐτὸς ποὺ τά 'κτισε καθόλου δὲν εἶναι ἔξω
οὔτε καὶ μὲς στὸν οὐρανὸ οὔτε καὶ σ' ἄλλον τόπο,
ἀλλὰ εἶναι ὡστόσο πανταχοῦ ὁ Θεός, μὰ χωρισμένος
ἀπ' τὰ ἔνυλα καὶ τὰ κτιστὰ ποὺ ἔχει δημιουργήσει.
῎Εγινε ὁ οὐρανὸς λοιπὸν ἔνυλος καὶ χωρίστη
στὴ φύση, καθὼς εἴπαμε, ἀπὸ τὸ φῶς τὸ ἄυλο
κι ἀπόμεινε μὲ δίχως φῶς, καθὼς μεγάλο σπίτι.
Καὶ τότε ὁ Κύριος τοῦ παντὸς τὸν λαμπρὸ ἀνάβει
ἥλιο καὶ τὸ φεγγάρι, στὰ αἰσθητὰ αἰσθητῶς νὰ λάμπουν·
βάζει στὰ χέρια μας καὶ φῶς νὰ φέγγει μὲς στὴ νύχτα
ποὺ νὰ γεννιέται ἀπόκρυφα ἀπὸ σίδερο καὶ πέτρα.
Μὰ ἐκεῖνος ἀπὸ κάθε φῶς εἶν' ἀποχωρισμένος,
πάνω ἀπὸ λάμψη κι ἀπὸ φῶς, ἡ φύση δὲν τὸν στέργει·
ὅπως ὁ ἥλιος σὰν σκορπᾶ τὸ φῶς του σβήνουν τ' ἄστρα,
ἔτσι ἂν θελήσει ὁ Κύριος τοῦ ἥλιου νὰ φωτίσει
δὲ θὲ ν' ἀντέξει ζωντανὸ ὂν τὴν ἀνατολή του.
Γι' αὐτὸ συνένωσε τὸ νοῦ μὲ τὸ ἔνυλο τὸ χῶμα
καὶ μὲς στὰ ἔνυλα ἔβαλε ὅλους μας τοὺς ἀνθρώπους,
ὥστε μὲ πίστη σταθερὴ τὶς ἐντολὲς τηρώντας,
τὸ νοῦ ποὺ ἀπ' τῆς παράβασης συγχέαμε τὸ ζόφο,
τὸν ἄυλο νοῦ ἀπ' τὴν πεθυμιὰ τῶν ὑλικῶν παθῶν μας
καὶ τὴ γνώση τῶν ἡδονῶν καθαίροντάς τα πάλι,

50. Τὸ 'ἔξω τῶν ἐνύλων' τοῦ Θεοῦ δὲν ἔχει τοπικὴ ἔννοια· Ὁ Θεὸς εἶναι 'φύσει καὶ οὐσίᾳ κεχωρισμένος'· ἀπὸ ὅλα ἐνῶ εἶναι μέσα σὲ ὅλα.

*τὸ ἄϋλον ἐν ὑλικοῖς ἀΰλως καθορῶμεν*
*φῶς, ὅπερ εἶπον, ὅτι ἦν Θεὸς ὑπερανάρχως,*
*ἀόρατον τοῖς αἰσθητοῖς ὀφθαλμοῖς καὶ ἐνύλοις,*
*ἀπρόσιτον τοῖς νοεροῖς ὄμμασι τῆς καρδίας.*
*Θαυμάζω γὰρ πῶς ἡ ψυχή, ὅλη ἄϋλος οὖσα*
*καὶ νοερὸν τὸν τοῦ νοὸς ὀφθαλμὸν κεκτημένη,*
*ὥσπερ θυρίσι γε δυσὶν αἰσθητῶς κεχρημένη*
*τοῦ σώματος τοῖς ὀφθαλμοῖς παρακύπτουσα βλέπει*
*δι' αὐτῶν πάντα ὁρατὰ καὶ πάλιν ὑποστρέφει,*
*τὰ νοητὰ καὶ ἄυλα ἀΰλως καθορῶσα,*
*μέσον δ' ἀφθάρτων καὶ φθαρτῶν ἀρρήτως κρατουμένη·*
*ὑπὸ μὲν τῶν καθέλκεται πρὸς ἡδονάς, πρὸς πάθη,*
*ὑπὸ δὲ τῶν πρὸς οὐρανὸν πτερουμένη ἐκεῖσε*
*μένειν μὲν ἐκβιάζεται, κατασπᾶται δὲ ὅμως*
*καὶ πάλιν ἀναφέρεσθαι ἀεὶ θερμῶς σπουδάζει*
*ἀεροβάμων θέλουσα εἶναι ἐξ ὁρωμένων.*
*Ὡς γὰρ παγίδας βλέπουσα τὰ ἐν τῷ κόσμῳ πάντα*
*φοβεῖται ὅλως ἐν τῇ γῇ πατῆσαι ἢ καθίσαι,*
*ἵνα μὴ πάντως ἐμπαγῇ κρατηθεῖσα ἐν τούτοις*
*καὶ γένηται κατάβρωμα θηρίων ἀνημέρων.*
*Τοιοῦτος ὁ τῶν εὐσεβῶν καὶ πιστῶν καὶ ἁγίων*
*ἁπάντων βίος, ὅνπερ χρὴ ἐκμιμεῖσθαι τὰς πάντας,*
*ἵνα καὶ σὺν αὐτοῖς Χριστῷ, Θεῷ, κριτῇ τῶν πάντων*
*ἀμέμπτως παραστήσονται καὶ κοινωνοὶ τῆς δόξης*
*καὶ βασιλείας τῆς αὐτοῦ ἔσονται εἰς αἰῶνας.*
*Ἀμήν.*

τὸ ἄυλο μὲς στὰ ὑλικὰ φῶς ἄυλα νὰ θωροῦμε,
πού, ὅπως εἶπα, ὁ Θεὸς πρὶν ἀπὸ κάθε ἀρχὴ ’ταν
ἀόρατο στὰ αἰσθητὰ καὶ ἔνυλα μας μάτια,
ἀπρόσιτο στὰ νοερὰ τὰ μάτια τῆς καρδιᾶς μας.
Ἐγὼ ἀπορῶ πῶς ἡ ψυχὴ ποὺ ὁλόκληρη ἄυλη εἶναι
καὶ δίχως ὕλη, νοερὰ ἔχει τοῦ νοῦ τὰ μάτια,
ὅπως θυρίδες αἰσθητὰ τοὺς δυὸ χρησιμοποιώντας,
τοὺς ὀφθαλμοὺς τοῦ σώματος γέρνοντας λίγο βλέπει
ὅλα τριγύρω τὰ ὁρατὰ καὶ πάλι ἐπιστρέφει,
τὰ δίχως ὕλη καὶ νοητὰ ἄυλα παρατηρώντας [των·
στὴ μέση ἄρρητα μένοντας τῶν φθαρτῶν καὶ ἀφθάρ-
ἐκεῖνα πρὸς τὶς ἡδονὲς τὴ σέρνουν καὶ τὰ πάθη
καὶ τοῦτα πρὸς τὸν οὐρανὸ φτερὰ νὰ πάει τῆς δίνουν,
τὴ βιάζουνε νὰ μείνει ἐκεῖ, μ’ αὐτὴ γλιστράει κάτω
καὶ πάλι βιάζεται θερμὰ ἐκεῖ ψηλὰ ν’ ἀνέβει
μετέωρη νά ’ναι θέλοντας πάνω ἀπὸ ὅσα θεωροῦμε.
Καθὼς παγίδες βλέποντας τὰ πράγματα τοῦ κόσμου
φόβος τὴν πιάνει ἐδῶ στὴ γῆ νὰ ρθεῖ νὰ περπατήσει,
μήπως τυχὸν παγιδευτεῖ καὶ κρατηθεῖ ἀπὸ τοῦτα
καὶ γίνει βρώση καὶ τροφὴ ἀνήμερων θηρίων.
Αὐτὸς εἶναι τῶν εὐσεβῶν καὶ τῶν πιστῶν κι ἁγίων
ὅλων ὁ βίος, ποὺ ὅλοι τους νὰ τὸν μιμοῦνται πρέπει,
ὥστε μαζί τους στὸ Χριστό, τὸ Θεό, κριτὴ τῶν ὅλων,
ἄμεμπτα νὰ παρασταθοῦν καὶ κοινωνοὶ τῆς δόξας
μὰ καὶ τῆς βασιλείας του νὰ εἶναι στοὺς αἰῶνες.
’Αμήν.

---

100. Ἰεζ. 34,5.
104. Α΄ Πέτρ. 5,1.

## ΛΘ'

***Ὅτι ὁ πόθος καὶ ἡ πρὸς τὸν Θεὸν ἀγάπη ὑπερβαίνει πᾶσαν ἀγάπην καὶ πάντα πόθον ἀνθρώπινον· βαφεὶς δὲ ὁ νοῦς τῶν καθαιρομένων ἐν τῷ φωτὶ τοῦ Θεοῦ ὅλος θεοῦται καὶ νοῦς ἐκεῖθεν χρηματίζει Χριστοῦ.***

*Ἀμήχανον τὸ κάλλος σου, ἀσύγκριτον τὸ εἶδος,*
*ἡ ὡραιότης ἄφατος, ὑπὲρ λόγον ἡ δόξα,*
*τὸ ἦθος, Δέσποτα Χριστέ, τὸ ἀγαθὸν καὶ πρᾷον*
*τῶν γηγενῶν ὑπέρκειται τὰς ἐννοίας ἁπάντων,*
*καὶ διὰ τοῦτο ὁ πρὸς σὲ πόθος καὶ ἡ ἀγάπη*
*πᾶσαν ἀγάπην τῶν βροτῶν ὑπερνικᾷ καὶ πόθον.*
*Καθ' ὅσον γὰρ ὑπέρκεισαι τῶν ὁρωμένων, Σῶτερ,*
*κατὰ τοσοῦτον ὁ πρὸς σὲ πόθος ὑπάρχει μείζων*
*καὶ συγκαλύπτει ἅπασαν ἀνθρωπίνην ἀγάπην*
*καὶ ἔρωτας τῶν σαρκικῶν ἡδονῶν ἀποτρέπει,*
*ἐπιθυμίας πάσας δὲ ἀποκρούεται τάχος·*
*σκότος γὰρ ὄντως τῶν παθῶν ἐπιθυμία πέλει*
*καὶ νὺξ βαθεῖα τῶν αἰσχρῶν ἁμαρτιῶν ἡ πρᾶξις,*
*φῶς δὲ ὁ ἔρως ὁ πρὸς σὲ καὶ ἡ ἀγάπη, Σῶτερ.*
*Διὸ ἐξανατέλλουσα ἐν ψυχαῖς φιλοθέοις*
*εὐθὺς ἡμέραν ἐμποιεῖ ἀπαθείας, Θεέ μου,*
*ἀποδιώκουσα παθῶν καὶ ἡδονῶν τὸ σκότος –*
*ὢ θαῦμα, ὢ παράδοξον ἔργον Θεοῦ ὑψίστου*
*καὶ μυστηρίων δύναμις τῶν κρυπτῶς τελουμένων!*
*Σὺ καὶ τὰ ἄφθαρτα ἡμῖν καὶ τὰ φθαρτὰ χαρίζῃ,*

---

4. Ρωμ. 8,37.

10. 'Ἔρωτες τῶν σαρκικῶν ἡδονῶν' σὲ ἀντίθεση μὲ τοὺς 'θείους ἔρωτ τοῦ Συμεών.

## 39

**Ὁ πόθος καὶ ἡ ἀγάπη πρὸς τὸ Θεὸ ὑπερβαίνει κάθε ἀγάπη καὶ κάθε πόθο ἀνθρώπινο. Κι ὅταν ὁ νοῦς ἐκείνων ποὺ καθαίρονται βυθιστεῖ μέσα στὸ φῶς τοῦ Θεοῦ θεώνεται καθ' ὁλοκληρία καὶ γίνεται ἔτσι νοῦς Χριστοῦ.**

Ἡ ὀμορφιά σου ἀσύλληπτη κι ἀσύγκριτη ἡ θωριά σου,
ἄφατη ἡ ὡραιότητα, πέρ' ἀπ' τὰ λόγια ἡ δόξα,
ὁ τρόπος σου, Κύριε Χριστέ, πού 'ναι ἀγαθὸς καὶ πρᾶος
πάνω ἀπ' τὴ σκέψη βρίσκεται τῶν γήινων ἀνθρώπων
κι εἶναι γιὰ τοῦτο ποὺ ὁ σ' ἐσένα πόθος μας καὶ ἡ ἀγάπη
κάθε ἀγάπη τῶν θνητῶν καὶ πόθον ὑπερβαίνει.
Ὅσο πιὸ πάνω βρίσκεσαι, Σωτήρα, ἀπ' τὰ φαινόμενα,
τόσο εἶναι πιὸ τρανότερος ὁ πόθος ὁ δικός σου
κι ἀποσκεπάζει κάθε μιὰν ἀγάπη τῶν ἀνθρώπων
καὶ κάθε σαρκικὴ ἡδονὴ κι ἔρωτα ἐμποδίζει
καὶ ἀποδιώχνει γρήγορα κάθε ἐπιθυμία·
γιατί 'ναι ἀλήθεια τῶν παθῶν ἡ ἐπιθυμία τὸ σκότος
καὶ τῶν αἰσχρῶν ἁμαρτιῶν βαθιά εἶναι ἡ πράξη νύχτα
καὶ εἶναι ὁ ἔρωτας σ' ἐσὲ κι ἡ ἀγάπη φῶς, Σωτήρα.
Γιὰ τοῦτο ἀνατέλλοντας μὲς σὲ ψυχὲς φιλόθεες
τὴ μέρα ξημερώνει, Θεέ, ἀμέσως τῆς ἀπάθειας,
τῶν ἡδονῶν καὶ τῶν παθῶν τὸ σκότος κυνηγώντας.
Ὢ θαῦμα καὶ παράδοξον ἔργο τοῦ Θεοῦ τοῦ Ὑψίστου
καὶ δύναμη τῶν μυστηρίων ποὺ μυστικὰ τελοῦνται.
Ἐσὺ καὶ τ' ἄφθαρτα σ' ἐμᾶς καὶ τὰ φθαρτὰ χαρίζεις,

16. Ἡ ἁμαρτία καὶ ἡ προσκόλληση στὰ πάθη εἶναι ἡ νύχτα· ἡ ἀπαλλαγὴ ἀπὸ αὐτὰ εἶναι 'ἡ ἡμέρα τῆς ἀπάθειας'.

*σὺ καὶ τὰ γήϊνα, Θεέ, σὺν τοῖς ἐπουρανίοις,*
*τὰ ἐνεστῶτά τε ὁμοῦ καὶ τὰ μέλλοντα, Λόγε,*
*ὡς πάντων πάντως ποιητής, ὡς ἔχων ἐξουσίαν*
*τῶν οὐρανίων, Δέσποτα, καὶ τῶν καταχθονίων·*
*καὶ πῶς ἡμεῖς οἱ ἄθλιοι ἀγαπῶμεν ἀνθρώπους*
*ὑπὲρ σὲ πλέον καὶ αὐτοῖς δουλούμεθα ἀθλίως,*
*ἵνα μικρὰ ληψόμεθα καὶ φθαρτὰ παρ' ἐκείνων*
*καὶ αὐτοῖς ἐκδιδόαμεν ψυχὰς ἡμῶν ἀθλίας*
*καὶ σώματα ὡς ἄτιμα σκεύη τοῦ καταχρᾶσθαι;*
*Καὶ μέλη ὄντες, Δέσποτα, σοῦ τοῦ πάντων Δεσπότου*
*ἁγίου, πάντως ἅγια αὐτοκρατοῦς Δεσπότου,*
*τοῖς πονηροῖς οὐ φρίττομεν δαίμοσιν αὐθαιρέτως*
*ῥίπτειν αὐτοὺς εἰς ἄτιμα τῆς ἁμαρτίας ἔργα;*
*Τίς οὖν μὴ κλαύσῃ τῶν πιστῶν καὶ γνησίων σου δούλων,*
*τίς μὴ θρηνήσῃ τῆς πολλῆς αὐθαδείας τὴν τόλμαν;*
*Τίς δὲ μὴ φρίξῃ τὴν πολλὴν ἀνοχήν σου, Θεέ μου,*
*τίς μὴ τρομάσῃ κρίσεως ἀνταπόδοσιν θείας,*
*τὸ ἄστεκτον καὶ ἄσβεστον πῦρ, οἴμοι, τὸ τῆς γεέννης,*
*ἔνθα κλαυθμός τε καὶ βρυγμὸς ὑπάρχει τῶν ὀδόντων*
*καὶ πόνος ἀπαράκλητος καὶ ἄφραστος ὀδύνη;*
*Ἀλλ', ὦ ἥλιε ἡλίου καὶ σελήνης,*
*ἀστέρων πάντων καὶ φωτὸς καὶ παντὸς ἄλλου κτίστα,*
*τούτων ἔξω με κρύψον ἐν τῷ φωτί σου,*
*ἵνα μόνον σὲ βλέπων ἐν τῷ φωτί σου,*
*κόσμον μὴ ὁρῶ μηδὲ τὰ ἐν τῷ κόσμῳ,*
*ἀλλὰ καὶ βλέπων ἔσομαι ὡς μὴ βλέπων*
*καὶ ἀκούων ὡς μὴ ἀκούων, Λόγε,*
*καὶ καθώσπερ πάσχουσιν οἱ ἐν τῷ σκότει*
*καθεζόμενοι τῶν ἡδονῶν τοῦ βίου,*
*– φιλοδοξίας σκότει κεκαλυμμένοι,*
*βλέποντες οὐ βλέπουσι δόξαν σου θείαν*
*καὶ ἀκούοντες οὐ συνιοῦσιν ὅλως*

---

24. Φιλ. 2,10. 30. Α' Κορ. 6,15. 37. Ἠσ. 34,8.

ἐσύ, Θεέ μου, τὰ γήινα μαζὶ καὶ τὰ ἐπουράνια,
μαζὶ τὰ τωρινὰ ἀγαθὰ κι ὅσα μᾶς μέλλουν, Λόγε,
ἀφοῦ ὅλων εἶσαι ὁ δημιουργὸς κι ἔχεις τὴν ἐξούσια
πάνω στὰ οὐράνια, Δέσποτα, μὰ καὶ στὰ καταχθόνια.
Καὶ τοὺς ἀνθρώπους πῶς ἐμεῖς οἱ ἄθλιοι ἀγαποῦμε
πάνω ἀπὸ σένα καὶ σ' αὐτοὺς σκλάβοι τους καταντοῦμε
μικρὲς κι ἀπολαβὲς φθαρτὲς νὰ λάβομε ἀπὸ ἐκείνους
καὶ παραδίνομε σ' αὐτοὺς τὶς ἄθλιες ψυχές μας [ση;
καὶ τὰ κορμιὰ –σκεύη ἄτιμα– γι' ἀταίριαστή τους χρή-
Καὶ μέλη ὄντας, Δέσποτα, δικά σου, ποὺ εἶσαι ἅγιος,
Κύριος ὅλων, κι ἅγια αὐτά, Δεσπότη αὐτοκυρίαρχου,
δὲ φρίττομε νὰ πέφτομε στοὺς πονηροὺς δαιμόνους
μὲ θέλησή μας γιὰ ἄτιμα τῆς ἁμαρτίας ἔργα; [δούλους
Ποιὸς δὲ θὰ κλάψει τοὺς πιστοὺς καὶ γνήσιούς σου
καὶ τὴν πολλὴ κι ἀπόκοτη δὲ θὰ θρηνήσει αὐθάδεια;
Ποιὸς γιὰ τὴν πολλή σου ἀνοχή, Θεέ μου, δὲ θὰ φρίξει,
τῆς θείας κρίσης τὴν ποινὴ ποιός δὲ θὰ τὴν τρομάξει,
τὴν ἄσβηστη κι ἀβάσταγη φωτιά, ἀλί, τῆς γέεννας,
ὅπου κλαυθμὸς καὶ χτύπημα δοντιῶν ἠχολογάει,
πόνος ἀπαρηγόρητος κι ἀνέκφραστη ὀδύνη;
Μά, ὦ ἥλιε, δημιουργὲ τοῦ ἡλίου καὶ τῆς σελήνης,
ὅλων τῶν ἀστεριῶν κι ὅποιου φωτὸς ὑπάρχει,
κρύψε με ἔξω ἀπ' αὐτὰ μὲς στὸ φῶς τὸ δικό σου,
ὥστε θωρώντας μὲς στὸ φῶς σου μόνο ἐσένα
νὰ μὴ θωρῶ τὸν κόσμο μήτε ὅσα τοῦ κόσμου,
ἀλλὰ καὶ βλέποντας θὰ εἶναι σὰ νὰ μὴ βλέπω
καὶ θά 'ναι πάλι ἀκούοντας, Λόγε, σὰ νὰ μὴν ἀκούω.
Κι ὅπως πονοῦν αὐτοὶ ποὺ μέσα στὸ σκοτάδι
τῶν ἡδονῶν τοῦ βίου ζοῦν καὶ κινοῦνται
–τὸ σκότος τῆς φιλοδοξίας τυλιγμένοι,
βλέπουνε μὰ δὲ βλέπουν τὴ θεϊκή σου δόξα
καὶ δὲν ἐννοοῦν καθόλου κι ἂς ἀκοῦνε

38. Ματθ. 13,42. 51. Ματθ. 13,13.

*τὰς ἐντολάς σου καὶ τὰ προστάγματά σου –,*
*οὕτω κἀγὼ ἔσομαι ἐν τῷ φωτί σου*
*μὴ βλέπων κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ.*
*Τίς γὰρ ἰδών σε καὶ ἀστραφθεὶς αἰσθήσεις*
*ἐκ τῆς δόξης σου, ἐκ φωτός σου τοῦ θείου,*
*οὐκ ἠλλοιώθη νοῦν, ψυχὴν καὶ τὰς φρένας,*
*καὶ βλέπειν ἄλλως καὶ ἀκούειν ὡσαύτως,*
*Σῶτερ, κατηξίωται πανεξαισίως;*
*Ἐμβάπτεται γὰρ ὁ νοῦς ἐν τῷ φωτί σου*
*καὶ λαμπρύνεται καὶ φῶς ἀποτελεῖται*
*ὅμοιον τῆς δόξης σου, καὶ νοῦς καλεῖται*
*σὸς ὁ τοιοῦτος ἀξιωθεὶς γενέσθαι,*
*καὶ νοῦν ἔχειν σὸν τότε καταξιοῦται*
*καὶ ἓν μετὰ σοῦ γίνεται ἀχωρίστως·*
*καὶ πῶς μὴ βλέπει ὥσπερ σὺ καὶ ἀκούει*
*πάντα ἀπαθῶς; Πῶς δὲ ἐπιθυμήσει*
*Θεὸς γεγονὼς αἰσθητοῦ τινος ὅλως*
*ρευστοῦ καὶ φθαρτοῦ πράγματος εἴτε δόξης,*
*ὁ ὑπεράνω γεγονὼς τούτων πάντων*
*καὶ ὑπὲρ πᾶσαν δόξαν τὴν ὁρωμένην;*
*Ὑπεράνω γὰρ πάντων τῶν ὁρωμένων*
*ὁ γενόμενος καὶ Θεῷ πλησιάσας,*
*μᾶλλον δὲ Θεὸς καὶ αὐτὸς χρηματίσας,*
*πῶς ἐκ τῶν κάτω κειμένων δόξαν ὅλως*
*ἢ τρυφὴν θελήσειεν ἐπιζητῆσαι;*
*Ταῦτα γὰρ αὐτῷ αἰσχύνη ὄντως πέλει,*
*ὕβρις, ἐξουδένωσις καὶ ἀτιμία.*
*Δόξα δὲ αὐτῷ καὶ τρυφή τε καὶ πλοῦτος*
*Θεός, ἡ Τριάς, καὶ τὰ Θεοῦ καὶ θεῖα,*
*ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ κράτος*
*ἀεί τε καὶ νῦν καὶ εἰς πάντας αἰῶνας.*
*Ἀμήν.*

---

65. Ρωμ. 11,34. 82. Α΄ Πέτρ. 4,11.

τὶς ἐντολὲς καὶ τὰ προστάγματά σου –,
ἔτσι κι ἐγὼ μέσα στὸ φῶς σου θά 'μαι,
κόσμο μὴ βλέποντας κι ὅσα τοῦ κόσμου.
Ποιός ὅταν σ' εἶδε κι ἄστραψαν οἱ αἰσθήσεις του
ἀπὸ τὴ δόξα καὶ τὸ θεῖο τὸ φῶς σου
δὲν ἔνιωσε ν' ἀλλάζει ὁ νοῦς, τὰ φρένα κι ἡ ψυχή του
καὶ δὲν ἀξιώθηκε πανθαύμαστα, Σωτῆρα,
καὶ ἀλλιώτικα ν' ἀκούει κι ἀλλιῶς νὰ βλέπει;
Βυθίζεται ὁ νοῦς μέσα στὸ φῶς σου,
καταφωτίζεται κι ἀποτελειώνεται σὲ φῶς
παρόμοιο μὲ τὴ δόξα σου, καὶ νοῦς καλεῖται
δικός σου ὅποιος ἀξιώθηκε νὰ γίνει φῶς,
καὶ ἀξιώνεται τὸ νοῦ σου τότε νά 'χει
κι ἀχώριστα μαζί σου γίνεται ἕνα.
Πῶς νὰ μὴ βλέπει καὶ νὰ μὴν ἀκούει ὅπως ἐσὺ
μ' ἀπάθεια τὰ πάντα; Πῶς νὰ ἐπιθυμήσει
–ἐνῶ ἔγινε θεὸς– κάτι αἰσθητό, ρευστὸ
μά καὶ φθαρτὸν ὁλότελα εἴτε δόξα,
αὐτὸς ποὺ πάνω ἀπ' ὅλα τοῦτα ἀνέβηκε
καὶ πάνω ἀπὸ τὴ δόξα αὐτὴν ποὺ βλέπομε;
Γιατὶ ὅποιος πάνω ἀπ' ὅσα βλέπομε
ἀνέβηκε καὶ στὸ Θεὸν ἐβρέθηκε κοντά,
ἢ μᾶλλον θεὸς ἀφοὺ χρημάτισε κι ὁ ἴδιος,
πῶς ἀπ' αὐτοὺς ποὺ χάμω κείτονται νὰ ἀναζητήσει
δόξα ἢ τρυφὴ καθόλου θὰ θελήσει;
Εἶναι ὅλα αὐτὰ ντροπὴ γι' αὐτὸν στ' ἀλήθεια,
προσβολή, ἐξουδένωση καὶ ἀτιμία.
Δική του δόξα καὶ τρυφὴ καὶ πλοῦτος
πού 'ναι ὁ Θεός, ἡ Τριάδα, ὅσα τοῦ Θεοῦ καὶ θεῖα.
Στὸν ὁποῖο πρέπει ὅλη ἡ δόξα κι ἡ τιμὴ
κι ἡ δύναμη τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες.
'Αμήν.

---

55. Κλείνοντας τὰ μάτια στὸν κόσμο ἀνοίγονται στὸ Θεό.

# Μ'

**Ὁμολογία τῆς χάριτος τῶν τοῦ Θεοῦ δωρεῶν, καὶ ὅπως ὁ ταῦτα γράφων πατὴρ ὑπὸ τοῦ ἁγίου ἐνεργεῖτο Πνεύματος· καὶ διδασκαλία ρηθεῖσα ὑπὸ Θεοῦ, τοῦ τί δεῖ ποιοῦντά τινα· τῆς τῶν σῳζομένων σωτηρίας τυχεῖν.**

*Πάλιν ἐκλάμπει μοι τὸ φῶς, πάλιν τρανῶς ὁρᾶται,*
*πάλιν ἀνοίγει οὐρανούς, πάλιν τέμνει τὴν νύκτα,*
*πάλιν παράγει ἅπαντα, πάλιν ὁρᾶται μόνον,*
*πάλιν ἁπάντων ἔξω με ποιεῖ τῶν ὁρωμένων,*
*τῶν αἰσθητῶν ὡσαύτως δέ, βαβαί, ἀποχωρίζει.*
*Πάλιν ὁ πάντων οὐρανῶν ὑπεράνω τυγχάνων,*
*ὅνπερ οὐδεὶς ἑώρακε πώποτε τῶν ἀνθρώπων,*
*μὴ διανοίγων οὐρανούς, μὴ διατέμνων νύκτα,*
*μηδὲ ἀέρα διϊστῶν μηδὲ στέγην οἰκίας*
*ἀτόμως ὅλος μετ' ἐμοῦ γίνεται, τοῦ ἀθλίου,*
*ἔνδοθεν τοῦ κελλίου μου, ἔνδοθεν τοῦ νοός μου*
*καὶ μέσον τῆς καρδίας μου, ὢ φρικτοῦ μυστηρίου!*
*Μενόντων πάντως ὡς εἰσι, παραγίνεται πρός με*
*τὸ φῶς καὶ ἀναφέρει με τῶν πάντων ὑπεράνω,*
*καὶ μέσον πάντων ὄντων με ἔξω ποιεῖ τῶν πάντων.*
*Οὐκ οἶδα εἰ καὶ σώματι, τέως δ' ἐκεῖσε ὅλος*
*ἐπ' ἀληθείας γίνομαι, ἔνθα φῶς ἐστι μόνον,*
*ἁπλοῦν, ὃ βλέπων γίνομαι ἁπλοῦς τῇ ἀκακίᾳ.*
*Ταῦτά σου τὰ παράδοξα, Χριστέ μου, τῶν θαυμάτων,*

---

2. Ματθ. 3,16. 6. Ἐφ. 4,10.
7. Α' Τιμ. 6,16. 8. Πράξ. 7,56.
14. Ἐφ. 4,10. 16. Β' Κορ. 12,2.

## 40

**Ὁμολογία τῶν δωρεῶν τῆς χάριτος τοῦ Θεοῦ, καὶ πῶς τὸ χέρι τοῦ πατέρα, ποὺ γράφει αὐτά, τὸ κινοῦσε τὸ ἅγιο Πνεῦμα. Ἀκόμα διδασκαλία ἀπὸ τὸ Θεὸ γιὰ τὸ τί πρέπει νὰ κάνει κάποιος, γιὰ νὰ ἐπιτύχει τὴ σωτηρία ἐκείνων ποὺ σώζονται.**

Πάλι τὸ θεῖο μὲ λούζει φῶς, πάλι λαμπρὸ τὸ βλέπω,
πάλι τοὺς οὐρανοὺς ἀνοίγει, πάλι τὴ νύχτα σκίζει,
πάλι τὰ πάντα φέρνει μας, πάλι τὸ βλέπω μόνο,
ἀπ' ὅσα βλέπω γύρω μου πάλι μὲ βγάζει ἔξω
κι ἐπίσης κι ἀπ' τὰ αἰσθητὰ πάλι μ' ἀποχωρίζει.
Αὐτὸς ποὺ πάνω βρίσκεται ἀπ' τοὺς οὐρανοὺς ὅλους,
ποὺ δὲν τὸν ἔχει δεῖ κανεὶς ἀπ' ὅλους τοὺς ἀνθρώπους,
χωρὶς νὰ σκίζει τὴ νυχτιά, τοὺς οὐρανοὺς νὰ ἀνοίγει,
ἢ τὸν αἰθέρα ἢ τοῦ σπιτιοῦ τὴ στέγη νὰ χωρίζει
ἀδιαίρετα ὅλος ἔρχεται στὸν ἄθλιο ἐμένα,
καὶ μπαίνει μέσα στὸ κελλί, μπαίνει μέσα στὸ νοῦ μου
καὶ μὲς στὰ βάθη τῆς καρδιᾶς, ὢ τὸ φριχτὸ μυστήριο!
Ἐνῶ τὰ πάντα μένουνε καθὼς εἶναι σ' ἐμένα,
φτάνει τὸ φῶς καὶ πιὸ ψηλὰ ἀπ' ὅλα μ' ἀνεβάζει,
κι ἐνῶ μὲς σὲ ὅλα βρίσκομαι μὲ βγάζει ἔξω ἀπ' ὅλα.
Δὲν ξέρω ἂν μὲ τὸ σῶμα μου, μὰ ἐκεῖ ἀκέριος τότε
ἐγὼ στ' ἀλήθεια βρίσκομαι ὅπου φῶς μόνο ὑπάρχει,
ἁπλὸ καὶ βλέποντάς το ἁπλὸ στὴν ἀκακία μὲ κάνει.
Αὐτὰ εἶναι τὰ παράδοξα, Χριστέ μου, θαύματά σου,

16. Ἡ κατάσταση ποὺ ζεῖ ὁ Συμεὼν σχετίζεται ὁπωσδήποτε μὲ τὴν κατάσταση τοῦ Παύλου (Β' Κορ. 12,2).

*ταῦτα τῆς δυναστείας σου καὶ τῆς φιλανθρωπίας*
*τὰ ἔργα, ἅπερ εἰς ἡμᾶς ποιεῖς τοὺς ἀναξίους·*
*διὰ τοῦτο οὖν φόβος σου συνέχει με καὶ τρέμω*
*καὶ μεριμνῶ διηνεκῶς καὶ δαπανῶμαι σφόδρα,*
*τὸ τί ἀνταποδώσω σοι, τό τί σοι προσενέγκω*
*ἀντὶ τοσούτων δωρεῶν, τοσαύτης εὐσπλαγχνίας,*
*ἀναριθμήτων δωρεῶν, ὧν εἰς ἐμὲ εἰργάσω.*
*Μηδὲν δ' εὑρίσκων ἐν ἐμοί, μηδὲν ἐμὸν ἐν βίῳ,*
*ἀλλὰ τὰ πάντα δοῦλα σά, ἔργα πάντα χειρῶν σου*
*μειζόνως καταισχύνομαι, μειζόνως ὀδυνῶμαι,*
*μειζόνως, Σῶτερ, δυσωπῶ μαθεῖν, τί δεῖ ποιῆσαι,*
*ἵνα θεραπεύσω σε, ἵνα εὐαρεστήσω,*
*ἵν' εὑρεθῶ ἐνώπιον ἀκατάκριτος, Σῶτερ,*
*τοῦ βήματός σου τοῦ φρικτοῦ ἐν ἡμέρᾳ τῆς δίκης.*
*– Ἄκουσον τί ποιήσειε πᾶς ὁ μέλλων σωθῆναι,*
*μᾶλλον δὲ πρῶτος πάντων σὺ ὁ καὶ παρακαλῶν με!*
*Σήμερον, δόξον, τέθνηκας, σήμερον ἀπετάξω,*
*σήμερον κόσμον ἅπαντα νόμισον καταλεῖψαι!*
*Σήμερον φίλους, συγγενεῖς, δόξαν ματαίαν πᾶσαν*
*ἀφεὶς ὁμοῦ ἀπάρνησαι καὶ μέριμναν τῶν κάτω*
*καὶ ἐπὶ ὤμων τὸν σταυρὸν ἆρον, σφοδρῶς τε σφίγξον*
*καὶ μέχρι τέλους βάστασον τῶν πειρασμῶν τοὺς πόνους,*
*ὀδύνας τε τῶν θλίψεων καὶ λυπηρῶν τοὺς ἥλους*
*περιχαρῶς κατάδεξαι, ὥσπερ στέφανον δόξης,*
*τῶν ὕβρεων ταῖς λόγχαις δὲ βαλλόμενος καθ' ὥραν*
*καὶ λιθαζόμενος σφοδρῶς ἁπάσαις ἀτιμίαις*
*δάκρυα ἀντὶ αἵματος προχέων ἔσῃ μάρτυς,*
*καὶ ἐμπαιγμοὺς καὶ ῥαπισμοὺς φέρων παντευχαρίστως*
*τῆς ἐμῆς ἔσῃ κοινωνὸς θεότητος καὶ δόξης.*
*Ἐὰν δὲ πάντων ἔσχατον σεαυτὸν ἀποδείξῃς*
*καὶ δοῦλον καὶ διάκονον, πρῶτον ἐκείνων πάντων*

---

33. Β' Κορ. 5,10 καὶ Ματθ. 12,36. 39. Ματθ. 16,24.
43. Α' Πέτρ. 5,4. 50. Ματθ. 19,30.

αὐτὰ τοῦ μεγαλείου σου καὶ τῆς φιλανθρωπίας
τὰ ἔργα σου εἶναι, ποὺ σ' ἐμᾶς χαρίζεις τοὺς ἀνάξιους.
Γι' αὐτὸ λοιπὸν ὁ φόβος σου βαθιὰ μὲ συγκλονίζει,
τρέμω, φροντίζω ἀδιάκοπα καὶ λιώνω ἀπὸ ἀγωνία,
τί νὰ σοῦ ἀνταποδώσω ἐγὼ καὶ τί νὰ σοῦ προσφέρω
ἀντὶ γιὰ τόσες δωρεὲς γιὰ τόσην εὐσπλαχνία,
χάρες ὁποὺ ἔκανες σ' ἐμὲ καὶ μετρημὸ δὲν ἔχουν.
Κι ἀφοῦ δὲ βρίσκω τίποτε μέσα μου ἢ στὴ ζωή μου,
μὰ ὅλα ἐσένα ὑπηρετοῦν κι εἶναι ἔργα τῶν χεριῶν σου,
νιώθω τρανότερη ντροπὴ καὶ πιὸ μεγάλη ὀδύνη
καὶ πιὸ θερμὰ παρακαλῶ, Σωτήρα, τί νὰ κάνω
γιὰ νὰ σὲ ὑπηρετήσω ὀρθὰ καὶ νὰ σοῦ εὐαρεστήσω
καὶ νὰ βρεθῶ ἀκατάκριτος, Σωτήρα μου, μπροστά σου,
μπροστὰ στὸ βῆμα τὸ φριχτὸ στῆς κρίσης τὴν ἡμέρα.
–῎Ακου ὅποιος μέλλει νὰ σωθεῖ τί πρέπει γιὰ νὰ κάνει
κι ἀπ' ὅλους πρῶτος τώρα ἐσὺ θερμὰ ποὺ μ' ἱκετεύεις.
῞Οτι σήμερα πέθανες, πίστεψε, κι ἀπαρνήθης,
τὸν κόσμον ὅλο σήμερα νόμισε πὼς ἀφήνεις!
Σήμερα φίλους, συγγενεῖς καὶ κάθε μάταιη δόξα
μαζὶ ἄφησες κι ἀρνήθηκες κάθε τῆς γῆς φροντίδα
καὶ τὸ σταυρὸ στὸν ὦμο σου μὲ δύναμη κρατώντας
μέχρι τὸ τέλος ἄντεξε τῶν πειρασμῶν τοὺς πόνους.
Τὶς μαχαιριὲς τῶν θλίψεων καὶ τὰ καρφιὰ τῶν πόνων
ὁλόχαρος νὰ τὰ δεχτεῖς καθὼς στεφάνι δόξας.
Κι ἂν σὲ τρυποῦν κάθε στιγμὴ τῶν προσβολῶν οἱ λόγχες
καὶ δέχεσαι καταιγισμὸ ἀπὸ πέτρες ἀτιμίας,
μάρτυρας θὰ εἶσαι χύνοντας ἀντὶ γιὰ αἷμα δάκρυα·
κι ἐμπαιγμοὺς καὶ ραπίσματα ἂν δέχεσαι εὐχαρίστως,
τῆς θεότητάς μου κοινωνὸς θὰ γίνεις καὶ τῆς δόξας.
Κι ἂν τὸν ἑαυτό σου ἔσχατον ἀπ' ὅλους ἀποδείξεις
καὶ δοῦλο κι ὑπηρέτη τους, ἀπ' αὐτοὺς ὅλους πρῶτο

---

24. Τὰ ἐξαίσια αὐτὰ ὁράματα γεννοῦν σ' αὐτὸν τὴν ἰδέα ἀνταπόδοσης.

34. Μὲ τὸν τρόπο ποὺ ἐκθέτει στοὺς παρακάτω στίχους ἀποβάλλει τὸν τρόπο τῆς ἀνταπόδοσης τῆς δωρεᾶς.

*ὕστερον ἀποδείξω σε, καθάπερ ὑπεσχόμην.*
*Εἰ ἀγαπήσεις τοὺς ἐχθροὺς καὶ πάντας τοὺς μισοῦντας,*
*τῶν ἐπηρεαζόντων τε ἐκ ψυχῆς ὑπερεύξῃ*
*καὶ ἀγαθοποιήσειας τούτους κατὰ τὸ δυνατόν σοι,*
*ὅμοιος ὄντως γέγονας τοῦ ὑψίστου Πατρός σου*
*καὶ τὴν καρδίαν καθαρὰν κτησάμενος ἐκ τούτων*
*ἐν ταύτῃ ὄψει τὸν Θεόν, ὃν οὐδείς ποτε εἶδεν.*
*Εἰ δὲ καὶ διωχθῆναί σε ὑπὲρ δικαιοσύνης*
*γένηται, τότε σκίρτησον, ὅτι ἡ βασιλεία*
*τῶν οὐρανῶν σὴ γέγονε –καὶ ποῖον τούτου μεῖζον;*
*Ταῦτα καὶ τούτων πλείονα, ἅπερ ἐνετειλάμην,*
*πρᾶξον καὶ ἄλλους δίδαξον, καὶ σὺ καὶ πάντες ἄλλοι*
*οἱ εἰς ἐμὲ πιστεύοντες, εἰ βούλοισθε σωθῆναι*
*καὶ σὺν ἐμοὶ αὐλίζεσθαι εἰς αἰῶνας αἰώνων!*
*Εἰ δέ γε ἀπαναίνεσθε καὶ δυσανασχετεῖτε,*
*αἰσχύνην τε λογίζεσθε ταῦτα καὶ ἀτιμίαν*
*παθεῖν καὶ θεῖναι τὰς ψυχὰς ὑπὲρ τῶν ἐντολῶν μου,*
*τί καὶ αἰτεῖσθε τοῦ μαθεῖν πῶς δεῖ ὑμᾶς σωθῆναι*
*ἐν ποίαις τε ταῖς πράξεσιν ἐμοὶ οἰκειωθῆναι;*
*Τί δέ με καὶ Θεὸν ὑμῶν ὀνομάζετε ὅλως,*
*τί καὶ πιστεύειν οἴεσθε εἰς ἐμὲ ἀσυνέτως;*
*Ἐγὼ γὰρ ταῦτα δι' ὑμᾶς ἔπαθον ἑκουσίως·*
*ἐσταυρώθην, ἀπέθανον θάνατον τῶν κακούργων,*
*καὶ δόξα κόσμου γέγονε, ζωή τε καὶ λαμπρότης,*
*καὶ νεκρῶν ἐξανάστασις καὶ καύχημα ἁπάντων*
*τῶν πιστευσάντων εἰς ἐμὲ τὰ εἰς ἐμὲ ὀνείδη,*
*καὶ ὁ ἀσχήμων θάνατος ἔνδυμα ἀφθαρσίας*
*καὶ ἀληθοῦς θεώσεως πᾶσι πιστοῖς ὑπῆρξε.*
*Διὸ καὶ οἱ μιμούμενοι τὰ ἐμὰ σεπτὰ πάθη*
*συμμέτοχοι ὑπάρξουσι καὶ τῆς θεότητός μου*

---

52. Λουκᾶ 6,27. 56. Α' Τιμ. 1,5. 58. Ματθ. 5,10.
61. Ἰω. 15,14. 62. Ματθ. 5,19. 67. Ἰω. 15,13.
73. Β' Τιμ. 2,9. 75 Φιλ. 3,11. 76. Β' Κορ. 12,9–10.
77. Α' Κορ. 15,52. 80. Ρωμ. 8,17.

θὰ σ' ἀποδείξω ἀργότερα, ὡς εἶναι ἡ ὑπόσχεσή μου.
῎Αν ἀγαπήσεις κάθε ἐχθρὸ καὶ ὅλους ποὺ σὲ μισοῦνε,
κι ἂν εὐχηθεῖς ὁλόψυχα γι' αὐτοὺς ποὺ τὸ κακό σου
ποθοῦν κι αὐτοὺς ὅσο μπορεῖς σὺ τοὺς εὐεργετήσεις,
στ' ἀλήθεια ὅμοιος ἔγινες τοῦ οὐράνιου σου Πατέρα
καὶ τὴν καρδιά σου καθαρὴ μὲ τοῦτα κάνοντάς την
θὰ δεῖς ἐντός της τὸ Θεὸν ὅπου κανεὶς δὲν εἶδε.
Κι ἂν σοῦ συμβεῖ καὶ νὰ διωχθεῖς γιὰ τὴ δικαιοσύνη
ἔ, τότε πλέον σκίρτησε, γιατὶ ἔγινε δική σου
ἡ βασιλεία τῶν οὐρανῶν, καὶ τί 'ναι πιὸ μεγάλο;
Αὐτὲς κι ἄλλες μου ἐντολὲς πιὸ πολλὲς ἀπὸ τοῦτες,
πράξε καὶ σ' ἄλλους δίδαξε κι ἐσὺ καὶ ὅλοι οἱ ἄλλοι,
ἂν νὰ σωθεῖτε θέλετε ὅσοι πιστοὶ σ' ἐμένα
καὶ νά 'στε στὴ δική μου αὐλὴ στοὺς αἰῶνες τῶν αἰώνων.
᾿Αλλὰ ἂν ἐσεῖς δὲ θέλετε καὶ δυσανασχετεῖτε
καὶ γιὰ ντροπὴ λογιάζετε μαζὶ καὶ ἀτιμία
νὰ πάθετε καὶ τὴ ζωὴ νὰ δώσετε γιὰ μένα,
τί θέλετε νὰ μάθετε πῶς πρέπει νὰ σωθεῖτε
καὶ ποιό δικό σας φέρσιμο κοντά μου θὰ σᾶς φέρει;
Μὰ καὶ πῶς μ' ὀνομάζετε στὸ κάτω κάτω Θεό σας
κι ἀνόητα πῶς νομίζετε κι ὅτι πιστοί μου εἶστε;
᾿Εγὼ γιὰ χάρη σας αὐτὰ θέλοντας τά 'χω πάθει·
σταυρώθηκα καὶ πέθανα θάνατο τῶν κακούργων,
τοῦ κόσμου δόξα ποὺ ἔγινε, ζωὴ καὶ μεγαλεῖο,
κι ἀνάσταση ἀπὸ τοὺς νεκροὺς καὶ καύχημα ἔτσι ὅλων
ὅσοι σὲ ἐμένα πίστεψαν· καὶ ὅλοι οἱ ὀνειδισμοί μου
κι ἡ ἐξευτελιστικὴ θανὴ φόρεμα ἀφθαρσίας
καὶ θέωσης ἀληθινῆς γιὰ τοὺς πιστούς μου ἐστάθη.
Γιὰ τοῦτο κι ὅσοι τὰ σεπτὰ τὰ πάθη μου μιμοῦνται
θὰ γίνουν ὅλοι κοινωνοὶ καὶ τῆς θεότητάς μου

---

79. ᾿Επαναλαμβάνει ὅ,τι εἶπε καὶ σὲ προηγούμενο ποίημα: Συμμέτοχοι τῆς θεότητάς του θὰ γίνουν ὅσοι μιμοῦνται τὰ σεπτὰ πάθη του (Βλ. ὕμνο 36).

*καὶ βασιλείας τῆς ἐμῆς ἔσονται κληρονόμοι,*
*συγκοινωνοί τε ἀγαθῶν ἀφράστων, ἀπορρήτων*
*γενήσονται καὶ σὺν ἐμοὶ ἔσονται εἰς αἰῶνας.*
*Τοὺς δ' ἄλλους τίς μὴ κλαύσει γε, τίς αὐτοὺς μὴ θρηνήσε*
*τίς μὴ σταλάξει δάκρυον ἐκ συμπαθοῦς καρδίας,*
*τίς μὴ πενθήσει τὴν αὐτῶν πολλὴν ἀναισθησίαν,*
*ὅτι ἀφέντες τὴν ζωὴν ἑαυτοὺς τῷ θανάτῳ*
*παραδεδώκασι Θεοῦ δεινῶς ἀπορραγέντες; –*
*Ὧν τῆς μερίδος ῥῦσαί με, Δέσποτα τῶν ἁπάντων,*
*καὶ κοινωνὸν γενέσθαι με παθῶν σου τῶν ἀχράντων*
*ἀξίωσον τὸν εὐτελῆ καὶ ἔσχατόν σου δοῦλον,*
*ὅπως –ὡς εἴρηκας, Θεὲ– καὶ κοινωνὸς ὑπάρξω*
*τῆς δόξης σου καὶ τῆς τρυφῆς τῶν ἀγαθῶν σου, Λόγε,*
*νῦν μὲν ὡς ἐν αἰνίγματι καὶ τύπῳ καὶ ἐσόπτρῳ,*
*τότε δὲ ἐπιγνώσομαι, ὅσον καὶ ἐπεγνώσθην.*
*Ἀμήν.*

καὶ κληρονόμοι τῆς δικῆς μου θά 'ναι βασιλεῖας,
καὶ μυστικῶν κι ἀνείπωτων καλῶν συγκληρονόμοι
θὰ γίνουν καὶ θὰ μείνουνε μαζί μου στοὺς αἰῶνες.
Τοὺς ἄλλους δὲ θὰ κλάψει ποιός καὶ ποιός δὲ θὰ θρηνήσει
καὶ ποιὸς ἀπὸ συμπόνεση γι' αὐτοὺς δὲ θὰ δακρύσει,
τὴν ἄκρα ἀνοησία τους καὶ ποιός δὲ θὰ πενθήσει,
ποὺ τὴ ζωῆ τους ἄφησαν κι ἔδωσαν τὸν ἑαυτό τους
στὸ θάνατο ἀπὸ τὸ Θεὸ φρικτὰ ξεκλαδισμένοι;–
Τῶν ὅλων Κύριε, σῶσε με ἀπὸ τὴ μερίδα τούτων,
καὶ τῶν παθῶν σου κοινωνὸς νὰ γίνω τῶν ἀχράντων
τὸν ταπεινό σου ἀξίωσε καὶ τελευταῖο σου δοῦλο,
ὥστε, καθῶς μᾶς εἶπες, Θεέ, καὶ κοινωνὸς νὰ γίνω
τῆς δόξας σου καὶ τῆς τρυφῆς τῶν ἀγαθῶν σου, Λόγε,
τὴν ὥρα αὐτὴ σὰν σ' αἴνιγμα κι εἰκόνα καὶ καθρέφτη
καὶ τότε νὰ σὲ μάθω πιὰ ὅσο καὶ μ' ἔχεις μάθει.

'Αμήν.

---

90. Β΄ Κορ. 1,7.
92. Α΄ Πέτρ. 5,1.
94. Α΄ Κορ. 13,12.

## *ΜΑ΄*

***Εὐχαριστία πρὸς Θεὸν ὑπὲρ τῶν παρ᾽ αὐτοῦ γεγονότων εὐεργεσιῶν καὶ αἴτησις τοῦ μαθεῖν, τίνος χάριν οἱ τέλειοι γεγονότες ὑπὸ τῶν δαιμόνων παραχωροῦνται πειράζεσθαι· καὶ περὶ τῶν ἀποτασσομένων τῷ κόσμῳ διδασκαλία καὶ ὑποτύπωσις ῥηθεῖσα παρὰ Θεοῦ.***

*Γινώσκεις τὴν πτωχείαν μου, οἶδας τὴν ὀρφανίαν,*
*ἐπίστασαι τὴν μόνωσιν, ὁρᾷς τὸ ἀσθενές μου*
*καὶ τὴν ἀδυναμίαν μου, ὁ πλάσας με Θεός μου,*
*οὐκ ἀγνοεῖς, ἀλλ᾽ ἐφορᾷς καὶ τὰ πάντα γινώσκεις.*
*Ἴδε καρδίαν ταπεινήν, ἴδε συντετριμμένην,*
*ἴδε ἐν ἀπογνώσει με ἐγγίζοντα, Θεέ μου,*
*καὶ δὸς ἀφ᾽ ὕψους χάριν σου, δὸς Πνεῦμά σου τὸ Θεῖον!*
*Δὸς τὸν Παράκλητον, Σῶτερ, πέμψον, καθὼς ὑπέσχου,*
*ἀπόστειλον καὶ νῦν τῷ προσκαθεζομένῳ*
*ἐν ὑπερῴῳ, Δέσποτα, ὑπεράνωθεν ὄντως*
*παντὸς γηΐνου πράγματος, ἔξω παντὸς τοῦ κόσμου*
*καὶ σὲ ζητοῦντι καὶ τὸ σὸν Πνεῦμα ἐκδεχομένῳ!*
*Μὴ οὖν βραδύνῃς, εὔσπλαγχνε, μὴ παρίδῃς, οἰκτίρμον,*
*μὴ ἐπιλάθῃ τοῦ ψυχῇ ζητοῦντός σε διψώσῃ!*
*Μή με στερήσῃς τῆς ζωῆς τὸν ἀνάξιον ταύτης*
*μηδὲ βδελύξῃ με, Θεέ, καὶ μὴ ἐγκαταλίπῃς!*
*Τὰ σπλάγχνα σου προβάλλομαι, τὸ ἔλεος προτείνω*
*καὶ τὴν φιλανθρωπίαν σου μεσῖτίν σοι προσφέρω.*

---

1. Ἀποκ. 2,9. 5. Ψαλμ. 50,17.
7. Λουκᾶ 24,49.
9–10. Πράξ. 1,13.

## 41

**Εὐχαριστία πρὸς τὸ Θεὸ γιὰ ὅσες εὐεργεσίες δέχτηκε ἀπὸ αὐτὸν καὶ αἴτηση γιὰ νὰ μάθει γιὰ ποιό σκοπὸ ὅσοι ἔγιναν τέλειοι παραδίδονται στοὺς δαίμονες γιὰ νὰ τοὺς πειράζουν. Ἀκόμα διδασκαλία καὶ κανονισμοὶ ποὺ ὁρίστηκαν ἀπὸ τὸ Θεὸ γιὰ ὅσους ἀπαρνιοῦνται τὸν κόσμο.**

Γνωρίζεις τὴν πτωχεία μου, τὴν ὀρφάνια μου ξέρεις,
δὲ σοῦ διαφεύγει ἡ μοναξιά, βλέπεις καὶ τὴν ἀσθένεια
καὶ τὴν ἀδυναμία μου, ὁ πλαστουργὸς Θεός μου,
δὲν ἀγνοεῖς, ἀλλὰ θωρεῖς καὶ ὅλα τὰ γνωρίζεις.
Κοίταξε ταπεινὴ καρδιά, καρδιὰ συντετριμμένη,
κοίτα μὲ πόση ἀπόγνωση, Θεέ μου, σὲ πλησιάζω
κι ἀπὸ ψηλὰ τὴ χάρη σου καὶ τ' ἅγιο Πνεῦμα δόσμου.
Σωτήρα, τὸν Παράκλητο στεῖλε μου, ὡς ὑποσχέθης,
στεῖλτον καὶ τώρα, στείλτονε σ' αὐτὸν ποὺ περιμένει
στὸ ὑπερῷο, Δέσποτα, στ' ἀληθινὰ πιὸ πάνω
'πὸ κάθε πράγμα γήινο, ἔξω ἀπ' τὸν κόσμον ὅλο,
κι ἐσένα καὶ τὸ Πνεῦμα σου ζητᾶ καὶ περιμένει!
Φιλάνθρωπε, μὴ μοῦ ἀρνηθεῖς καὶ μὴν ἀδιαφορήσεις,
μὴ μὲ ξεχνᾶς ποὺ σὲ ποθῶ μὲ ψυχὴ διψασμένη!
Μὴ μοῦ στερήσεις τὴ ζωὴ γι' αὐτὴν ἀνάξιος πού' μαι,
Θεέ μου, μὴ μὲ σιχαθεῖς καὶ μὴ μὲ παρατήσεις!
Τὴν εὐσπλαχνία σου βάζω ἐμπρός, τὸ ἔλεός σου ἁπλώνω
καὶ τὴ φιλανθρωπία σου μεσίτη μου σοῦ φέρνω.

---

1. Ἡ εἰσαγωγὴ τοῦ ποιήματος ἐδῶ γίνεται μὲ ἄλλο τόνο. Ἐγκαταλείπονται οἱ αὐτοκατηγορίες (ἄσωτος, πόρνος κλπ.) καὶ προβάλλονται κάποια στοιχεῖα ποὺ δὲν ἀποτρέπουν, ἀλλὰ προσελκύουν τὴ θεία χάρη.

*Οὐκ ἔκαμον, οὐκ ἔπραξα δικαιοσύνης ἔργα,*
*οὐδέποτε ἐτήρησα μίαν τῶν ἐντολῶν σου,*
*ἀλλὰ ἀσώτως ἅπαντα τὸν βίον μου μετῆλθον,*
*πλὴν αὐτὸς οὐ παρεῖδές με, ἀλλὰ ζητήσας εὗρες*
*πλανώμενον, ἐπέστρεψας ἐκ τῆς ὁδοῦ τῆς πλάνης*
*καὶ ἐπ' ἀχράντους ὤμους σου φωτὶ τῆς χάριτός σου*
*ἐπανεβίβασας, Χριστέ, ἐβάστασας, οἰκτίρμον,*
*καὶ κόπου με οὐκ εἴασας ὅλως ἐπαισθανθῆναι,*
*ἀλλ' ἐπαναπαυόμενον ὡς ἐν ὀχήματί με*
*κούφως ὁδεῦσαι δέδωκας τὰς ὁδοὺς τὰς τραχείας,*
*ἕως ἀπεκατέστησας μάνδρᾳ τῶν σῶν προβάτων,*
*ἕως συνήνωσας τοῖς σοῖς καὶ κατέταξας δούλοις.*
*Κηρύττω σου τὸν ἔλεον, ὑμνῶ τὴν εὐσπλαγχνίαν,*
*εὐχαριστῶν θαυμάζω σου χρηστότητος τὸν πλοῦτον·*
*ἀνακληθεὶς δὲ παρὰ σοῦ, ὡς εἴρηται, Θεέ μου,*
*καὶ νῦν ὑπάρχων, ὡς δοκῶ, ὅλος δεδουλωμένος,*
*προσηλωμένος τῷ φωτὶ καὶ σοὶ κεκολλημένος,*
*κρατούμενος τῷ πόθῳ σου, δεδεμένος ἀγάπῃ,*
*ἐξαπορῶ, ἐκπλήττομαι καὶ γινώσκειν οὐκ ἔχω·*
*πῶς ἄρα θλῖψις ἅπτεται ψυχῆς μου τῆς ἀθλίας,*
*πῶς λύπη ἐπεισέρχεται, πῶς ὅλον με ταράττει,*
*πῶς με τῆς σῆς ἀποστερεῖ γλυκύτητος, Θεέ μου,*
*καὶ τῆς χαρᾶς χωρίζει με ἡ τῶν γηΐνων θλῖψις;*
*Τί με τοσοῦτον πταίσαντα καὶ ἐξημαρτηκότα*
*ἢ τί σε παροργίσαντα ἐπὶ πλεῖον, Χριστέ μου,*
*καταλιμπάνεις, ἀγαθέ, τοῦ λυπεῖσθαι μειζόνως*
*ὑπὲρ τὸ πρώην, ὅτε ἦν ἐμπαθὴς ἡ ψυχή μου;*
*Εἰπὲ καὶ δίδαξόν με νῦν κριμάτων σου τὸ βάθος,*
*εἰπὲ καὶ μὴ βδελύξῃ με ἀναξίως λαλοῦντα,*
*ὁ πάλαι συνεστιαθεὶς ἁμαρτωλοῖς καὶ πόρναις*

---

19. Τίτ. 3,5. 20. Ματθ. 5,19.
21. Λουκᾶ 15,12. 24. Λουκᾶ 15,4–5.
32. Ρωμ. 2,4. 46. Ρωμ. 11,33.
48. Βλ. Ματθ. 9,10 ἑ.

Δὲν πάσχισα, δὲν ἔπραξα δικαιοσύνης ἔργα,
καὶ δὲν ἐφύλαξα ποτὲ καμιά ἀπ' τὶς ἐντολές σου,
μὰ μὲ ἀσωτίες ἀπανωτὲς πέρασα τὴ ζωή μου,
μὰ ἐσὺ δὲν ἀδιαφόρησες, μὲ ζήτησες καὶ μ' ηὗρες
νὰ τριγυρνῶ κι ἀπ' τὴν ὁδὸ μὲ γύρισες τῆς πλάνης
καὶ μὲ τὸ φῶς τῆς χάρης σου στοὺς ἄχραντούς σου ὤμους
ἐπάνω μ' ἔβαλες, Χριστέ, μ' ἐσήκωσες, οἰκτίρμων,
καὶ κόπο δὲν ἐπέτρεψες νὰ αἰσθανθῶ καθόλου,
ἀλλὰ πολὺ ἀναπαυτικὰ σὰν σὲ φορεῖο ἐπάνω [σου,
λαφριὰ νὰ ὁδεύσω μοὺ 'δωσες τοὺς δρόμους τοὺς τραχιούς
ὡσότου μὲ ξανάφερες στὴ μάντρα τῶν ἀρνιῶν σου
μ' ἕνωσες μὲ τοὺς δούλους σου μετρώντας με μ' ἐκείνους.
Τὸ ἔλεός σου διαλαλῶ κι ὑμνῶ τὴν εὐσπλαχνία,
σ' εὐχαριστῶ γιὰ τὴν πολλή σου ἐξαίσια καλοσύνη.
Κι ἀφοῦ μὲ ξαναφώναξες, Θεέ μου, ὅπως εἶπα,
καὶ ὅπως πιστεύω τώρα πιὰ εἶμαι ὅλος σκλαβωμένος,
προσηλωμένος εἰς τὸ φῶς, σ' ἐσὲ προσκολλημένος,
πιασμένος ἀπ' τὸν πόθο σου, δεμένος ἀπὸ ἀγάπη,
θαυμάζω καὶ ξαφνιάζομαι καὶ δὲν μπορῶ νὰ μάθω,
ἡ θλίψη πῶς πληγώνει μου τὴν ἄθλια τὴν ψυχή μου,
πῶς μπαίνει ἡ λύπη μέσα μου καὶ πῶς μὲ συγκλονίζει,
καὶ πῶς, Θεέ μου, μ' ἀποστερεῖ ἀπὸ τὴ γλυκύτητά σου
καὶ μὲ χωρίζει ἀπ' τὴ χαρὰ τῶν γήινων ἡ θλίψη;
Τόσο πολὺ σοῦ ἔφταιξα καὶ σοῦ ἔχω ἁμαρτήσει,
σὲ τί καὶ σὲ παρόργισα περισσότερο, Χριστέ μου,
καὶ μὲ ἀφήνεις, ἀγαθέ, σὲ πιὸ μεγάλη λύπη
ἀπ' ὅ,τι πρῶτα ποὺ ἦτανε ἡ ψυχή μου μὲς στὰ πάθη;
Πές μου τώρα καὶ μάθε μου τῆς κρίσης σου τὰ βάθη,
πές μου καὶ μὴ μὲ σιχαθεῖς ποὺ σοῦ μιλῶ ἀνάξια,
ἐσὺ ὁποὺ ἔφαγες μαζὶ μ' ἁμαρτωλοὺς καὶ πόρνους

---

40. Κάποια λύπη καταλαμβάνει τὴν ψυχὴ τοῦ Συμεὼν καὶ στερούμενος τὴ 'θεία γλυκύτητα' ζητεῖ νὰ μάθει γιατί συμβαίνει αὐτό.

*καὶ συνδειπνήσας, Δέσποτα, ἀσώτοις καὶ τελώναις! –*
*Πρὸς ταῦτα ὁ Δεσπότης μοι ἀπεκρίθη καὶ εἶπεν·*
*Ἐγὼ ἀπὸ τοῦ κόσμου σὲ ὡς νήπιον βαστάσας*
*ἐν ταῖς ἀγκάλαις ἔφερον –πάντως ὃ λέγω οἶδας.*
*Ἐγὼ καὶ ἐσπαργάνουν σε ὅλον μέλεσι πᾶσι*
*καὶ γάλακτι ἐξέτρεφον ὑπὲρ βρῶσιν καὶ πόσιν*
*– ἄφραστα γὰρ τὰ κατ' ἐμέ, ἀνερμήνευτα πάντῃ –,*
*παιδαγωγῷ τε δέδωκα –τίνα ὃν λέγω οἶδας–*
*καὶ ὡς παιδίον σε μικρὸν αὐξάνοντα καθ' ὥραν*
*ἐξυπηρέτησε καλῶς, ἀνέθρεψεν ἀξίως.*
*Πρόσηβος ἤδη γέγονας, καὶ δὴ καὶ νεανίσκος·*
*οὐκ ἀγνοεῖς δὲ καὶ αὐτὸς ἀεὶ σὺν σοί με ὄντα*
*καὶ συναυξάνοντα ἐν σοὶ καὶ περισκέποντά σε,*
*ἕως πάσας διήμειψας καλῶς τὰς ἡλικίας.*
*Νῦν οὖν οὐχὶ ἐνήλικος, ἀνὴρ δὲ μᾶλλον ὄντως*
*γενόμενος καὶ τέλειος πρὸς γῆρας ἤδη κλίνας,*
*πῶς βούλει, ὥσπερ νήπιος, νῦν ἀγκαλοφορεῖσθαι,*
*πῶς αἰτεῖς σπαργανοῦσθαί σε καὶ βαστάζεσθαι πάλιν;*
*πῶς γάλακτι ἐκτρέφεσθαι ὑπὸ παιδαγωγῷ τε*
*εἶναί σε; Οὐκ ἐρυθριᾷς ταῦτα λέγειν, εἰπέ μοι.*
*Ἀνὴρ ὑπάρχων ἄλλοις σὺ ὑπηρέτει καὶ τρέφε*
*καὶ τὰ πρὸς αὔξησιν αὐτῶν ἐπιτήδευε πάντα!*
*Πρὸς τοὺς ἐχθροὺς ἀνθίστασο καὶ πληττόμενος πλῆττε!*
*– οἶδας ἐχθροὺς οὓς λέγω σοι, δαιμόνων παρατάξεις –,*
*λαμβάνων κροῦε ἀφειδῶς, πίπτων πάλιν ἐγείρου,*
*τοῖς πεμπομένοις βέλεσι βάλλειν αὖθις μὴ φείσῃ*
*τοὺς βάλλοντας καὶ κατὰ σοῦ ταῦτα μηχανωμένους,*
*ἀλλὰ ἀνελπιστίᾳ σε τιτρώσκοντες ἐκεῖνοι*
*ἐλπίδι τιτρωσκέσθωσαν ἐκ σοῦ ἐκπεμπομένῃ,*
*ὀργῇ δέ σε πυγμίζοντες καὶ θυμῷ συνωθοῦντες*
*ὑπὸ πρᾳότητος τῆς σῆς ῥαπιζέσθωσαν ὄψεις,*

---

54. Ρωμ. 14,17 καὶ Α' Κορ. 3,2.
63. Βλ. Α' Κορ. 13,11.

καὶ δείπνησες, Κύριε, μαζί, μ' ἄσωτους καὶ τελῶνες! –
Στὰ λόγια αὐτὰ ὁ Δεσπότης μου μ' ἀπάντησε καὶ μοῦ' πε·
Ἀπὸ τὸν κόσμον αὐτὸν ἐγὼ κρατώντας σε ὅπως νήπιο
στὴν ἀγκαλιὰ σὲ σήκωνα, ξέρεις ὅ,τι σοῦ λέγω.
Ἐγὼ καὶ σὲ σπαργάνωνα ὅλον μὲς στὶς φασκιές σου
καὶ γάλα ἐγὼ σὲ πότιζα πιὸ ἀπὸ τροφὴ καὶ πόση
–ἄφραστα κι ἀνερμήνευτα εἶναι ὅλα τὰ δικά μου–
Σ' ἔδωσα σὲ παιδαγωγὸ –ξέρεις γιὰ ποιὸν σοῦ λέγω–
καὶ σὰν παιδὶ ποὺ αὐξάνεται μικρὸν ὥρα τὴν ὥρα
σὲ ὑπηρέτησε σωστὰ κι ἀνάθρεψέ σε ἄξια.
Ἔφηβος τώρα ἔγινες, ἄνδρας σχεδὸν πιὰ τέλειος.
Δὲ σοῦ ξεφεύγει πὼς κι ἐγὼ εἶμαι μαζί σου πάντα,
μαζί σου μεγαλώνοντας φρουρός σου καὶ σκεπή σου,
ὡσότου πέρασες μιὰ μιὰ καλὰ τὶς ἡλικίες.
Καὶ τώρα πιὰ ὄχι ἐνήλικος ἀλλὰ ἄντρας πιὰ στ' ἀλήθεια
ἀφοῦ ἔγινες καὶ τέλειος στὸ γῆρας κλίνεις πλέον,
πῶς θέλεις σὰν μικρὸ παιδὶ στὴν ἀγκαλιὰ νὰ σ' ἔχουν
κι ἀναζητεῖς τὰ σπάργανα, νὰ σὲ κρατοῦν στὰ χέρια,
γάλα νὰ σὲ ποτίζουνε καὶ παιδοκόμο νἄ 'χεις;
Δὲν κοκκινίζεις λέγοντας τέτοια καὶ τέτοια; πές μου.
Εἶσαι ἄντρας καὶ νἄ ὑπηρετεῖς ἄλλους πιὰ καὶ νὰ τρέφεις
καὶ κάνε ὅσα συντελοῦν γιὰ τὸ μεγάλωμά τους.
Στοὺς ἐχθροὺς ν' ἀντιστέκεσαι κι ἂν σὲ χτυποῦνε χτύπα
– τὶς παρατάξεις ὡς ἐχθροὺς σοῦ λέγω τῶν δαιμόνων –
πιάστους καὶ χτύπ' ἀλύπητα, σὰν πέσεις σήκω πάλι,
καὶ ξαναχτύπα τους εὐθὺς μὲ ὅσα σοῦ ρίχνουν βέλη
ὅσους σοῦ ρίχνουν κι ὅλο αὐτὸν τὸν πόλεμο σοῦ κάνουν,
ἀλλὰ ἐνῶ εἶναι ἀνέλπιδος ὁ πόλεμος ἐκείνων
ἀπ' τὴν ἐλπίδα ἂς πληγωθοῦν τοῦ ἀγώνα τοῦ δικοῦ σου.
Μὲ ὀργὴ ἂν σοῦ δίνουνε γροθιὲς καὶ μὲ θυμὸ σὲ σπρώχνουν,
μὲ τὴν πραότητά σου ἐσὺ χτύπα τὸ πρόσωπό τους

---

50. Ἀπὸ τὸ στίχο 50 ὡς τὸ στίχο 173 εἶναι ἡ ἀπάντηση τοῦ Χριστοῦ στὰ ἐρωτήματα τοῦ Συμεών· τοῦ ὑπενθυμίζει τὴ συμπαράστασή του ὡς ἐδῶ καὶ τοῦ ζητεῖ ἀνδρικὴ στάση στὴ θρησκευτική του ζωὴ καὶ ἐκτέλεση τῶν ἐντολῶν.

*ἔξωθεν ἐκβαλλέσθωσαν, πόρρω τῆς σῆς οἰκίας!*
*Μὴ γάρ, ὡς εἶπον, νήπιον ἢ παιδίον τυγχάνεις,*
*μὴ γὰρ ἀδυναμία σοι ψυχῆς καὶ νῦν ὑπάρχει,*
*μὴ γὰρ ἐξασθενῇ σου νοῦς ἄρτι πρὸς ἀντιστάσεις;*
*Οἶδας καὶ φεύγειν τοὺς ἐχθροὺς καὶ νικᾶν αὐτοὺς πάλι*
*καὶ πολεμῶν γὰρ ἔχεις με συνεργὸν καὶ προστάτην*
*καὶ φεύγων σκέπην κραταιάν, ὀχυρὰν κέκτησαί με·*
*καὶ τί λυπεῖ σε τῶν ἐν γῇ, ποῖον τούτων, εἰπέ μοι;*
*Χρυσίον ἢ ἀργύριον ἢ λίθοι τῶν τιμίων;*
*Καὶ τίς ἐμοῦ λαμπρότερος ἢ τίς ἐκλάμπων πλέον*
*ἢ ποῖος λίθος, ὡς ἐγώ, ἀτίμητος εἰς ἅπαν;*
*Χωρίων δέ σε στέρησις ἢ ἔνδεια τοῦ σίτου*
*εἴτε τοῦ οἴνου ἔκλειψις ἐκταράσσουσιν ὅλως;*
*Καὶ τίς ἄλλος παράδεισος οἷος ἐγὼ τυγχάνει*
*ἢ γῆς τῶν κάτω καὶ ῥευστῶν ὡς ἡ γῆ τῶν πρᾳέων;*
*Ποῖος δὲ ἄρτος ἕτοιμος ἢ οἶνος ἐν τῷ κόσμῳ*
*οἷα ἡ χάρις ἡ ἐμή, οἷον Πνεῦμα τὸ Θεῖον,*
*οἷος ὁ ἄρτος τῆς ζωῆς, ὅνπερ ἐγὼ παρέχω,*
*τὸ σῶμα καὶ τὸ αἷμά μου, τοῖς καθαρᾷ καρδίᾳ*
*καὶ πίστει ἀδιστάκτῳ με μετὰ φόβου καὶ τρόμου*
*ἐσθίουσι καὶ πίνουσι νοερῶς αἰσθητῶς τε;*
*Ποία τρυφή, ποία χαρά, ποία δόξα, εἰπέ μοι,*
*μείζων ὑπάρχει ἐπὶ γῆς, ὡς ἐμὲ μόνον βλέπειν,*
*ἐμὲ ὡς ἐν αἰνίγματι ἐνοπτρίζεσθαι μόνον,*
*ἐμοῦ τῆς δόξης καθορᾶν τὴν ἀπαυγὴν καὶ μόνην*
*καὶ δι' αὐτῆς διδάσκεσθαι ταῦτα καὶ πλείω τούτων*
*καὶ ἀκριβῶς, ὅτι Θεὸς κτίστης ἐγὼ τῶν πάντων,*
*εἰδέναι καὶ κατανοεῖν, ὅτι μοι κατηλλάγη*
*ἄνθρωπος καθεζόμενος ἐν λάκκῳ κατωτάτῳ,*

---

86. Σοφ. Σολ. 6,14. 88. Α' Κορ. 3,12.
94. Ματθ. 5,5. 97. Ἰω. 6,35.
98. Ἰω. 6,54.

καὶ διῶξ' τους ἔξω καὶ μακριὰ ἀπὸ τὸ δικό σου σπίτι.
Μήπως, ὡς σοῦ εἶπα, νήπιο ἢ μὴν εἶσαι παιδάκι
καὶ μὴν ἀδυναμία ψυχῆς σὲ συντροφεύει ἀκόμα
κι ὁ νοῦς σου γιὰ ν' ἀντισταθεῖ τὸ σθένος πιὰ δὲν ἔχει;
Μπρὸς στοὺς ἐχθροὺς νὰ ὑποχωρεῖς καὶ νὰ νικᾶς γνωρίζεις
καὶ πολεμώντας σύμμαχό σου μ' ἔχεις καὶ προστάτη,
κι ἂν φεύγεις σκέπη ἀκλόνητη καὶ δυνατή σου μ' ἔχεις·
λοιπὸν ποιό γήινο σὲ λυπεῖ, πές μου, ποιό ἀπ' ὅλα τοῦτα;
'Ασήμι τάχα εἴτε χρυσὸς ἢ τ' ἀκριβὰ πετράδια;
Καὶ τί ἀπὸ ἐμὲ λαμπρότερο ἢ πιότερο τί λάμπει
ἢ πέτρα ποιά, ὅπως λάμπω ἐγώ, ὁποὺ ἀξετίμητη εἶναι;
Στέρηση μήπως χωραφιῶν, τοῦ σιταριοῦ ἀφορία
ἢ τὸ κρασὶ ποὺ σοῦ 'λειψε εἶναι ποὺ σὲ ταράζουν;
Καὶ ποιός ἄλλος παράδεισος καθὼς ἐγὼ ὑπάρχει
ἢ γῆ τῶν κάτω ποὺ κυλοῦν ὅπως ἡ γῆ τῶν πράων;
Καὶ ποιό ψωμὶ ἄλλο ἕτοιμο ἢ καὶ κρασὶ στὸν κόσμο
καθὼς εἶναι ἡ χάρη μου, καθὼς τὸ θεῖο τὸ Πνεῦμα,
καθὼς ὁ ἄρτος τῆς ζωῆς ἐγὼ ποὺ σᾶς προσφέρω,
τὸ σῶμα καὶ τὸ αἷμα μου σ' ὅσους μὲ καθαρὴ καρδιὰ
καὶ πίστη ἀταλάντευτη, μὲ φόβο καὶ μὲ τρόμο,
μὲ τρῶνε καὶ μὲ πίνουνε μ' αἴσθηση καὶ μὲ νόηση;
Ποιά εἶν' ἡ τρυφὴ καὶ ποιά ἡ χαρὰ καὶ ποιά ἡ δόξα, πές μου,
πάνω στὴ γῆ ἡ τρανότερη ἐμένα ὅσο νὰ βλέπεις,
μονάχον αἰνιγματικὰ σὰν μέσα σὲ καθρέφτη
καὶ μόνο τ' ἀπολάμπισμα τῆς δόξας μου νὰ βλέπεις
κι αὐτὰ νὰ σοῦ μαθαίνει αὐτὸ καὶ πιὸ πολλὰ ἀπὸ τοῦτα
καὶ ἀκριβῶς ν' ἀντιληφθεῖς ὅτι Θεὸς καὶ κτίστης
τῶν ὅλων εἶμαι ἐγὼ καὶ πὼς μ' ἐμένα συμφιλιώθη
ὁ ἄνθρωπος ποὺ κείτονταν στὸν τρίσβαθο τὸ λάκκο,
κι ἀπέναντί μου μοῦ μιλᾶ καθὼς φίλος μὲ φίλο,

---

103. Α΄ Κορ. 13,12. 104. Ἑβρ. 1,3.
106. Σοφ. Σειρ. 24,8. 108. Ψαλμ. 87,7.
109. Ἐξ. 33,11.

*μισθίου τάξιν ὑπερβὰς καὶ δουλείας τὸν φόβον,*
*ἀκαματὶ δουλεύων μοι, ἀγάπῃ θεραπεύων,*
*ὑπακοῇ τῶν ἐντολῶν προσοικειούμενός μοι.*
*Οὐ λέγω τῶν μισθωτικῶς ἐμοὶ ἐκδουλευόντων*
*οὐδὲ τῶν πάλιν δουλικῶς ἐμοὶ προσερχομένων,*
*ἀλλὰ τῶν φίλων καὶ γνωστῶν καὶ υἱῶν μου τὰς πράξεις*
*αἵτινες καὶ πεφύκασιν αὗται, γράφε συντόμως!*
*Τὸ πάντων εὐτελέστερον ἡγεῖσθαι τῶν ἐν κόσμῳ*
*οὐ μόνον τῶν συνασκητῶν καὶ κοσμικῶν ἀνθρώπων,*
*ἀλλά γε καὶ τῶν ἐθνικῶν ἑαυτὸν ὄντως χείρω·*
*τὸ ἔκπτωσιν λογίζεσθαι ζωῆς τῆς αἰωνίου*
*μιᾶς παράβασιν μικρὰν ἐντολῆς ἐλαχίστης·*
*τὸ τὰ παιδία τὰ μικρὰ ὥσπερ τελείους ἄνδρας*
*καθορᾶν τε καὶ προσκυνεῖν καθάπερ τοὺς ἐνδόξους·*
*τὸ τοῖς τυφλοῖς ὡσαύτως δὲ τὴν τιμὴν ἀπονέμειν*
*ὡς ἄνωθεν ὁρῶντός μου πάντων ἀνθρώπων πράξεις*
*καὶ ταῦτα δι' ἐμὲ ποιεῖν, ἅπερ καὶ πάλιν γράφε!*
*Τὸ μὴ ἔχειν κατά τινος ὅλως ἐν τῇ καρδίᾳ*
*μέχρι ψιλῆς κινήσεως ἢ μικρᾶς ὑπονοίας·*
*τὸ εὔχεσθαι ἀπὸ ψυχῆς μετὰ πόνου καρδίας*
*ἐκ συμπαθείας τοὺς εἰς σὲ ἁμαρτάνοντας πάντας,*
*ὡσαύτως καὶ τοὺς εἰς ἐμὲ τὰ τοιαῦτα τολμῶντας,*
*μετὰ δακρύων ἐξαιτῶν ἐπιστροφὴν τὴν τούτων·*
*τὸ εὐλογεῖν μεθ' ἅμα δὲ τοὺς σὲ καταρωμένους*
*καὶ ἐπαινεῖν τοὺς φθόνῳ σὲ ἀεὶ λοιδορουμένους*
*καὶ τοὺς ἐπηρεάζοντας ὡς εὐεργέτας ἔχειν,*
*τοὺς δὲ μὴ καθυπείκοντας μήθ' ὑπακούοντάς σου*
*ὡς ὅλως ἀρνουμένους με τὸν ἑαυτῶν Δεσπότην*
*θρηνεῖν καὶ κλαίειν συνεχῶς· οὓς νουθετῶν μὴ παύσῃ!*
*Ὁ γὰρ ὑμᾶς δεχόμενος ἐμὲ δέχεται, εἶπον,*
*καὶ ὁ ἀκούων δὲ ὑμῶν πάντως ἐμοῦ ἀκούει·*
*ὁ δὲ μὴ τρόμῳ τοὺς ὑμῶν λόγους καὶ παραινέσεις*

121. Ματθ. 5,19. 133–135. Λουκᾶ 6,28.

χωρὶς νὰ εἶναι μισθωτός, χωρὶς δουλείας φόβο,
δουλεύοντάς μου ἀκούραστα, μ' ἀγάπη ὑπηρετώντας,
μὲ ὑπακοὴ στὶς ἐντολὲς γινόμενος δικός μου.
Δὲν λέγω αὐτῶν ποὺ ὡς μισθωτοὶ δουλεύουνε σ' ἐμένα
οὔτε πάλι ὅσων ἔρχονται σὰν δοῦλοι πρὸς ἐμένα,
ἀλλὰ τῶν φίλων καὶ γνωστῶν τὶς πράξεις καὶ τῶν γιῶν μου,
ποὺ εἶναι αὐτὲς ποὺ ἀκολουθοῦν, γράφε μὲ συντομία:
Νὰ θεωρεῖς κατώτερος ἀπ' ὅλους μὲς στὸν κόσμο,
ὄχι ἀπὸ τοὺς συνασκητὲς καὶ κοσμικοὺς μονάχα,
μὰ ὅτι εἶσαι ὁ χειρότερος κι ἀπ' τοὺς εἰδωλολάτρες.
Νὰ λογαριάζεις ἔκπτωση ἀπ' τὴ ζωὴ τῆν οὐράνια
μιᾶς ἐντολῆς ἐλάχιστης παράβαση μικρή.
Νὰ βλέπεις τὰ μικρὰ παιδιὰ σὰ νάναι τέλειοι ἄντρες
καὶ σάμπως νά 'ναι ἐπίσημοι νὰ τὰ ὑπηρετεῖς.
Νὰ ἀποδίδεις τὴν τιμὴ καὶ στοὺς τυφλοὺς ἐπίσης,
γιατὶ ὅλων βλέπω ἀπὸ ψηλὰ τὶς πράξεις τῶν ἀνθρώπων.
Κάνε κι αὐτὰ γιὰ χάρη μου καὶ γράφε τα καὶ τοῦτα.
Μὴν ἔχεις μέσα στὴν καρδιὰ τίποτα ἐνάντια κάποιου,
μιὰ σκέψη ἀσήμαντη, μικρὴ ἢ μιὰ μικρὴν ὑπόνοια.
Νὰ εὔχεσαι ἀπὸ ψυχῆς μὲ πόνο τῆς καρδιᾶς σου
ἀπὸ συμπόνοια πρὸς αὐτοὺς ποὺ σφάλλουνε σ' ἐσένα,
ἐπίσης καὶ σ' ὅσους τολμοῦν παρόμοια καὶ σ' ἐμένα
μὲ δάκρυα ἱκετεύοντας γιὰ τὴν ἐπιστροφή τους.
'Ακόμα καὶ νὰ εὐλογεῖς ὅσους σὲ καταριοῦνται
κι ὅσους σὲ βρίζουν πάντοτε ἀπὸ φθόνο, νὰ παινεύεις
κι ὡς εὐεργέτες νὰ θωρεῖς ἐκείνους ποὺ σὲ βλάφτουν,
κι αὐτοὺς ποὺ δὲν ὑποχωροῦν οὔτε ὑπακοῦν σ' ἐσένα
ὅμοια μ' αὐτοὺς ποὺ ἀρνήθηκαν τὸν κύριο τους κι ἀφέντη
νὰ τοὺς θρηνεῖς καὶ νὰ τοὺς κλαῖς συνέχεια καὶ συνέχεια
συμβούλευέ τους· ἔχω πεῖ· «δέχεται ἐμένα ὅποιος
δέχετ' ἐσᾶς· κι ἐμένα ἀκούει ὅποιος ἐσᾶς ἀκούει».
Κι ὅποιος μὲ τρόμο συμβουλὲς καὶ λόγους ἰδικούς σας

139. Ματθ. 10,40.

*δεχόμενος καὶ ἐκπληρῶν αὐτοὺς μέχρι θανάτου,*
*οὐ μή μου κοινωνήσειε δόξης τῆς αἰωνίου,*
*οὐ μὴ καταταγήσεται σὺν τῷ ἐσταυρωμένῳ,*
*ἐμοὶ τῷ ὑπακούσαντι Πατρὶ μέχρι θανάτου,*
*οὐ μὴ σταθῇ ἐκ δεξιῶν, οὐ μὴ συγκληρονόμος*
*τῶν σταυρωσάντων ἑαυτοὺς γένηται ὁ τοιοῦτος.*
*Λοιπὸν μὴ παύσῃ νουθετῶν, λοιπὸν μὴ παύσῃ κλαίω*
*λοιπὸν μὴ παύσῃ τὴν αὐτῶν ἐκζητῶν σωτηρίαν,*
*ἵνα εἰ ὑπακούσωσι καὶ εἰ ἐπιστραφῶσιν,*
*ἕξεις αὐτοὺς ὡς ἀδελφούς, κερδήσεις τὰ σὰ μέλη*
*καὶ προσαγάγεις μοι αὐτοὺς ὑπηκόους γνησίους,*
*ἵνα κἀγὼ εἰσδέξωμαι διὰ σοῦ καὶ δοξάσω*
*καὶ τῷ ἐμῷ σὺν σοὶ Πατρὶ προσενέγκω ὡς δῶρα!*
*Εἰ δὲ μὴ ἀπαρνήσονται θελήματα οἰκεῖα,*
*εἰ μὴ καταφρονήσουσι ψυχῶν αὐτῶν, ὡς εἶπον,*
*εἰ μὴ νεκροὶ γενήσονται θελήμασιν οἰκείοις*
*καὶ σοῦ ἐν τῷ θελήματι ζήσονται ἐν τῷ βίῳ*
*διὰ τοῦ σοῦ τὸ θέλημα τὸ ἐμὸν ἐκπληροῦντες,*
*οὐκ ἀπολέσεις σου μισθόν, οὐ στερηθήσῃ τούτου,*
*ἀλλὰ διπλοῦν σοι ἀνθ' ἁπλοῦ τοῦτον ἐγὼ παρέξω,*
*ὅτι καὶ μὴ εἰσακουόμενος οὐκ ἀπέστης τοῦ λέγειν,*
*ἀλλὰ καὶ μᾶλλον ἐμισοῦ καὶ μᾶλλον ἀπεστρέφου*
*καὶ ἐβδελύσσου παρ' αὐτῶν, ὡς ἐγὼ ἐμισήθην*
*ποτὲ καὶ νῦν δὲ δι' αὐτῶν καὶ τῶν τούτοις ὁμοίων.*
*Διὰ τοιούτων βούλομαι ἔργων με θεραπεύειν,*
*διὰ τοιούτων σπούδαζε καὶ τῶν τούτοις ὁμοίων*
*εὐαρεστεῖν μοι· τούτοις γὰρ ἐπευφραίνομαι λίαν.*
*Μὴ προτιμήσῃς τὸ ἀργεῖν μηδὲ προκρίνῃς ὅλως*
*ὑπὲρ ψυχῆς ὠφέλειαν ἄλλό τι τῶν ἐν κόσμῳ!*
*Τί γὰρ ὠφεληθήσεται ὁ κερδαίνων τὸν κόσμον*
*ἢ ὁ τοὺς ὄντας ἐν αὐτῷ παιδεύων ἢ διδάσκων*

---

145. Φιλ. 2,8. 146. Ρωμ. 8,17.
151. Ματθ. 18,15.

δὲ δέχεται ὣς τὸ θάνατο πιστὰ φυλάγοντάς τους,
τῆς δόξας τῆς οὐράνιας μου μέτοχος δὲ θὰ γίνει,
σ' ἐμένα ποὺ σταυρώθηκα θέση ποτὲ δὲ θά 'χει·
σ' ἐμένα ποὺ ὣς τὸ θάνατο ἔσκυψα στὸν Πατέρα
ἀπὸ δεξιὰ δὲ θὰ σταθεῖ κι οὔτε συγκληρονόμος
ἐκεῖνος θὰ γίνει μ' ὅσους σταύρωσαν τὸν ἑαυτό τους.
Μὴ σταματήσεις τὸ λοιπὸν τὶς νουθεσίες, τὰ δάκρυα,
τὴ σωτηρία τους νὰ ζητᾶς λοιπὸν μὴ σταματήσεις,
ὥστε ἂν τελικὰ πειστοῦν καὶ ἂν γυρίσουν πίσω
θὲ νὰ τοὺς ἔχεις ἀδελφοὺς καὶ μέλη κερδισμένα,
νὰ τοὺς προσφέρεις γνήσιους ὑπήκοους σ' ἐμένα,
ὥστε κι ἐγὼ νὰ τοὺς δεχτῶ ἀπὸ σὲ δοξάζοντάς τους
κι ὡς δῶρα στὸν Πατέρα μου μ' ἐσὲ νὰ τοὺς προσφέρω.
Ἂν ὅμως δὲν ἀπαρνηθοῦν τὸ κάθε θέλημά τους,
ἂν δὲν καταφρονήσουν ὅπως εἶπα τὶς ψυχές τους
καὶ ἂν δὲν γίνουνε νεκροὶ μὲ θέλημα δικό τους
καὶ τὴ ζωή τους ζήσουνε ὅπως ἐσὺ τὴ θέλεις
μὲ τὸ δικό σου θέλημα κάνοντας τὸ δικό μου,
δὲ χάνεις τὸ μισθό σου ἐσὺ οὔτε καὶ τὸν στερεῖσαι,
καὶ ὄχι ἕνα, ἀλλὰ διπλὸν ἐγὼ θὰ σοῦ τὸν δώσω,
γιατὶ κι ἂς μὴ σὲ ἄκουσαν ἐσὺ δὲ σταματοῦσες,
κι ἂς σὲ μισοῦσαν πιὸ πολὺ κι ἂς σὲ ἀποστρεφόταν
κι ὡς σὲ ἀποκρούανε καθὼς κι ἐμένα μὲ μισοῦσαν [τους.
παλιὰ καθὼς καὶ τώρα αὐτοὶ κι ὅσοι ὅμοιοι εἶναι μὲ τού-
Μὲ τέτοια ἔργα ἐπιθυμῶ ἐγὼ νὰ μὲ λατρεύεις
μ' αὐτὰ προσπάθησε κι ἐσὺ νὰ εὐαρεστεῖς σ' ἐμένα,
κι ὅσα ὅμοια τους εἶναι, γιατὶ αὐτὰ εἶναι ποὺ μ' εὐφραίνουν.
Μὴν προτιμήσεις ν' ἀδρανεῖς καὶ μήτε νὰ προκρίνεις
ἀπ' τὴν ὠφέλεια τῆς ψυχῆς τίποτε μὲς στὸν κόσμο.
Γιατὶ τί θὰ ὠφεληθεῖ τὸν κόσμο ὅποιος κερδίζει
ἢ ὅποιους ζοῦν μέσα σ' αὐτὸν παιδεύει καὶ διδάσκει

---

156. Βλ. Ματθ. 16,25.
171. Μάρκ. 8,36.

*ἢ καὶ ὁ σῴζων ἅπαντας, εἰ μὴ κ' αὐτὸς σωθείη; –*
*Τίς οὖν ὑπάρχει, εἴτε πῶς ἄλλους σώσας οὐ σώσει*
*τὴν ἑαυτοῦ ὁ ἄθλιος ψυχήν, ἀλλ' ἀπολέσει; –*
*Ὁ παραλύων ἐντολὴν ἐμὴν Δεσπότου πάντων*
*καὶ οἱονεὶ καταπατῶν καὶ δι' αὐτῆς ἐκβαίνων*
*καὶ παραβαίνων νόμους μου, ὑπερπηδῶν προστάξεις*
*καὶ τῆς αὐλῆς τῶν ἐντολῶν καὶ φραγμοῦ τούτων ἔξω*
*γενόμενος, εἰ σώσειε κόσμον καὶ τοὺς ἐν κόσμῳ,*
*ξένος ἐμοῦ καὶ τῶν ἐμῶν πόρρω προβάτων ἔσται,*
*καὶ μάλιστα ὡς τὸν φραγμὸν τῆς αὐλῆς καταλύσας*
*καὶ τοῖς προβάτοις ἔξοδον, οὐκ ἐκ τῆς θύρας μόνης,*
*καὶ εἴσοδον τὴν ἄδικον παρασχὼν τοῖς θηρίοις,*
*δίκην ὑποίσει ἄρρητον ὑπὲρ ὅλων προβάτων*
*καὶ διχοτομηθήσεται καὶ πυρὶ καὶ ταρτάρῳ*
*καὶ τῶν σκωλήκων ἔσεται κατάβρωμα ὁ τάλας. –*
*Τοῦτο γὰρ εἶπεν ὁ Πατὴρ δι' Υἱοῦ καὶ τὸ Πνεῦμα*
*ἐλάλησεν, ὅπερ ἐστὶ τὸ στόμα τοῦ Δεσπότου,*
*ἄγγελοι προσευφήμησαν φωναῖς ἀκαταπαύστοις,*
*οἱ δίκαιοι προσέπεσον ἀκούσαντες καὶ εἶπον·*
*Ἀδέκαστος ἡ κρίσις μου, ἀνύποπτος ἡ ψῆφος,*
*ἀπροσπαθῶς γὰρ ἔκρινας, ὦ Θεὲ πανοικτίρμον!*
*Πῶς γὰρ ὁ μὴ τὸ ἑαυτοῦ θέλημα καταλείψας*
*καὶ τοῦ ἐκπροσωποῦντός σε, ὡς τὸ σὸν τοῦ Δεσπότου,*
*ἐν προτιμήσει θέμενος καὶ φυλάξας ἀτρώτως,*
*ὡς αὐτὸς σὺ ἐτήρησας τοῦ σοῦ Πατρός, οἰκτίρμον,*
*συγκληρονόμος σου ὀφθῇ συγκοινωνός τε ὅλως,*
*καὶ μάλιστα συνθέμενος τοῦτο μέχρι θανάτου,*
*τὸ μὴ ποιῆσαι θέλημα ἔν τινι τὸ οἰκεῖον,*
*μὴ προστεθῆναι αἵματι, μὴ σάρκα προτιμῆσαι,*
*ὅπερ ἐστὶ συγγένεια σύνδεσμος φυσικός τε,*

---

176. Ματθ. 5,19.
183–184. Ἰω. 10,1 ἑ. Ἰεζ. 34,5 ἑ.
186–187. Ματθ. 24,51. Μάρκ. 9,48.
197. Ἰω. 15,10. 201. Γαλ. 1,16.

ἢ καὶ τὸν κόσμο ὁλόκληρο σώσει κι ὄχι τὸν ἑαυτό του;
–Ποιός λοιπὸν εἶναι, εἴτε καὶ πῶς ἄλλους νὰ σώσει κι ὅμως
τὴν ἴδια του ὁ ἄθλιος ψυχὴ ν' ἀφήσει καὶ νὰ χάσει;
–Ὅποιος ἐμένα τοῦ Κυρίου τῶν ὅλων παραβιάζει,
καταπατεῖ τὴν ἐντολή, βγαίνει ἀπ' τὰ ὅριά της,
τοὺς νόμους παραβαίνει μου, πατᾶ τὶς προσταγές μου,
κι ἀπ' τὴν αὐλὴ τῶν ἐντολῶν κι ἀπ' τὸ φραγμό τους ἔξω
βγαίνει, τὸν κόσμο ἂν σώσει αὐτὸς κι ὅσους ὁ κόσμος ἔχει,
ξένος θὲ νὰ 'ναι ἀπὸ ἐμέ, μακριὰ ἀπ' τὰ πρόβατά μου·
καὶ μάλιστα ἀφοῦ τῆς αὐλῆς τὸ φράχτη ἔχει χαλάσει
κι ὄχι ἀπ' τὴ θύραν ἔξοδο στὰ πρόβατα μονάχα,
μὰ καὶ εἴσοδο παράνομη πρόσφερε στὰ θηρία,
ποινὴ θὰ ὑποστεῖ ἄρρητη γιὰ ὅλα τὰ πρόβατά μου,
στὰ δύο θὰ πριονιστεῖ μὲς στὴ φωτιὰ τοῦ ἅδη
καὶ θὰ γινεῖ ὁ δύστυχος τροφὴ τῶν σκουληκιῶνε.–
Αὐτὸ ὁ Πατέρας μὲ τὸ Γιὸ εἶπε κι αὐτὸ τὸ Πνεῦμα
μίλησε κι εἶπε ποὺ εἶναι τὸ στόμα τοῦ Κυρίου·
ἄγγελοι ἐπιδοκίμασαν μὲ φωνὲς δίχως τέλος,
κι οἱ δίκαιοι σὰν τ' ἄκουσαν πέσαν στὰ πόδια κι εἶπαν:
Ἀδέκαστη εἶναι ἡ κρίση του κι ἡ ἀπόφασή σου γνήσια,
γιατί, ὦ Θεὲ πανεύσπλαχνε, ἔκρινες δίχως πάθος.
Ὅποιος δὲν ἐγκατάλειψε τὸ ἴδιο τὸ θέλημά του
κι ἐκείνου ποὺ σ' ἐκπροσωπεῖ σὰ νά 'ναι τὸ δικό σου
τὸ θέλημα δὲ φύλαξεν, ἐκεῖνο προτιμώντας,
ἀλάβωτο, ὡς σὺ φύλαξες, οἰκτίρμων, τοῦ Πατέρα,
πῶς θὰ γινεῖ συμμέτοχος μ' ἐσὲ συγκληρονόμος
καὶ μάλιστα ὡς τὸ θάνατο σὲ τοῦτο συμφωνώντας:
νὰ μὴν πράξει ὁτιδήποτε κατὰ τὸ θέλημά του,
ἀπὸ τὸ αἷμα μὴ δεθεῖ, σάρκα μὴν προτιμήσει
κι ἂς εἶναι τοῦτο φυσικὸς σύνδεσμος καὶ συγγένεια,

188. Ἀπὸ ἐδῶ καὶ πέρα μιλᾶ ὁ ποιητὴς καὶ σχολιάζει ὅτι τοῦ εἶχε πεῖ ὁ Κύριος συμφωνώντας μαζί του.

*στοργὴ συνδοῦσα τοὺς ἐν γῇ πρὸς τὰ ἀπαρνηθέντα*
*καὶ ἐπιστρέφουσα αὐτοὺς ὅλους εἰς τὰ ὀπίσω;*
*Οἱ μάρτυρες ἐβόησαν· Κρίσις δικαία ὄντως!*
*Ὡς γὰρ ὁ πρὸς μαρτύριον ἑαυτὸν δοὺς προθύμως*
*εἶτα ἐλθόντας συγγενεῖς, γυναῖκάς τε καὶ παῖδας,*
*ταῦτα σὺν πένθει λέγοντας· Οὐκ ἐλεεῖς σὰ τέκνα*
*οὐδὲ οἰκτείρεις, ἄσπλαγχνε, γυναικός σου χηρίαν;*
*οὐδὲ πτωχείᾳ τῇ αὐτῶν συμπαθῶς ἐπικάμπτῃ*
*οὐδὲ ἀπώλειαν αὐτῶν ἐννοεῖς καὶ οἰκτείρεις,*
*ἀλλὰ ἀφίεις ὀρφανά, ξένα, πτωχά, καὶ χήραν*
*τὴν σὴν γυναῖκα, καὶ σαυτὸν προτιμᾷς σῶσαι μόνον;*
*Καὶ πῶς οὐχ ὡς φονεὺς μᾶλλον μέλλεις κατακριθῆναι,*
*ὅτι κατέλιπες ἡμᾶς εἰς ἀπώλειαν πάντας*
*καὶ σῶσαι μόνην σου ζητεῖς τὴν ψυχήν; –οὐκ ὀφείλει*
*ὅλως αὐτῶν κἂν πρὸς βραχὺ τῆς φωνῆς εἰσακοῦσαι,*
*ὅλως πρὸς θρήνους τοὺς αὐτῶν τὴν ἀκοὴν προσκλῖναι*
*καὶ εἴτε δώροις τὰ δεσμὰ καὶ εἱρκτὴν ἀποδράσαι,*
*ἢ ἀπαρνήσει σου, Χριστέ, τούτων ἀπολυθῆναι.*
*ἀλλὰ ὡς ἤδη τεθνηκὼς ἐμμένειν ταῖς βασάνοις,*
*ἐγκαρτερεῖν ταῖς φυλακαῖς, λιμῷ τε καὶ τῷ δίψει,*
*μὴ μνημονεύσας τῶν αὐτοῦ πραγμάτων ἢ χρημάτων*
*μήτε ἐκτὸς τῆς φυλακῆς τὴν ἑαυτοῦ ἐάσας,*
*εἰ δυνατόν, διάνοιαν κἂν πρὸς βραχὺ γενέσθαι,*
*ἀλλ' ἐν αὐτῇ σε καθορᾶν, Δέσποτα τῶν ἁπάντων,*
*καὶ τῇ πρὸς σὲ ἀπασχολῶν θεωρίᾳ τὰς φρένας,*
*μέχρι θανάτου καρτερεῖν τῷ σῷ πόθῳ καὶ μόνῳ,*
*καὶ οὔτε τοὺς ἐκκλίνοντας βλέπειν ὅλως ὀφείλει,*
*οὐδὲ τοὺς ἀρνουμένους σε καὶ στρεφομένους πάλιν*
*ἐπὶ τὸν πρώην ἔμετον, ἐπὶ τὰς πρώην πράξεις,*
*ἐπὶ μερίμνας τῶν ἐν γῇ καὶ γυναικὸς καὶ τέκνων,*
*μηδὲ προφάσει οἰμοῦν ἐν ἐκείνοις δεσμεῖσθαι·*
*οὐκέτι γὰρ τῆς ἑαυτοῦ ψυχῆς ἐξουσιάζει*

---

204. Μάρκ. 13,16. Ἰω. 6,66. 205. Ἀποκ. 16,7.

στοργὴ ποὺ δένει ὅλους τῆς γῆς μὲ ὅσα ἀπαρνηθῆκαν
καὶ τοὺς τραβάει ὅλους αὐτοὺς καὶ τοὺς γυρίζει πίσω;
Οἱ μάρτυρές σου φώναξαν· Κρίση στ' ἀλήθεια δίκαιη!
Ἔδωσε στὸ μαρτύριο κάποιος τὸν ἑαυτό του
πρόθυμα, κι ἦρθαν συγγενεῖς, γυναίκα καὶ παιδιά,
σ' αὐτὸν μὲ πένθος λέγοντας· Δὲν πονᾶς τὰ παιδιά σου,
οὔτε λυπᾶσαι, ἄσπλαχνε, τὴ χήρα σου γυναίκα·
ἐπάνω ἀπὸ τὴ φτώχεια τους δὲ σκύβεις μὲ συμπόνοια
καὶ μήτε τὴν ἀπώλειά τους δὲ νιώθεις, δὲ λυπᾶσαι,
ἀλλὰ τ' ἀφήνεις ὀρφανά, ξένα, φτωχὰ καὶ χήρα
τὴ σύζυγό σου θέλοντας σὺ νὰ σωθεῖς μονάχα;
Μὰ ἔτσι δὲ μέλλεις σὰ φονιὰς νὰ δικαστεῖς, ἀφοῦ ὅλους
ἐμᾶς μᾶς καταδίκασες στὴν πιὸ βαριὰν ἀπώλεια
καὶ μόνο θέλεις τὴ ζωὴ νὰ σώσεις τὴ δική σου;
Δὲν πρέπει μήτε μιὰ στιγμὴ ν' ἀκούσει τὶς φωνές τους
καὶ τὴν ἀκοὴ στοὺς θρήνους τους μὲ προσοχὴ νὰ κλίνει
κι εἴτε μὲ δῶρα ἀπ' τὰ δεσμὰ καὶ τὴν εἱρκτὴ νὰ φύγει
εἴτε ἀπ' αὐτὰ νὰ λυτρωθεῖ, Χριστέ μου, μὲ ἄρνησή σου,
ἀλλὰ σὰν πεθαμένος πιὰ τὰ πάθη νὰ ὑπομένει,
νὰ καρτερεῖ στὴ φυλακή, στὴν πείνα καὶ στὴ δίψα,
καὶ χρήματα νὰ λησμονᾶ καὶ πράγματα δικά του
κι οὔτε ν' ἀφήσει μιὰ στιγμὴ ἔξω ἀπ' τὴ φυλακή του
τὴ σκέψη, ἂν εἶναι δυνατό, ἔστω γιὰ λίγο νά 'βγει,
μὰ ἐσὲ τῶν ὅλων, Κύριε, σ' αὐτὴν νά 'χει μπροστά του
καὶ τὸ μυαλὸ ν' ἀπασχολεῖ ἐσένα θεωρώντας·
νὰ καρτερεῖ ὡς τὸ θάνατο ποθώντας μόνο ἐσένα
κι οὔτε καθόλου νὰ θωρεῖ ὅσους παραστρατίζουν,
οὔτε ὅσους ἀπαρνιοῦνται ἐσὲ καὶ στρέφονται καὶ πάλι
στὸ ἴδιο τους τὸ ξερατό, στὶς πρωτινές τους πράξεις,
στὶς μέριμνες τὶς γήινες, γυναίκας καὶ παιδιῶν του
καὶ νὰ μὴ δένεται μ' αὐτὰ μὲ πρόφαση καμία.
Γιατὶ δὲν ἐξουσιάζει πιὰ τὴν ψυχὴ τὴ δική του

231. Παρμ. 26,11. Β' Πέτρ. 2,22.

*– διὸ πολλοὶ τῶν φυλακῶν παρὰ σοῦ ἀνοιγέντων*
*καὶ τῶν δεσμῶν τοῦ σώματος εἰς ἅπαν ἀνεθέντων,*
*οὐχ εἵλοντο οἱ δοῦλοί σου ὅλως ἔξω γενέσθαι*
*οὐδὲ φυγεῖν, ἀλλ' ἔμειναν ὡς δεδεμένοι ὄντες –·*
*οὕτως οὖν, Σῶτερ, καὶ οἱ νῦν τυγχάνοντες ἐν κόσμῳ*
*καὶ κόσμον ἀπαρνούμενοι, συγγενεῖς ὁμοῦ πάντας,*
*φίλους, ἑταίρους καὶ παντὶ πράγματι τῶν ἐν κόσμῳ,*
*καὶ τῷ θελήματι αὐτῶν πρό γε τούτων ἁπάντων,*
*οὐκέτι ὅλως ἑαυτῶν ἔχουσιν ἐξουσίαν,*
*ἀλλ' εἰ καὶ μὴ κωλύωνται ὑπὸ τῶν ἡγουμένων,*
*τὴν συνταγὴν ὀφείλουσι σοὶ τηρεῖν τῷ Δεσπότῃ.*
*Οὐ γὰρ ἀνθρώποις ἔφασαν, ἀλλὰ Θεῷ φυλάξαι*
*ὑπακοὴν καὶ δούλωσιν, ἡγουμένοις καὶ πᾶσι*
*τοῖς μετ' αὐτῶν ἐν τῇ μονῇ ἀδελφοῖς συνασκοῦσι.*
*Νῆσον οὖν ὥσπερ τὴν μονὴν μέσον θαλάσσης οὖσαν*
*ὀφείλουσί γε κατοικεῖν καὶ ἅπαντα τὸν κόσμον*
*αὐτοῖς εἰς ἅπαν ἄβατον νομίζειν καθεστάναι,*
*ἅτε μεγάλου χάσματος ἐστηριγμένου κύκλῳ*
*τῆς ἑαυτῶν πάσης μονῆς, ὡς μὴ τοὺς ἐν τῷ κόσμῳ*
*διέρχεσθαι πρὸς τὴν μονὴν μήτε τοὺς ἐν τῇ νήσῳ*
*διαπερᾶν πρὸς τοὺς ἐκεῖ καὶ προσπαθῶς προσβλέπειν,*
*μηδ' ἐν καρδίᾳ ἢ νοῒ τὴν τούτων στρέφειν μνήμην,*
*ἀλλ' ὡς νεκροὶ ὀφείλουσι πρὸς νεκροὺς διακεῖσθαι*
*ἀνεπαισθήτως πρὸς αὐτοὺς ἔχοντες τῇ αἰσθήσει,*
*καὶ γίνονται ὡς ἀληθῶς ἐθελόθυτοι ἄρνες.*
*Πρὸς ταῦτα τὰ πανάγια ῥήματα τῶν μαρτύρων,*
*τὰ πόθου πλήρη καὶ στοργῆς μεστὰ πρὸς τὸν Δεσπότην*
*ἀκούσαντα, τὰ Χερουβὶμ ὕμνησαν καὶ ἐν φόβῳ·*
*Δόξα σοί, εἶπον, βασιλεῦ, δόξα σοί, πανοικτίρμον,*
*ὁ δείξας μάρτυρας ἐν γῇ τῶν τυραννούντων δίχα,*
*μόνῳ τῷ πόθῳ τῷ εἰς σὲ μαρτυροῦντας καθ' ὥραν! –*

---

236. Πράξ. 16,26.
252. Λουκᾶ 16,26.

–Γι' αὐτὸ πολλοὶ σὰν ἄνοιξες ἐσὺ τὶς φυλακές τους
καὶ τὰ δεσμὰ τοῦ σώματος κατάπεσαν λυμένα
οἱ δοῦλοι σου δὲ διάλεξαν ἔξω νὰ βγοῦν καθόλου
ἀλλὰ ἔμειναν σὰ νὰ ἤτανε δεμένοι ἀκόμα ἀλήθεια–.
Ἔτσι λοιπόν, Σωτήρα μου, κι ὅσοι στόν κόσμο ζοῦνε
κι ἔχουν τὸν κόσμο ἀρνηθεῖ κι ὅλους τοὺς συγγενεῖς τους,
τοὺς φίλους, τοὺς συντρόφους τους καὶ ὅ,τι μὲς στὸν κόσμο,
κι ἀπὸ ὅλα τοῦτα πιὸ μπροστὰ στὸ θέλημά τους τὸ ἴδιο
καμιὰ ἐξουσία δὲν ἔχουν πιὰ πάνω στὸν ἑαυτό τους
μὰ κι ὅταν δὲν τοὺς συγκρατοῦν καθόλου οἱ ἡγούμενοί τους
τάξιμό τους νὰ κρατοῦν στὸν Κύριο τους ὀφείλουν.
Ὄχι σ' ἀνθρώπους μὰ στὸ Θεὸ ἔταξαν νὰ φυλάξουν
ὑπακοὴ κι ὑποταγὴ πρῶτα στοὺς ἡγουμένους
καὶ σ' ὅσους στὴ μονὴ ἀδελφοὺς μαζὶ μ' αὐτοὺς ἀσκοῦνται.
Τὸ μοναστήρι σὰ νησὶ στὴ μέση τῆς θαλάσσης
ὀφείλουνε νὰ κατοικοῦν κι ὁλόκληρος ὁ κόσμος
νὰ θεωροῦν ἀπάτητος γι' αὐτοὺς πῶς ἔχει γίνει,
σὰν ἕνα χάσμα ἀπέραντο ποὺ κυκλοτριγυρίζει
ὅλο τὸ μοναστήρι τους, ὥστε μήτε ἀπ' τὸν κόσμο
νά 'ρχεται κάποιος στὴ μονὴ μήτε ἀπ' τὴ μονὴ – νῆσο
ἐκεῖ στὸν κόσμο νὰ περνᾶ καὶ νὰ κοιτᾶ ὅλος πάθη
οὔτε καὶ στὴν καρδιὰ ἢ στὸ νοῦ τὴ μνήμη νά 'χει τούτην,
ἀλλὰ ὀφείλουν σὰ νεκροὶ μπρὸς σὲ νεκροὺς νὰ στέκουν
κι ἀναίσθητες τὶς αἰσθήσεις τους νάχουν μπροστὰ σ' ἐκείνους
κι ἀρνιὰ ἐθελούσια θύματα γίνονται αὐτοὶ στ' ἀλήθεια.
Στὰ λόγια τὰ πανάξια αὐτὰ οἱ μάρτυρες ποὺ εἶπαν,
γεμάτα πόθο καὶ στοργὴ μεστά, πρὸς τὸ Δεσπότη
σὰν ἄκουσαν τὰ Χερουβὶμ μὲ φόβο ὕμνησαν κι εἶπαν:
Δόξα σ' ἐσένα, βασιλιά, δόξα σ' ἐσένα, οἰκτίρμων,
ποὺ δίχως τύραννους στὴ γῆ, μάρτυρες ἔχεις δείξει,
ποὺ μαρτυροῦν κάθε στιγμὴ ἀπ' τὸν πόθο σου μονάχα.

---

235. Ὅλα σβήνουν καὶ ὑποχωροῦν μπροστὰ στὴν ἀγάπη τοῦ Χριστοῦ, γιατὶ ὁ μοναχὸς 'οὐκέτι τῆς ἑαυτοῦ ψυχῆς ἐξουσιάζει'.

*Ναί, εἶπε πάλιν ὁ Πατὴρ δι' Υἱοῦ καὶ τὸ Πνεῦμα*
*ἔλεξεν· Ὄντως, οἱ Θεὸν ἐκ καρδίας φιλοῦντες*
*καὶ τῇ ἀγάπῃ τῇ αὐτοῦ μόνῃ προσκαρτεροῦντες*
*καὶ τῷ ἰδίῳ θνήσκοντες θελήματι καθ' ὥραν!–*
*οὗτοι καὶ φίλοι γνήσιοι, οὗτοι συγκληρονόμοι,*
*οὗτοι καὶ μάρτυρές εἰσι τῇ προαιρέσει μόνῃ,*
*χωρὶς ξεσμῶν, ἀναρτισμῶν, ἐσχαρῶν καὶ λεβήτων*
*καὶ κατακαίοντος πυρὸς καὶ ξιφῶν τῶν τεμνόντων!*
*Πρὸς ταῦτα ὑπερκόσμιαι ὁμοῦ ἅπασαι τάξεις*
*ἠλάλαζαν· Δικαία σου ἡ κρίσις, πανοικτίρμον,*
*γραφήτω, σφραγισθήτω τε νῦν καὶ εἰς τοὺς αἰῶνας!*
*Ἀμήν.*

Πάλι ὁ Πατέρας μέσω Υἱοῦ 'ναί' εἶπε καὶ τὸ Πνεῦμα
πρόσθεσε· Ἀλήθεια, ὅσοι τὸ Θεὸ μὲ τὴν καρδιὰ ἀγαποῦνε
κι ὑπομονεύουν μοναχοὶ μὲ τὴ δική του ἀγάπη
καὶ μὲ δικό τους θέλημα πεθαίνουνε κάθε ὥρα,
αὐτοὶ καὶ φίλοι γνήσιοι, αὐτοὶ συγκληρονόμοι,
αὐτοὶ εἶναι καὶ μάρτυρες μὲ τὴν προαίρεση μόνο,
χωρὶς ξεσμοὺς καὶ σταυρωμοὺς καὶ λέβητες κι ἐσχάρες,
χωρὶς φωτιὰ ποὺ κατατρώει, ξίφη ποὺ κομματιάζουν!
Σὲ τοῦτα οἱ ὑπερκόσμιες ὅλες μαζὶ οἱ δυνάμεις
ἀλάλαξαν· Ἡ κρίση σου εἶναι δίκαιη, οἰκτίρμων.
Τοῦτο ἂς γραφτεῖ κι ἂς σφραγιστεῖ τώρα καὶ στοὺς αἰῶνες.
Ἀμήν.

---

275. Ἀποκ. 16,7.

## ΜΒ'

***Ὅτι οἱ τῷ Θεῷ ἀπ' ἐντεῦθεν ἤδη διὰ τῆς μετουσίας τοῦ ἁγίου Πνεύματος ἑνωθέντες ἐκδημοῦντες τοῦ βίου εἰς αἰῶνας αὐτῷ ἐκεῖθεν συνέσονται· εἰ δ' οὖν ἀλλὰ τὸ ἀνάπαλιν τοῖς ἄλλως ἔχουσιν ἐνταῦθα τότε γενήσεται.***

*Ἀρχὴ τοῦ βίου τέλος μοι καὶ τὸ τέλος ἀρχή μοι.*
*Τὸ ὅθεν ἥκω, ἀγνοῶ, τὸ ποῦ εἰμι, οὐκ οἶδα*
*καὶ ποῦ αὖθις ἀφίξομαι, οὐ γινώσκω, ὁ τάλας.*
*Γεννῶμαι γῆ ἀπὸ τῆς γῆς, ἀπὸ σώματος σῶμα,*
*ἀπὸ φθαρτοῦ πάντως φθαρτός, καὶ θνητὸς ὅλως πέλων*
*μικρὸν ἐν γῇ χρονοτριβῶ ζῶν ἐν σαρκὶ καὶ θνήσκω*
*καὶ βίου ἄλλου ἄρχομαι μεταβαίνων ἐκ τούτου.*
*Ἐῶ τὸ σῶμα ἐν τῇ γῇ ἀναστήσεσθαι μέλλον*
*καὶ ἀτελεύτητον ζωὴν ζήσεσθαι εἰς αἰῶνας.*
*Νῦν οὖν ἐπίβλεψον, Θεέ, νῦν σπλαγχνίσθητι, μόνε,*
*νῦν με ἐλέησον! Ἰδού, ἐξέλιπεν ἰσχύς μου,*
*εἰς γῆρας, Σῶτερ, ἤγγισα, εἰς πρόπυλα θανάτου.*
*Ἄρχων τοῦ κόσμου ἔρχεται ἀναζητῆσαι θέλων*
*τὰ ἔργα καὶ τὰς πράξεις μου, τὰς αἰσχρὰς καὶ βεβήλους,*
*οἱ δήμιοι παρίστανται ἀπηνῶς με ὁρῶντες*
*καὶ πρόσταγμα ἐκδέχονται λαβεῖν καὶ κατασπάσαι*
*εἰς ᾅδου, Σῶτερ, βάραθρον ψυχήν μου τὴν ἀθλίαν.*
*Σὺ οὖν, ὁ φύσει εὔσπλαγχνος, ὁ φιλάνθρωπος μόνος,*
*ὁ πανοικτίρμων Κύριος, ἐλέησόν με τότε*

---

4. Γεν. 2,7
11. Ψαλμ. 70,9.

## 42

**Ὅσοι ἤδη ἀπὸ ἐδῶ μὲ τὴ μετουσία τοῦ ἁγίου Πνεύματος ἑνώθηκαν μὲ τὸ Θεό, ἐκδημώντας ἀπὸ τὴ ζωὴ θὰ εἶναι ἐκεῖ μαζί του στοὺς αἰῶνες· σὲ ὅσους ὅμως συμβαίνει ἐδῶ διαφορετικά, θὰ γίνει τότε τὸ ἀντίθετο.**

Γιὰ μένα τέλος ἡ ἀρχὴ τοῦ βίου κι ἀρχὴ τὸ τέλος.
Ἀγνοῶ ἀπὸ ποῦ ἔρχομαι, ποῦ βρίσκομαι δὲν ξέρω
καὶ ποῦ καὶ πάλι θὰ βρεθῶ ὁ δόλιος δὲ γνωρίζω.
Γεννιέμαι γῆ ἀπὸ τὴ γῆ καὶ σῶμα ἀπὸ σῶμα,
φθαρτὸς στ' ἀλήθεια ἀπὸ φθαρτὸ κι ἀφοῦ θνητὸς εἶμαι ὅλος
λίγο στὴ γῆ χρονοτριβῶ στὴ σάρκα καὶ πεθαίνω
κι ἀρχίζω μιὰ καινούργια ζωὴ φεύγοντας ἀπὸ τούτη.
Μέσα στὴ γῆ τὸ σῶμα μου ν' ἀναστηθεῖ τ' ἀφήνω
καὶ ἀτελεύτητη ζωὴ νὰ ζήσει στοὺς αἰῶνες.
Τώρα λοιπὸν ἀπὸ ψηλά, Θεὲ μόνε, κοίταξέ με
δεῖξε εὐσπλαχνία κι ἔλεος. Ἡ δύναμή μου ἐχάθη,
Σωτήρ, στὸ γῆρας ἄγγιξα, πρόπυλα τοῦ θανάτου,
τοῦ κόσμου ἔρχεται ὁ ἄρχοντας θέλοντας νὰ ζητήσει
τὶς πράξεις μου τὶς βέβηλες κι αἰσχρὲς κι ὅλα τὰ ἔργα.
Στέκονται οἱ δήμιοι κοντὰ καὶ ἄγρια μὲ θωροῦνε,
καὶ περιμένουν διαταγὴ ἁρπάζοντας νὰ σύρουν,
Σωτήρα, στοῦ ἅδη τὸν γκρεμὸ τὴν ἄθλια τὴν ψυχή μου.
Ἐσὺ ἀπ' τὴ φύση σου εὔσπλαχνος, φιλάνθρωπος σὺ μόνος,
ὁ πανοικτίρμων Κύριος ἐλέησέ με τότε

---

13. Ἰω. 14,30.

1. 'ἀρχὴ' προφανῶς τῆς ἀληθινῆς ζωῆς.

*καὶ μὴ μνησικακήσῃς μοι, μή με ἐγκαταλίπῃς,*
*μὴ δώσῃς χώραν κατ' ἐμοῦ ἐχθρῷ μου τῷ δολίῳ,*
*τῷ καθ' ἑκάστην ὥραν μοι προσεπαπειλουμένῳ,*
*ὠρυομένῳ κατ' ἐμοῦ, τρίζοντι τοὺς ὀδόντας*
*καί· Ποῦ θαρρεῖς; μοὶ λέγοντι, Πῶς δὲ διαφυγεῖν μου*
*ἐλπίζεις χεῖρας, ὅτι με καταλιπὼν προσῆλθες*
*Χριστῷ κἀμοῦ τὰς ἐντολὰς ἄρτι παρελογίσω;*
*Ἀλλ' οὐκ ἐκφύγεις οὐδαμῶς, ποῦ γὰρ καὶ ἀπελεύσῃ;*
*Οὐ διαδρᾶσαι πώποτε ὅλως ἐμὲ ἰσχύσεις,*
*τὸν τὸν Ἀδὰμ ἐξάξαντα καὶ Εὔαν παραδείσου,*
*τὸν καὶ τὸν Κάιν ἀδελφοῦ ποιήσαντα φονέα,*
*τὸν ἐπὶ τοῦ κατακλυσμοῦ πάντας ὁμοῦ τῇ πλάνῃ*
*καὶ τῷ θανάτῳ τῷ φρικτῷ περιπεσεῖν ἀθλίως*
*εἰς τέλος δελεάσαντα ταῖς ἐμαῖς ἐξαπάταις,*
*τὸν τὸν Δαυὶδ πλανήσαντα πρὸς μοιχείαν καὶ φόνον,*
*τὸν ἄραντα πρὸς ἅπαντας πόλεμον τοὺς ἁγίους*
*καὶ πολλοὺς θανατώσαντα, σύ με πῶς διαδρᾶσαι*
*ὅλως θαρρεῖς καὶ προσδοκᾷς, ὁ ἀσθενὴς εἰς ἅπαν; –*
*Ταῦτα ἀκούων, Δέσποτα καὶ Θεέ μου καὶ κτίστα,*
*δημιουργέ μου καὶ κριτά, ὁ ἔχων ἐξουσίαν*
*ψυχῆς ἐμῆς καὶ σώματος ὡς ἀμφοτέρων πλάστης,*
*φρίττω καὶ ὅλος δέδοικα, ὅλος τρέμω ὁ τάλας.*
*Προβάλλεται καὶ λέγει μοι ὁ δόλιος, Χριστέ μου,*
*ὅτι· Ἰδοὺ οὐκ ἀγρυπνεῖς, ἰδού, οὐκ ἐγκρατεύῃ,*
*ἰδού, εὐχὴν οὐ κέκτησαι, οὐ ποιεῖς προσκυνήσεις,*
*κόπους οὐκ ἐπιδείκνυσαι, οἵους πάλαι ἀπήρξω,*
*καὶ διὰ ταῦτα μόνα σε τοῦ Χριστοῦ σε χωρίσω*
*καὶ μετ' ἐμοῦ σε λήψομαι ἐν πυρὶ τῷ ἀσβέστῳ. –*
*Ἐγὼ οὖν, οἶδας, Δέσποτα, ὡς οὐδέποτε ἔργοις*
*ἐπίστευσα ἢ πράξεσι ψυχῆς μου σωτηρίαν,*
*ἀλλὰ τῷ σῷ, φιλάνθρωπε, προσέδραμον ἐλέει*

---

23. Α' Πέτρ. 5,8. Μάρκ. 9,18.
39–40. Λουκᾶ 12,425.

καὶ μὴ φανεῖς μνησίκακος καὶ μὴ μ' ἐγκαταλείψεις,
μὴ δώσεις ἄδεια ἐνάντιά μου στὸ δολερὸν ἐχθρό μου,
ποὺ κάθε ὥρα καὶ στιγμὴ νὰ μ' ἀπειλεῖ δὲν παύει,
νὰ ὠρύεται ἐναντίον μου, τὰ δόντια του νὰ τρίζει,
καὶ νὰ μοῦ λέει· 'Τὸ θάρρος σου ποῦ ἔχεις, πῶς νὰ ξεφύγεις
ἐλπίζεις ἀπ' τὰ χέρια μου καὶ μ' ἄφησες καὶ πῆγες
στὸ Χριστὸ καὶ τὶς ἐντολὲς πάτησες τὶς δικές μου;
Μὰ δὲ μοῦ φεύγεις ἔτσι ἢ ἀλλιῶς· καὶ ποῦ θὰ καταφύγεις;
Δὲ θὰ μπορέσεις ἀπὸ ἐμὲ ποτέ σου νὰ ξεφύγεις,
ἐμὲ ποὺ ἀπ' τὸν παράδεισο ἔβγαλα 'Αδὰμ καὶ Εὔα
καὶ ποὺ τὸν Κάιν ἔκανα φονιὰ τοῦ ἀδελφοῦ του,
ποὺ τότε στὸν κατακλυσμὸ ὅλους μαζὶ στὴν πλάνη
καὶ στὸν φριχτὸ τὸ θάνατο νὰ πέσουνε στὸ τέλος
πανάθλιοι, ξεγελώντας τους μὲ τὶς δικές μου ἀπάτες,
ποὺ τὸ Δαβὶδ παρέσυρα σὲ φόνο καὶ μοιχεία,
ποὺ σ' ὅλους ἐξεσήκωσα πόλεμο τοὺς ἁγίους
καὶ ποὺ θανάτωσα πολλούς, ἐσὺ πῶς ἔχεις θάρρος
καὶ νὰ ξεφύγεις προσδοκᾶς ἔτσι ἀσθενὴς ὁπού εἶσαι;'
– Αὐτὰ ἀκούοντας, Δέσποτα καὶ Θεέ μου ἐσὺ καὶ κτίστη,
δημιουργέ μου καὶ κριτή, τὴν ἐξουσία ποὺ ἔχεις
στὸ σῶμα μου καὶ τὴν ψυχή, ποὺ ἔπλασες καὶ τὰ δύο,
φρίκη καὶ φόβος μὲ κρατεῖ τὸ δόλιο καὶ τρεμούλα.
Προβάλλει καὶ μοῦ λέει κοφτὰ ὁ δολερός, Χριστέ μου·
Σὺ τὴν ἀγρύπνια δὲν τηρεῖς, ἐγκράτεια ἐσὺ δὲν κάνεις,
στὴν προσευχὴ δὲ δίνεσαι, δὲ σκύβεις σὲ μετάνοιες,
κόπους δὲν ἔχεις νὰ μᾶς πεῖς ποὺ ἄρχισες ἀπὸ πρῶτα·
γι' αὐτὰ καὶ μόνο ἀπ' τὸ Χριστὸ θὲ νὰ σ' ἀποχωρίσω
καὶ θὰ σὲ πάρω στὴ φωτιὰ τὴν ἄσβεστη μαζί μου–.
Μὰ ἐγὼ τὸ ξέρεις, Δέσποτα, στὰ ἔργα ἐγὼ ποτέ μου
τὴ σωτηρία τῆς ψυχῆς δὲ στήριξα ἢ στὶς πράξεις,
μὰ πρόστρεξα, φιλάνθρωπε, στὸ ἔλεος τὸ δικό σου,

47. Ματθ. 3,12.

49. Δὲν εἶναι τὰ ἔργα καὶ οἱ πράξεις ποὺ σώζουν, ἀλλὰ τὸ ἔλεος τοῦ Θεοῦ.

*θαρρήσας, ὅτι σώσεις με δωρεάν, πανοικτίρμον,*
*καὶ ἐλεήσεις ὡς Θεὸς καθὼς ποτε τὴν πόρνην*
*καὶ ὡς τὸν ἄσωτον υἱόν, τὸ «Ἥμαρτον», εἰπόντα.*
*Οὕτω πιστεύσας ἔδραμον, οὕτω θαρρήσας ἦλθον,*
*οὕτως ἐλπίσας, Δέσποτα, πρὸς σὲ παρεγενόμην·*
*καὶ νῦν μὴ ἐγκαυχήσηται κατ' ἐμοῦ, τοῦ σοῦ δούλου,*
*μὴ εἴπῃ· Ποῦ σου ὁ Χριστός, ποῦ σου ὁ ἀντιλήπτωρ;*
*οὐχὶ ἐκεῖνος σὲ αὐτὸς παρέδωκε χερσί μου; –*
*Εἰ γὰρ καὶ ἀπατήσῃ με καὶ αἰχμάλωτον λάβῃ,*
*οὐ μὴ τῇ προαιρέσει μου οὐδὲ τῇ ῥᾳθυμίᾳ*
*τοῦτο προσεπιγράψηται, τῇ δὲ ἐγκαταλείψει*
*σῇ τὸ πᾶν ἀναθέμενος τὰ τοιαῦτα ἐρεῖ μοι·*
*Ἴδε, εἰς ὃν ἐθάρρησας, ἴδε, εἰς ὃν προσῆλθες,*
*ἴδε, ὃν οἴου σε φιλεῖν, ὃν οἴου ἀγαπᾶν σε*
*καὶ ἀδελφὸν καὶ φίλον σε, υἱὸν καὶ κληρονόμον*
*ἐνεκαύχω κεκτῆσθαί σε, πῶς ἐγκατέλιπέ σε,*
*εἰς τὰς ἐμάς τε, τοῦ ἐχθροῦ, χεῖρας ἐξέδοτό σε*
*καὶ αἴφνης ἀπεστράφη σε, αἴφνης ἐμίσησέ σε; –*
*Μὴ οὖν ἀκοῦσαι ταῦτά με, Σῶτερ, ἐγκαταλείψῃς,*
*μὴ ὄνειδος γενήσεσθαι σοῦ ἐάσῃς, Θεέ μου,*
*μὴ βασιλεῦ, μὴ Κύριε, ὁ τοῦ σκότους με πάλαι*
*καὶ τῶν χειρῶν καὶ φάρυγγος ἐκείνου με ἐξάξας*
*καὶ τῷ φωτὶ ἐλεύθερον τῷ σῷ με παραστήσας!*
*Σὲ γὰρ ὁρῶν τιτρώσκομαι τὰ ἐντὸς τῆς καρδίας*
*καὶ βλέπειν οὐκ ἰσχύω σε καὶ μὴ βλέπειν οὐ φέρω·*
*ἀπρόσιτον τὸ κάλλος σου, ἀμίμητον τὸ εἶδος,*
*ἀσύγκριτος ἡ δόξα σου, καὶ τίς ποτέ σε εἶδεν*
*ἢ τίς ἰδεῖν σε δυνηθῇ ὅλον, σέ, τὸν Θεόν μου;*
*Τὸ πᾶν γὰρ ποῖος ὀφθαλμὸς κατιδεῖν ἐξισχύσει;*
*Τὸν ὄντα δὲ ὑπὲρ τὸ πᾶν ποῖος νοῦς καταλάβῃ,*
*περιλαβεῖν τε δυνηθῇ ἢ ἐκτανθῆναι ὅλος*
*πρὸς ὅλον καὶ θεάσασθαι τὸν συνοχέα πάντων,*

---

53. Λουκᾶ 15,21. 77–78. Α' Τιμ. 6,16.

θαρρεύοντας πὼς δωρεάν, εὔσπλαχνε, θὰ μοῦ δώσεις
καὶ θὰ μὲ ἐλεήσεις σὰ Θεὸς σὰν κάποτε τὴν πόρνη
κι ὅπως τὸν ἄσωτο τὸ γιὸ τὸ ‘ἥμαρτον’ σὰν εἶπε.
Μὲ τέτοια πίστη ἔτρεξα, μὲ τέτοιο θάρρος ἦρθα,
μὲ τέτοια ἐλπίδα, Δέσποτα, ἔφτασα πρὸς ἐσένα,
κι ἐνάντια μου, τοῦ δούλου σου, ἂς μὴ θριαμβολογήσει,
Ποῦ ’ναι ὁ Χριστός σου; ἂς μὴν πεῖ, ποῦ ’ναι ὁ βοηθός σου;
Ὁ ἴδιος δὲ σὲ παρέδωσε στὰ χέρια τὰ δικά μου;
– Κι ἂν μ’ ἀπατήσει, ἀκόμα κι ἂν αἰχμάλωτο μὲ λάβει,
στὴν προαίρεσή μου βέβαια κι οὔτε στὴ ραθυμία
δὲ θὰ τὸ ἀποδώσει αὐτό, ἀλλὰ θὰ τὸ ἀναθέσει
στὸ ὅτι μ’ ἐγκατάλειψες καὶ τέτοια θὰ μοῦ ψάλει·
‘Κοίταξε αὐτὸν ὅπου ἔλπισες, κοίτα σὲ ποιόν ἐπῆγες,
κοίτα ποιός σ’ ἀγαπὰ ἔλεγες καὶ ποιὸς πῶς σ’ ἀγκαλιάζει,
καὶ φίλο ἐσένα κι ἀδελφὸ καὶ γιὸ καὶ κληρονόμο
καυχιόσουν πὼς σὲ πρόβαλλε, πῶς σ’ ἔχει ἀφήσει τώρα
καὶ πῶς στὰ χέρια ἐμὲ τοῦ ἐχθροῦ σου σ’ ἔχει παραδώσει
κι ἄξαφνα σ’ ἀποστράφηκε κι αἴφνης σ’ ἔχει μισήσει’.–
Ν’ ἀκούσω τέτοια λόγια μή, Σωτῆρα μου, ἐπιτρέψεις,
καὶ μὴν ἀφήσεις νὰ γινῶ, Θεέ μου, τ’ ὄνειδός σου,
μὴ βασιλιά, μὴ Κύριε, ὁπού παλιὰ ἀπ’ τὸ σκότος
κι ἀπὸ τὰ χέρια μ’ ἔβγαλες κι ἀπὸ τὸ στόμα ἐκείνου
κι ἐλεύθερο μέσα στὸ φῶς μ’ ἔδειξες τὸ δικό σου.
Σὲ βλέπω καὶ πληγώνομαι μὲς στῆς καρδιᾶς τὰ βάθη,
νὰ σὲ θωρῶ δὲ δύναμαι κι οὔτε νὰ μὴ σὲ βλέπω·
τὸ κάλλος σου ἀπροσπέλαστο κι ἀμίμητη ἡ μορφή σου,
ἀσύγκριτη εἶναι ἡ δόξα σου καὶ ποιός εἶναι ποὺ σ’ εἶδε
καὶ ποιός στὸ βάθος σου θὰ δεῖ ἐσένα τὸ Θεό μου;
Τὸ ὅλο σου ποιός ὀφθαλμὸς νὰ δεῖ θὲ νὰ μπορέσει;
Κι αὐτὸν ποὺ πάνω εἶν’ ἀπ’ τὸ πᾶν ποιός νοῦς θὰ καταλάβει
καὶ νὰ συλλάβει ἢ νὰ ἐκταθεῖ ὅλος ποιός θὰ μπορέσει
σ’ ὅλον ἐκεῖνον καὶ νὰ δεῖ αὐτὸν ποὺ ὅλα συνέχει,

53. Ἡ ἀναγνώριση τῆς ἁμαρτίας εἶναι σωτήρια.

*τὸν πάντων ἔξω καὶ τὸ πᾶν καὶ τὰ πάντα πληροῦντα*
*καὶ ἔξω πάλιν τὸν αὐτὸν ὅλον ὄντα ἀφράστως;*
*Ὅμως ὡς ἥλιον ὁρῶ καὶ ὡς ἄστρον σε βλέπω,*
*καὶ ἐν τῷ κόλπῳ φέρω σε, καθάπερ μαργαρίτην,*
*καὶ ὡς λαμπάδα βλέπω σε σκεύους ἡμμένην ἔνδον.*
*Ὅτι δὲ οὐ πλατύνεσαι, ὅτι μὴ ὅλον φῶς με*
*ἀποτελεῖς καὶ δείκνυσαι ὅλος μοι, οἷος, ὅσος*
*ὑπάρχεις, ὅλως οὐ δοκῶ ἔχειν σε τὴν ζωήν μου,*
*ἀλλὰ θρηνῶ ὥς τις πτωχὸς γεγονὼς ἐκ πλουσίων*
*καὶ ἐξ ἐνδόξων ἄτιμος καὶ μὴ ἔχων ἐλπίδα.*
*Τοῦτο οὖν βλέπων ὁ ἐχθρὸς λέγει μοι· Σὺ οὐ σῴζῃ·*
*καὶ γὰρ ἰδού, ἐκπέπτωκας, ἠστόχησας ἐλπίδων,*
*ὅτι οὐκ ἔχεις πρὸς Θεὸν ὡς πάλαι παρρησίαν. –*
*Πρὸς ὃν οὐ λόγον φθέγγομαι, οὐκ ἀξιῶ, Θεέ μου,*
*ἀλλ' ἐμφυσῶ, καὶ ἄφαντος εὐθὺς ἀποτελεῖται.*
*Οὕτως αἰτοῦμαι, Δέσποτα, οὕτω παρακαλῶ σου,*
*τὴν εὐσπλαγχνίαν δώρησαι καὶ τότε μοι, Σωτήρ μου,*
*ὅτε ψυχὴ ἐξέλθῃ μου τοῦ σώματος, ἰσχῦσαι*
*μόνῳ τῷ ἐμφυσήματι ἅπαντας καταισχῦναι*
*τοὺς κατ' ἐμοῦ, τοῦ δούλου σου, μέλλοντας ἐπιτρέχειν,*
*καὶ διαβῆναι ἀβλαβεῖ φρουρουμένῳ φωτί σου*
*τοῦ Πνεύματος καὶ ἔμπροσθεν στῆναι τοῦ βήματός σου,*
*ἔχοντι χάριν σου, Χριστέ, συνοῦσάν μοι τὴν θείαν,*
*σκέπουσαν, ἀκαταίσχυντον δεικνύουσάν με ὅλον.*
*Τίς γὰρ τολμήσειεν ἄρα ἔμπροσθέν σου ὀφθῆναι,*
*εἰ μὴ αὐτὴν ἐνδέδυται, εἰ μὴ αὐτὴν ἐντός γε*
*κατέχει καὶ φωτίζεται ὑπ' αὐτῆς; Πῶς τὴν δόξαν*
*τὴν ἄστεκτον θεάσασθαι δυνηθῇ πᾶς τις ὅλως;*
*Δόξαν Θεοῦ γὰρ ἄνθρωπος, φύσιν θεότητός τε*
*φύσις ἀνθρώπου ταπεινὴ πῶς κατιδεῖν ἰσχύσει;*
*Ἔστι Θεὸς γὰρ ἄκτιστος, ἡμεῖς κτιστοὶ δὲ πάντες,*

---

95. Α' Ἰω. 3,21.
104. Β' Κορ. 5,21.

ποὺ εἶναι ἔξω ἀπ' ὅλα μὰ τὸ πᾶν καὶ τὰ πάντα γεμίζει
καὶ εἶναι πάλι ἔξω αὐτὸς ἀνέκφραστα ἀπ' ὅλα;
Ὅμως σὰν ἥλιο σὲ θωρῶ καὶ σὰν ἄστρο σὲ βλέπω
καὶ μὲς στὸν κόρφο σὲ κρατῶ καθὼς μαργαριτάρι
καὶ σὰ λαμπάδα σὲ θωρῶ ποὺ καίει κλειστὴ σὲ σκεῦος.
Μ' ἀφοῦ δὲν ἐπεκτείνεσαι καὶ δὲ μὲ κάνεις ὅλον
φῶς καὶ δὲ δείχνεσαι σ' ἐμὲ ὅλος ποιός μὰ καὶ πόσος
εἶσαι, καθόλου δὲ θαρρῶ πὼς ἔχω ἐσέ, τὴ ζωή μου,
ἀλλὰ θρηνῶ σὰν τὸ φτωχὸ ποὺ ἔγινε ἀπὸ πλούσιος
κι ἄτιμος ἀπὸ ἔνδοξος, χωρὶς καμιὰν ἐλπίδα.
Τὰ βλέπει τοῦτα ὁ ἐχθρὸς καὶ λέει· 'Δὲν ἔχει σωτηρία
γιὰ σένα, γιατὶ ξέπεσες κι ἔχασες κάθε ἐλπίδα,
γιατὶ δὲν ἔχεις στὸ Θεὸ ὅπως πρῶτα παρρησία'.
–Λόγο δὲ λέγω ἐγὼ σ' αὐτόν, ἀπαξιῶ, Θεέ μου,
φυσῶ ἐπάνω του κι εὐθὺς ἄφαντος ἀπὸ μπρός μου.
Ἔτσι γυρεύω, Δέσποτα, κι ἔτσι παρακαλῶ σε
τὴν εὐσπλαχνία σου δῶσε μου, Σωτῆρα μου, καὶ τότε,
ὅταν ἀπὸ τὸ σῶμα μου θὰ βγεῖ ἡ ψυχή μου, ὥστε
μονάχα μ' ἕνα φύσημα ὅλους νὰ τοὺς ντροπιάσω,
ὅσοι σ' ἐμὲ τὸ δοῦλο σου ἐνάντια θὲ νὰ ὁρμήσουν,
καὶ νὰ περάσω ἀβλαβὴς ἀπὸ τοῦ Πνεύματός σου
τὸ φῶς φρουρούμενος μπροστὰ στὸ βῆμα νὰ σταθῶ σου,
τὴ χάρη σου ἔχοντας, Χριστέ, τὴ θεία συντροφιά μου,
νὰ μὲ φυλάει κι ἀντρόπιαστο νὰ μὲ παρουσιάζει.
Ποιός τάχα θά 'ναι ὁ τολμηρὸς ποὺ θὰ φανεῖ μπροστά σου,
ἂν δὲν ἔχει τὴ χάρη σου ντυθεῖ καὶ ἂν ἐντός του
δὲν τὴν κατέχει κι ἂν αὐτὴ δὲν τὸν φωτίζει; Ἀκέρια
τὴ δόξα τὴν ἀβάσταχτη πῶς νὰ βαστάξει κάποιος;
Τὴ δόξα ὁ ἄνθρωπος τοῦ Θεοῦ, τῆς θεότητας τὴ φύση,
πῶς θὰ μπορέσει ἡ ταπεινὴ φύση νὰ δεῖ τοῦ ἀνθρώπου;
Ἄπλαστος εἶναι ὁ Θεὸς κι ἐμεῖς ὅλοι πλασμένοι,

---

100. Μεγάλη ἡ ἀπαίτηση τοῦ Συμεών· μὲ ἁπλὸ φύσημα νὰ διαλυθοῦν οἱ ἐναντίον του κατηγορίες τῶν ἐχθρῶν του σὰν ἱστοὶ ἀράχνης.

*Ἐκεῖνος πέλει ἄφθαρτος, ἡμεῖς φθαρτοὶ καὶ κόνις,*
*Ἐκεῖνος πνεῦμα πέφυκεν ὑπὲρ ἅπαν δὲ πνεῦμα*
*ὡς ποιητὴς πνευμάτων τε καὶ Δεσπότης ὑπάρχων,*
*ἡμεῖς σάρκες χοϊκαὶ καὶ γεώδης οὐσία,*
*Ἐκεῖνος πάντων ποιητής, ἄναρχος ἄληπτός τε,*
*ἡμεῖς σκώληκες ὁμοῦ καὶ βόρβορος καὶ τέφρα·*
*καὶ τίς ἰσχύσει ἐξ ἡμῶν τοῦτον ποτὲ ἰδέσθαι*
*ἐξ οἰκείας δυνάμεως ἢ ἐνεργείας ὅλως,*
*εἰ μὴ αὐτὸς ἐκπέμψειε Πνεῦμα αὐτοῦ τὸ Θεῖον*
*καὶ δι' αὐτοῦ τῷ ἀσθενεῖ τῆς φύσεως παράσχῃ*
*ρώμην, ἰσχὺν καὶ δύναμιν καὶ ἱκανὸν ποιήσῃ*
*τὸν ἄνθρωπον τοῦ κατιδεῖν δόξαν αὐτοῦ τὴν θείαν;*
*Ἄλλως γὰρ οὐ θεάσεται οὐδὲ ἰδεῖν ἰσχύσει*
*ἀνθρώπων τις τὸν Κύριον ἐρχόμενον ἐν δόξῃ,*
*καὶ οὕτω χωρισθήσονται ἄδικοι τῶν δικαίων*
*καὶ σκότει καλυφθήσονται ἁμαρτωλοὶ καὶ πάντες*
*ὅσοι μὴ ἕξουσι τὸ φῶς ἐν αὐτοῖς ἀπ' ἐντεῦθεν.*
*Οἱ συνημμένοι δὲ αὐτῷ ἐκ τῶν ὧδε καὶ τότε*
*μυστικῶς συναφθήσονται τῷ Θεῷ καὶ γνησίως*
*καὶ τῆς αὐτοῦ ὑπάρξουσι μετουσίας ἀχώριστοι·*
*οἱ δ' ἀπελθόντες τοῦ φωτὸς αὐτοῦ κεχωρισμένοι*
*πῶς τότε ἑνωθήσονται ἢ κατὰ ποῖον τρόπον,*
*μαθεῖν παρ' ὑμῶν βούλομαι, εἴτε ὑμᾶς διδάξαι·*
*Θεὸς γέγονεν ἄνθρωπος, ἡνώθη τε ἀνθρώποις,*
*μετέσχεν ἀνθρωπότητος καὶ μετέδωκε πᾶσι*
*τοῖς εἰς αὐτὸν πιστεύουσι καὶ τὴν πίστιν ἐξ ἔργων*
*δεικνύουσι θεότητος αὐτοῦ τῇ μετουσίᾳ.*
*Τούτους οὖν εἶπε σῴζεσθαι μόνους τοὺς μετασχόντας*
*ἐκείνου τῆς θεότητος, καθὼς αὐτὸς μετέσχε*
*τῆς ἡμετέρας φύσεως, ὁ ποιητὴς τῶν πάντων,*
*ὁ Παῦλος ὡς μαρτύρεται Χριστοῦ τὴν Ἐκκλησίαν*

---

126–127. Α' Τιμ. 6,16.
127. Ματθ. 24,30.

ἐκεῖνος εἶναι ἄφθαρτος, ἐμεῖς φθαρτοὶ καὶ σκόνη·
Πνεῦμα εἶναι αὐτὸς στὴ φύση του πάνω ἀπὸ κάθε πνεῦμα,
ἀφοῦ τὰ πνεύματα ἔκτισε καὶ Κύριός τους εἶναι·
σάρκες ἐμεῖς χωμάτινες καὶ χωματένια μάζα·
ἐκεῖνος ὅλων δημιουργός, ἀκατανόητος, δίχως
ἀρχή, σκουλήκια ἐμεῖς μαζὶ καὶ βόρβορος καὶ τέφρα·
καὶ ποιός θ' ἀντέξει ἀπὸ μᾶς τοῦτον νὰ δεῖ ποτέ του
ἀπὸ δική του δύναμη ἢ ἀπὸ μιά του ἐνέργεια,
ἐὰν αὐτὸς τὸ Πνεῦμα του τὸ θεῖο δὲν τοῦ στείλει
καὶ μὲ αὐτὸ στὴν ἀσθενὴ τὴ φύση του δὲν δώσει
ρώμη, ἀντοχὴ καὶ δύναμη καὶ ἱκανὸ δὲν κάνει
τὸν ἄνθρωπο τὴ δόξα του τὴ θεία ν' ἀντικρίσει;
Ἀλλιῶς δὲ θὲ νὰ θεαστεῖ οὔτε νὰ δεῖ θ' ἀντέξει
ὁ ἄνθρωπος νὰ ἔρχεται τὸν Κύριο μὲ δόξα
καὶ ἔτσι θὲ νὰ χωριστοῦν οἱ ἄδικοι ἀπ' τοὺς δίκαιους
κι οἱ ἁμαρτωλοὶ θὰ σκεπαστοῦν μὲ τὸ σκοτάδι κι ὅλοι
ὅσοι δὲν πάρουνε τὸ φῶς ἀπὸ ἐδῶ κάτω ἐντός τους.
Ἀλλ' ὅσοι ἑνώθηκαν μ' αὐτὸν ἀπὸ τὴ γῆ, καὶ τότε
θὰ ἑνωθοῦνε μυστικὰ μὲ τὸ Θεὸ καὶ γνήσια
κι ἀπὸ τὴ μετοχὴ μ' αὐτὸν ἀχώριστοι θὰ μείνουν.
Μὰ ὅσοι φύγουν ἀπ' τὸ φῶς ἐκείνου χωρισμένοι
πῶς τότε θὰ ἑνωθοῦν μ' αὐτόν, ποιός θά 'ναι αὐτὸς ὁ τρόπος;
θέλω νὰ μάθω ἀπὸ σᾶς, ἀλλιῶς νὰ σᾶς διδάξω·
Ἄνθρωπος ἔγινε ὁ Θεὸς κι ἑνώθηκε μαζί τους,
τὴν ἀνθρωπότητα ἔλαβε καὶ τὴ θεότητά του
ἔδωσε κοινωνώντας την σ' ὅλους ὅσοι σ' ἐκεῖνον
πιστεύουν καὶ μὲ τὰ ἔργα τους τὴν πίστη τους τοῦ δείχνουν.
Αὐτοὶ ὅτι μόνοι σώζονται εἶπε ποὺ κοινωνῆσαν
τὴν ἴδια του θεότητα καθῶς κι αὐτὸς τὴ φύση
κοινώνησε τὴν ἴδια μας ὁ ποιητὴς τῶν ὅλων,
καθὼς ὁ Παῦλος μαρτυρεῖ πὼς θὰ γινεῖ ἕνα σῶμα

139. Ἰακ. 2,17.
144. Βλ. Ἐφ. 1,22–23· 4,4.

*ἓν γενήσεσθαι σῶμά γε δεσποτικὸν καὶ θεῖον,*
*ἄσπιλον, ἄμωμον ὁμοῦ, ρυτίδος πάσης δίχα·*
*οἵτινες ἂν εἶεν οἱ πιστοί, κεφαλὴ ὁ Χριστός δέ.*
*Εἰ τοῦτο τοίνυν ἔσεται οὕτως, ὥσπερ καὶ ἔστι,*
*τίς ἄρα τότε τολμήσει ρυπαρὸς αὐτοῦ προσψαῦσαι*
*ἢ τίς προσκολληθήσεται ἀνάξιος τυγχάνων;*
*Εἰ γὰρ καὶ νῦν ἐκβάλλονται τῆς Ἐκκλησίας ἔξω*
*καὶ μετασχεῖν κωλύονται ἁμαρτωλοὶ εἰς ἅπαν,*
*μᾶλλον δὲ καὶ τῆς τῶν θείων θέας ἀποστεροῦνται*
*οἱ μὴ πέλοντες ἅγιοι, πῶς οἴμοι τότε ἄρα*
*τῷ παναμώμῳ σώματι τοῦ Θεοῦ ἑνωθῶσι*
*καὶ μέλη γένωνται Χριστοῦ ἐσπιλωμένοι ὄντες;*
*Οὐκ ἔστι τοῦτο, ἀδελφοί, οὐ γενήσεται ὅλως!*
*Οἱ δὲ τοῦ θείου σώματος ἤγουν τῆς Ἐκκλησίας*
*καὶ τοῦ χοροῦ τῶν ἐκλεκτῶν χωριζόμενοι, λέγε,*
*ποῦ ἄρα ἀπελεύσονται, εἰς ποίαν βασιλείαν,*
*εἰς ποῖον τόπον, φράσον μοι, ἐλπίζουσι σκηνῶσαι;*
*Πάντως γὰρ καὶ παράδεισος, ὁ Ἀβραάμ τε κόλπος*
*καὶ πᾶς τόπος ἀνέσεως τῶν σῳζομένων ἔστιν·*
*οἱ δὲ σῳζόμενοί εἰσιν ἅγιοι πάντως πάντες,*
*ὡς πᾶσα θεία μαρτυρεῖ Γραφὴ καὶ ἐκδιδάσκει.*
*Πολλαὶ γὰρ καὶ μοναί εἰσιν, ἀλλ' ἐντὸς τοῦ νυμφῶνος·*
*καθάπερ γὰρ εἷς οὐρανὸς καὶ ἐν αὐτῷ ἀστέρες*
*ἀλλήλων διαφέροντες ἐν τιμῇ καὶ δόξῃ,*
*οὕτω καὶ εἷς νυμφών ἐστι καὶ μία βασιλεία,*
*ἀλλὰ γὰρ καὶ παράδεισος καὶ πόλις ἡ ἁγία*
*καὶ πᾶς τόπος ἀνέσεως ὁ Θεός ἐστι μόνος.*
*Ὡς γὰρ οὐκ ἔχει ἄνεσιν ἄνθρωπος ἐν τῷ βίῳ,*
*ὁ μὴ μένων ἐν τῷ Θεῷ καὶ Θεὸς ἐν αὐτῷ δέ,*
*οὕτω καὶ μετὰ θάνατον ἐκτὸς ἐκείνου μόνου,*

---

146. Ἐφ. 5,27. 156. Α' Κορ. 6,15.
162. Λουκᾶ 16,22.

ἡ Ἐκκλησία τοῦ Χριστοῦ δεσποτικὸ καὶ θεῖο,
ἄσπιλο καὶ πανάμωμο, χωρὶς καμιὰ ρυτίδα,
κι αὐτοὶ θὲ νά ᾿ναι οἱ πιστοὶ καὶ ὁ Χριστὸς κεφαλή τους.
Ἂν ἔτσι τοῦτο εἶναι λοιπόν, ὅπως ἐξάλλου κι εἶναι,
ποιός θὰ τολμήσει ρυπαρὸς νὰ τὸν ἀγγίζει τότε,
ποιός θὰ προσκολληθεῖ σ᾿ αὐτὸν ἀνάξιος ὅταν εἶναι;
Γιατὶ ἂν καὶ τώρα διώχνονται ἀπὸ τὴν ἐκκλησία
κι οἱ ἁμαρτωλοὶ ἐμποδίζονται κι ἀπὸ κάθε κοινωνία,
κι ἀκόμα ἐμποδίζονται ἀπὸ τὴ θέα τῶν θείων
ὅσοι δὲν εἶναι ἅγιοι, ἀλί, πῶς τάχα τότε
μὲ τὸ πανάχραντο τοῦ Θεοῦ σῶμα θὰ ἑνωθοῦνε
καὶ θὰ γινοῦν μέλη Χριστοῦ ἐνῶ εἶναι σπιλωμένοι;
Τοῦτο δὲ γίνεται, ἀδελφοί, κι οὔτε ποτὲ θὰ γίνει.
Κι ὅσοι ἀπ᾿ τὸ σῶμα τὸ θεϊκό, λέγω τὴν Ἐκκλησία,
κι ἀπ᾿ τὸ χορὸ τῶν ἐκλεκτῶν θὰ χωριστοῦνε, πές μου,
ποῦ τάχατε θὰ πορευτοῦν καὶ σὲ ποιά βασιλεία
καὶ σὲ ποιό τόπο ἐλπίζουνε, πές μου, σκηνὴ νὰ στήσουν;
Ὡστόσο ὁ παράδεισος καὶ τοῦ Ἀβραὰμ ὁ κόρφος
εἶναι γι᾿ αὐτοὺς ποὺ σώζονται κι ἄνεσης τόποι χίλιοι.
Κι αὐτοὶ ποὺ σώζονται ἅγιοι εἶναι ὅλοι τους καὶ μόνο,
ὅπως ἡ θεία μαρτυρεῖ Γραφὴ καὶ ὅπως διδάσκει.
Θέσεις ὑπάρχουνε πολλές, μὲς στὸ νυμφώνα μέσα,
ὅπως εἶναι ἕνας οὐρανὸς κι ἀστέρια σ᾿ αὐτὸν λάμπουν,
ποὺ ξεχωρίζουν στὴν τιμὴ καὶ δόξα τό ᾿να ἀπ᾿ τ᾿ ἄλλο,
κι ἕνας νυμφώνας ἔτσι εἶναι καὶ μία βασιλεία·
ὡστόσο καὶ παράδεισος ἀλλὰ καὶ ἡ ἁγία πόλη
κι οἱ πολλοὶ τόποι ἄνεσης εἶναι ὁ Θεὸς μονάχα.
Ὅπως δὲν ἔχει ὁ ἄνθρωπος ἄνεση στὴ ζωή του,
ὅποιος δὲ μένει στὸ Θεὸ καὶ ὁ Θεὸς σ᾿ ἐκεῖνον,
ἔτσι καὶ μετὰ θάνατον ἔξω ἀπ᾿ αὐτὸν μονάχα

166. Ἰω. 14,2. 167–168. Αʹ Κορ. 15,41.
173. Ἰω. 15,4.5.

*οἶμαι, οὐκ ἔσται ἄνεσις, οὐ τόπος ἄνευ λύπης,*
*οὐ στεναγμοῦ, οὐ θλίψεως ὅλως ἀπηλλαγμένος.*
*Σπουδάσωμεν οὖν, ἀδελφοί, σπουδάσωμεν πρὸ τέλοι*
*προσκολληθῆναι τῷ Θεῷ, τῷ ποιητῇ τῶν πάντων,*
*τῷ κατελθόντι δι' ἡμᾶς ἐπὶ γῆς τοὺς ἀθλίους,*
*τῷ κλίναντι τοὺς οὐρανοὺς καὶ λαθόντι ἀγγέλους*
*καὶ ἐν γαστρὶ σκηνώσαντι τῆς ἁγίας παρθένου*
*καὶ σαρκωθέντι ἐξ αὐτῆς ἀτρέπτως, ἀνεκφράστως*
*καὶ προελθόντι εἰς ἡμῶν ἁπάντων σωτηρίαν.*
*Ἡ σωτηρία δὲ ἡμῶν αὕτη πάντως ὑπάρχει,*
*καθὼς πολλάκις εἴπομεν καὶ νῦν αὖθις ἐροῦμεν,*
*οὐχὶ ἡμεῖς ἐξ ἑαυτῶν, ἀλλὰ τὸ θεῖον στόμα*
*ἐπέφανε τὸ μέγα φῶς τοῦ μέλλοντος αἰῶνος.*
*Ἡ βασιλεία οὐρανῶν ἐπὶ τῆς γῆς κατῆλθε,*
*μᾶλλον δὲ ὁ παμβασιλεὺς τῶν ἄνω καὶ τῶν κάτω*
*ἐλήλυθεν, ἠθέλησεν ἡμῖν ὁμοιωθῆναι,*
*ἵν' ἐξ αὐτοῦ ὡς ἐκ φωτὸς πάντες μεταλαβόντες*
*φῶτα δειχθῶμεν δεύτερα, ὅμοιά γε τοῦ πρώτου,*
*καὶ βασιλείας οὐρανῶν κοινωνοὶ καὶ τῆς δόξης*
*συμμέτοχοι ὑπάρξωμεν ὁμοῦ καὶ κληρονόμοι*
*τῶν αἰωνίων ἀγαθῶν, ὧν οὐδείς ποτε εἶδε.*
*Ταῦτα δ' εἰσίν, ὡς πείθομαι καὶ πιστεύω καὶ λέγω,*
*Πατήρ, Υἱὸς καὶ ἅγιον Πνεῦμα, Τριὰς ἁγία,*
*τοῦτο πηγὴ τῶν ἀγαθῶν, τοῦτο ζωὴ τῶν ὄντων,*
*τοῦτο τρυφὴ καὶ ἄνεσις, τοῦτο στολὴ καὶ δόξα,*
*τοῦτο χαρὰ ἀνέκφραστος καὶ σωτηρία πάντων*
*τῶν μετασχόντων τῆς αὐτοῦ ἐλλάμψεως ἀρρήτου*
*καὶ κοινωνίαν μετ' αὐτοῦ ἐχόντων ἐν αἰσθήσει.*
*Ἀκούσατε· Σωτὴρ καὶ γὰρ διὰ τοῦτο καλεῖται,*
*ὅτι πᾶσιν, οἷς ἑνωθῇ, σωτηρίαν παρέχει,*
*ἡ σωτηρία δέ ἐστιν κακῶν μὲν πάντων λύσις,*
*καλῶν δὲ πάντων ἐν ταὐτῷ εὕρεσις αἰωνία,*

---

180. Ψαλμ. 17,10. 195. Α' Κορ. 2,9.

θαρρῶ δὲν εἶναι ἄνεση καὶ τόπος δίχως λύπη,
ἡ θλίψη κι οἱ ἀναστεναγμοὶ ὁλότελα νὰ λείπουν.
Λοιπὸν ἂς τρέξομε, ἀδελφοί, βιαστεῖτε πρὶν τὸ τέλος
νὰ ἑνωθοῦμε μὲ τὸ Θεό, τὸν ποιητὴ τῶν ὅλων,
ὅπου κατέβηκε στὴ γῆ γιὰ χάρη μας τῶν ἄθλιων
καὶ ποὺ ἔκλινε τοὺς οὐρανοὺς κρυφὰ ἀπὸ τοὺς ἀγγέλους
καὶ μὲς στὰ σπλάχνα σκήνωσε τῆς ἅγιας τῆς Παρθένου,
ποὺ ἀνέκφραστα σαρκώθηκε ἀπ' αὐτὴν μὲ τροπὴ δίχως
καὶ ποὺ γεννήθηκε ἀπ' αὐτὴν γιὰ ὅλων τὴ σωτηρία
καὶ εἶναι ἡ σωτηρία μας αὐτὴ τὸ δίχως ἄλλο,
ὅπως συχνὰ τό 'χομε πεῖ καὶ πάλι θὰ τὸ ποῦμε,
ὄχι ἀπὸ μόνοι μας ἐμεῖς, ἀλλὰ τὸ θεῖο στόμα
φανέρωσε τὸ μέγα φῶς τοῦ μέλλοντος αἰώνα.
Ἡ βασιλεία τῶν οὐρανῶν πάνω στὴ γῆ κατέβη
ἢ μᾶλλον ὁ παμβασιλεὺς τῶν ἄνω καὶ τῶν κάτω
ἦρθε σ' ἐμᾶς καὶ θέλησε ὅμοιος μ' ἐμᾶς νὰ γίνει,
ὥστε ἀπ' αὐτὸν σὰν ἀπὸ φῶς ὅλοι μας κοινωνώντας
δεύτερα φῶτα ὅμοια μὲ τὸ πρῶτο νὰ φανοῦμε,
τῆς βασιλείας τῶν οὐρανῶν κοινωνοὶ γινοῦμε,
τῆς δόξας του συμμέτοχοι μαζὶ καὶ κληρονόμοι
τῶν αἰωνίων του ἀγαθῶν ποὺ δὲν τὰ εἶδε κανένας.
Κι αὐτὰ εἶναι ὅπως δέχομαι, πιστεύω καὶ κηρύττω,
Πατήρ, Υἱὸς καὶ ἅγιο Πνεῦμα, Τριάδα ἁγία,
αὐτὸ ἡ πηγὴ τῶν ἀγαθῶν, τοῦτο ζωὴ τῶν ὄντων,
αὐτὸ τρυφὴ καὶ ἄνεση, τοῦτο στολὴ καὶ δόξα,
τοῦτο χαρά είναι ἀνέκφραστη καὶ σωτηρία ὅλων
αὐτῶν ὁποὺ τὴν ἄρρητη λάμψη σου κοινωνῆσαν
κι ἔχουν μὲ γνώση κι αἴσθηση μ' ἐκείνη κοινωνία.
'Ακούσετε, σωτήρας μας γι' αὐτὸ εἶναι ποὺ καλεῖται,
ὅτι μὲ ὅσους ἑνωθεῖ τοὺς δίνει σωτηρία
κι ἡ σωτηρία ἀπαλλαγὴ ἀπ' τὰ δεινὰ εἶναι ὅλα
καὶ τῶν καλῶν ἀπόκτηση μαζὶ γιὰ τοὺς αἰῶνες,

---

192. Πρῶτο φῶς ὁ Θεὸς 'δεύτερα φῶτα' ὅσοι φωτίζονται ἀπὸ αὐτόν.

*ἀπὸ θανάτου μὲν ζωήν, ἀπὸ δὲ σκότους φάος,*
*ἀπὸ δουλείας τῶν παθῶν καὶ πράξεων αἰσχίστων*
*ἐλευθερίαν παντελῆ πᾶσι χαριζομένη*
*τοῖς ἑνωθεῖσι τῷ Χριστῷ καὶ Σωτῆρι τῶν ὅλων.*
*Οἳ καὶ τότε πᾶσαν μὲν χαρὰν ἀναφαίρετον κτῶνται,*
*πᾶσάν τε ἀγαλλίασιν καὶ πᾶσαν εὐφροσύνην,*
*οἱ δὲ κἂν ὅλως πέλοντες τούτου κεχωρισμένοι*
*καὶ μὴ ζητήσαντες αὐτὸν ἢ τούτῳ ἑνωθέντες*
*μηδὲ δουλείας τῶν παθῶν καὶ θανάτου ρυσθέντες,*
*κἂν βασιλεῖς, κἂν ἄρχοντές εἰσι, κἂν μεγιστᾶνες,*
*κἂν τρυφᾶν κἂν εὐφραίνεσθαι κἂν ἀπόλαυσιν ἔχειν*
*οἴονται καὶ νομίζουσιν ἐν ἀγαθοῖς ὑπάρχειν,*
*ἀλλ' οὐδέποτε κτήσονται τοιαύτην εὐφροσύνην,*
*οἵαν οἱ δοῦλοι τοῦ Χριστοῦ, οἱ ἐκ πάντων ἐλεύθεροι*
*ἀτόπων ἐπιθυμιῶν ἡδονῶν τε καὶ δόξης*
*ἔχουσιν ἀνεκλάλητον, ἄφραστον οὖσαν πάντῃ,*
*ἣν οὐδείς ποτε γνώσεται, οὐ μάθει, οὐ κατίδει*
*τῶν μὴ γνησίως καὶ θερμῶς τῷ Χριστῷ κολληθέντων,*
*ἀνακραθέντων τε αὐτῷ ἐν ἑνώσει ἀρρήτῳ,*
*ᾧ πρέπει δόξα καὶ τιμή, αἶνος καὶ ἅπας ὕμνος*
*ὑπὸ πάσης τῆς κτίσεως καὶ πνοῆς εἰς αἰῶνας.*
*Ἀμήν.*

---

216. Ἀποκ. 6,15.
224. Α' Κορ. 6,17.

ποὺ ἀπὸ τὸ θάνατο ζωὴ καὶ φῶς ἀπὸ τὸ σκότος
κι ἀπ' τὴ δουλεία τῶν παθῶν καὶ πράξεων τῶν αἰσχίστων
ἐλευθερία σ' ὅλους μας τέλεια μᾶς χαρίζει,
μὲ τὸ Χριστὸ ὅσοι ἑνώθηκαν τὸ σωτῆρα τῶν ὅλων.
Αὐτοὶ κάθε χαρὰ ἀποχτοῦν ἀναφαίρετη τότε
καὶ κάθε ἀναγάλλιαση καὶ κάθε εὐφροσύνη·
μὰ ὅσοι ὁλότελα ἀπ' αὐτὸν μένουνε χωρισμένοι
κι οὔτε τὸν ἀναζήτησαν γιὰ νὰ ἑνωθοῦν μαζί του
κι ἀπ' τὴ δουλεία στὸ θάνατο ἢ στὰ πάθη δὲ σωθῆκαν
κἂν βασιλιάδες ἢ ἄρχοντες καὶ μεγιστάνες εἶναι
εἴτε νομίζουν πὼς τρυφοῦν ἢ εὐφραίνονται εἴτε ἔχουν
ἀπόλαυση κι εἴτε θαρροῦν πὼς στ' ἀγαθὰ βουλιάζουν,
στ' ἀλλήθεια τέτοια μιὰ χαρὰ ποτὲ δὲ θ' ἀποχτήσουν,
ὅπως οἱ δοῦλοι τοῦ Χριστοῦ πού, ἐλεύθεροι ἀπὸ ὅλα,
ἐπιθυμίες ἄτοπες καὶ ἡδονὲς καὶ δόξα,
χαρὰ ἔχουν ἀνεκλάλητη κι ἄρρητη πού 'ναι τέλεια,
ποὺ δὲ θ' ἀντιληφθεῖ κανείς, θὰ μάθει ἢ θὰ γνωρίσει
ἀπ' ὅσους γνήσια καὶ θερμὰ μὲ τὸ Χριστὸ ἑνωθῆκαν
καὶ σ' ἕνωση ἄρρητη μ' αὐτὸν ἐσμίξανε μαζί του.
Σ' αὐτὸν ἡ δόξα κι ἡ τιμή, αἶνος καὶ κάθε ὕμνος
πρέπει ἀπ' τὴν πλάση ὁλόκληρη καὶ τὰ ὄντα στοὺς αἰῶνες.
'Αμήν.

## ΜΓ'

***Ὅτι κρεῖσσον τὸ καλῶς ποιμαίνεσθαι ἢ τοὺς μὴ βουλομένους ποιμαίνειν· οὐδὲν γὰρ ἔσται κέρδος τῷ ἄλλους μὲν σπουδάζοντι σῶσαι, ἑαυτὸν δὲ διὰ τῆς ἐκείνων ἀπολέσαντι προστασίας.***

*Εἰπέ, Χριστέ, τῷ δούλῳ σου, εἰπέ, τὸ φῶς τοῦ κόσμου,*
*εἰπέ, ἡ γνῶσις τοῦ παντός, εἰπέ, Λόγε, Σοφία,*
*ἡ πάντα προγινώσκουσα, ἡ πάντα προειδυῖα*
*καὶ τὰ ἡμῖν συμφέροντα διδάσκουσα ἀφθόνως,*
*εἰπὲ καὶ δίδαξον κἀμὲ ὁδοὺς σωτηριώδεις*
*τῶν θελημάτων σου, Σωτήρ, καὶ θείων προσταγμάτων!*
*Εἰπὲ καὶ μὴ παρίδῃς με, μὴ κρύψῃς, ὦ Θεέ μου,*
*ἐξ ἀναξίου δούλου σου τὸ θεῖον θέλημά σου!*
*Τί κρεῖσσον ἔστι παρὰ σοῦ, ποῖον εὐάρεστόν σοι*
*ἀπὸ τῶν δύο, φράσον μοι, ὦ φιλάνθρωπε Σῶτερ·*
*τὸ ἐν μερίμνῃ εἶναί με τῶν τῆς μονῆς πραγμάτων*
*καὶ τῶν σωματικῶν χρειῶν τὸ ἀφθόνως φροντίζειν,*
*διεκδικεῖν τε ἅπαντα μετ' ἔχθρας τε καὶ μάχης,*
*ἢ τὸ ἀεὶ προσκαρτερεῖν μόνῃ τῇ ἡσυχίᾳ*
*καὶ συντηρεῖν ἀθόλωτον τὸν νοῦν καὶ τὴν καρδίαν*
*καὶ δέχεσθαι τῆς χάριτος τῆς σῆς τὰς λαμπηδόνας*
*καὶ καταυγάζεσθαι ἀεὶ τὰς τῆς ψυχῆς αἰσθήσεις*
*καὶ θείους λόγους μυστικῶς ἐνηχεῖσθαι καὶ ἄλλους*

---

1. Ἰω. 8,12.
9. Σοφ. Σολ. 9,10.

## 43

***Ὅτι εἶναι καλύτερο νὰ ποιμαίνεται κανένας καλά, παρὰ νὰ ποιμαίνει ἐκείνους ποὺ δὲ θέλουν. Γιατὶ δὲ θὰ ἔχει κανένα κέρδος ἂν προσπαθεῖ νὰ σώσει τοὺς ἄλλους καὶ χάσει τὴ δική σου σωτηρία προστατεύοντας ἐκείνους.***

Χριστέ μου, πὲς στὸ δοῦλο σου, πές μου, τὸ φῶς τοῦ κόσμου,
πές μου, σὺ ἡ γνώση τοῦ παντός, πές μου, Λόγε, σοφία,
ποὺ ὅλα τὰ ξέρεις ἀπὸ πρὶν κι ὅλα τὰ προγνωρίζεις
καὶ ποὺ διδάσκεις πλούσια ὅσα σ' ἐμᾶς συμφέρουν,
πές μου καὶ δίδαξε κι ἐμὲ τῆς σωτηρίας τοὺς δρόμους
τῶν θελημάτων σου, Χριστέ, τῶν θείων προσταγῶν σου.
Πές μου, μὴ μὲ περιφρονεῖς καὶ μὴν τὸ κρύβεις, Θεέ μου,
ἀπ' τὸν ἀνάξιο δοῦλο σου τὸ θεῖο θέλημά σου!
Ποιό εἶναι γιὰ σὲ καλύτερο, ποιό εὐάρεστο σ' ἐσένα
ἀπὸ τὰ δύο, μίλα μου, ὦ φιλάνθρωπε σωτῆρα·
οἱ ὑποθέσεις τῆς μονῆς νὰ μὲ ἀπορροφοῦνε,
νὰ πνίγομαι στὴ μέριμνα τῶν ὑλικῶν πραγμάτων
καὶ ὅλα νὰ τὰ διεκδικῶ μὲ ἔχθρα καὶ μὲ πάθος,
ἢ νά 'ναι ἡ ζωή μου ὑπομονὴ μέσα στὴν ἡσυχία
καὶ νὰ κρατάω ἀθόλωτο τὸ νοῦ καὶ τὴν καρδιά μου
τῆς χάρης σου δεχόμενος τὶς θεῖες λαμπηδόνες
καὶ πάντα νὰ φωτίζονται οἱ αἰσθήσεις τῆς ψυχῆς μου,
ν' ἀκούω στ' αὐτιά μου μυστικὰ τὰ θεῖα λόγια, κι ἄλλους

---

10–15. Στοὺς στίχους αὐτοὺς τίθεται τὸ πρόβλημα ποὺ ἀπασχολεῖ τὸ Συμεὼν ἢ μᾶλλον τὸ δίλημμα ποὺ ἀντιμετωπίζει· νὰ ἀσχοληθεῖ μὲ τὶς φροντίδες τοῦ μοναστηριοῦ ἢ νὰ ἐπιδοθεῖ στὴν 'ἡσυχία';

*διδάσκειν πρᾴως καὶ αὐτὸς διδάσκεσθαι ὡσαύτως*
*– ὁ λέγων γὰρ καὶ ἑαυτῷ τὰ λεγόμενα λέγει*
*καὶ πρῶτος οὗτος τοῦ ποιεῖν πάντως ταῦτα ὀφείλει –;*
*Ἐκ τούτων τοίνυν λέγε μοι, ὦ Θεέ μου καὶ πλάστα,*
*ποῖον ὑπάρχει κρεῖσσόν μοι, ποῖόν ἐστι συμφέρον,*
*ποῖον δὲ σοὶ εὐάρεστον καὶ τέλειον ὑπάρχει;*
*Ναὶ δή, μὴ κρύψῃς ἀπ’ ἐμοῦ, ὦ πανοικτίρμον Λόγε!–*
*Ἄκουσον ὅπερ ἐρωτᾷς, γράψον ἅπερ ἀκούεις!*
*Ἐγὼ Θεὸς προάναρχος, ἐγὼ Δεσπότης φύσει,*
*τῶν οὐρανῶν τε βασιλεὺς καὶ τῶν καταχθονίων*
*καὶ πάντες μὴ βουλόμενοι ἐμοὶ δοῦλοι τελοῦσι.*
*Κτίστης τῶν πάντων γὰρ ἐγὼ καὶ κριτὴς καὶ Δεσπότης*
*καὶ νῦν εἰμι καὶ ἔσομαι εἰς αἰῶνας αἰώνων·*
*ἀλλ’ οὐ βολόμενόν ποτε καταναγκάζω,*
*αὐτεξούσιον θέλω δέ, αὐτοπροαίρετόν γε*
*τήν τε δουλείαν γίνεσθαι, τὸν φόβον ἐνεργεῖσθαι*
*καὶ τὴν ἀγάπην δείκνυσθαι παρὰ τῶν ὑπηκόων.*
*Τοιούτους γὰρ τοὺς δούλους μου, τοιούτους τοὺς μισθίους,*
*τοιούτους καὶ τοὺς φίλους μου ἐπιποθῶ τοῦ εἶναι,*
*τοὺς δ’ ἄλλους οὔπω ἔγνωκα οὐδ’ ὑπ’ αὐτῶν ἐγνώσθην·*
*διὸ σκληρόν με λέγουσιν, ἀσυμπαθῆ καλοῦσιν,*
*ἄδικον ὀνομάζουσι τὰ τοῦ ἀδίκου τέκνα.*
*Οἱ οὖν ἐμὲ ὑβρίζοντες ἐμέ τε λοιδοροῦντες,*
*ἐμὲ κατονειδίζοντες, σοὶ πῶς ὑποταγῶσιν*
*ἢ πῶς σε καταδέξονται διδάσκαλον, εἰπέ μοι;*
*Οἱ λύκοι δὲ ποιμένα σε πῶς ἄρα λογιοῦνται*
*ἢ πῶς ἀκολουθήσουσι φωνῇ σου θῆρες ὄντες;*
*Ἔξελθε, φύγε καὶ γενοῦ ἐκ μέσου τῶν τοιούτων,*
*καὶ σεαυτὸν εἰ σώσεις γάρ, ἀρκετόν σοι ὑπάρξει!*
*Εἰ δὲ τὸν κόσμον σώσειας, σεαυτὸν δ’ ἀπολέσεις,*
*τί σοι τοῦ κόσμου ὄφελος τοῦ διὰ σοῦ σωθέντος;*
*Οὐ βούλομαι ποιμαίνειν σε τινὰ τῶν μὴ θελόντων.*
*Ὅρα, ὅτι ἐφύλαξα τοῦτο κἀγὼ ἐν κόσμῳ·*
*τῶν βουλομένων γὰρ ἐγὼ καὶ ποιμὴν καὶ Δεσπότης,*

---

24. Ρωμ. 12,2. 38. Ἰω. 10,14. 45. Ἰω. 10,5. 48. Λουκᾶ 9,25.

πράα νὰ διδάσκω καὶ μαζὶ κι ὁ ἴδιος νὰ μαθαίνω
–γιατὶ λέει ὅσα λέει κανένας καὶ γιὰ τὸν ἑαυτό του
κι αὐτὸς πρῶτος νὰ πράττει αὐτὰ τὸ δίχως ἄλλο ὀφείλει–.
Ἀπ' ὅλα αὐτὰ πές μου λοιπόν, πλάστη μου καὶ Θεέ μου,
ποιό εἶναι τὸ καλύτερο γιὰ μὲ καὶ τὸ συμφέρον,
καὶ ποιό σ' ἐσένα εὐάρεστο καὶ τέλειο εἶναι γιὰ σένα;
Ὦ, ναί, Λόγε πανεύσπλαχνε, ἀπὸ μένα μὴν τὸ κρύψεις.
–Ἄκουσε αὐτὸ ποὺ μὲ ρωτᾶς κι ὅ,τι θ' ἀκούσεις γράψε!
Ἐγὼ εἶμαι Θεὸς πρὶν ἀπὸ ἀρχή, καὶ Κύριος εἶμαι φύσει,
ὁ βασιλιὰς στοὺς οὐρανοὺς κι ὅσα στὴ γῆ κρυμμένα
κι ὅλοι χωρὶς νὰ θέλουνε εἶναι δικοί μου δοῦλοι.
Γιατὶ τῶν πάντων δημιουργὸς εἶμαι κριτὴς καὶ Κύριος.
εἶμαι καὶ συνεχίζοντας θὰ εἶμαι στοὺς αἰῶνες.
Ἀλλὰ ὅποιον δὲν ἐπιθυμεῖ ποτὲ δὲν ἀναγκάζω,
ἐπιθυμῶ αὐτοπροαίρετα καὶ αὐτεξούσια ἐπίσης
καὶ ἡ δουλεία νὰ γίνεται κι ὁ φόβος νὰ ὑπάρχει
κι οἱ ὑπήκοοι τὴν ἀγάπη τους ὅμοια νὰ ἐκδηλώνουν.
Γιατὶ τέτοιοι οἱ δοῦλοι μου τέτοιοι κι οἱ μισθωτοί μου
καὶ τέτοιοι καὶ οἱ φίλοι μου ποθῶ πολὺ νὰ εἶναι·
τοὺς ἄλλους δὲν τοὺς γνώρισα οὔτε καὶ μὲ γνωρίσαν,
γι' αὐτὸ καὶ μὲ καλοῦν σκληρὸ μὰ κι ἄσπλαχνο μὲ λένε
καὶ μὲ ὀνομάζουν ἄδικο τοῦ ἄδικου τὰ τέκνα.
Ὅσοι μ' ὑβρίζουνε λοιπὸν κι ὅσοι μὲ λοιδοροῦνε,
πῶς κι ὅσοι μὲ κατηγοροῦν νὰ ὑποταχτοῦν σ' ἐσένα
ἢ πῶς θὰ σὲ καταδεχτοῦν, πές μου, γιὰ δάσκαλό τους;
Κι οἱ λύκοι σὰν ποιμένα πῶς τά 'χα θὰ σὲ λογιάσουν,
πῶς θ' ἀκλουθήσουν τὴ φωνή σου ἀφοῦ θηρία εἶναι;
Ἔβγα καὶ φύγε, γλίτωσε ἀπὸ ἀνάμεσά τους·
καὶ σὺ ὁ ἴδιος ἂν σωθεῖς, θά 'ναι ἀρκετὸ γιὰ σένα.
Ἀλλὰ ἂν τὸν κόσμο σώσεις σὺ καὶ τὸν ἑαυτό σου χάσεις,
ποιό ἀπὸ τὸν κόσμο τ' ὄφελος χαρὰ σ' ἐσὲ ποὺ ἐσώθης;
Δὲ θέλω νά 'σαι ἐσὺ βοσκὸς ἐκείνου ποὺ δὲ θέλει.
Κοίταξε πῶς τὸ φύλαξα τοῦτο κι ἐγὼ στὸν κόσμο·
εἶμαι αὐτῶν ποὺ θέλουνε ποιμένας καὶ δεσπότης

32. **Βασικὴ ἀλήθεια τοῦ Χριστιανισμοῦ τὸ «ὅστις θέλει ...».**

*τῶν δ' ἄλλων κτίστης μέν εἰμι καὶ Θεὸς κατὰ φύσιν,*
*οὐ μὴν δὲ πέλω βασιλεύς, οὐκ ἀρχηγὸς εἰς ἅπαν*
*τῶν μὴ ἀράντων τὸν σταυρὸν κἀμοὶ ἀκολουθούντων·*
*τοῦ ἐναντίου γάρ εἰσι τέκνα, δοῦλοι καὶ σκεύη.*
*Βλέπε μυστήρια φρικτά, βλέπε ἀναισθησίαν,*
*βλέπε καὶ θρήνει δι' αὐτούς, εἰ δυνατόν, καθ' ὥραν!*
*Ἐκ σκότους γὰρ καλούμενοι πρὸς ἀνέσπερον φέγγος,*
*ἐκ τοῦ θανάτου πρὸς ζωήν, εἰς οὐρανοὺς ἐξ ᾅδου,*
*ἐκ τῶν προσκαίρων καὶ φθαρτῶν πρὸς αἰώνιον δόξαν,*
*ὀργίζονται καὶ μαίνονται κατὰ τῶν διδασκάλων*
*καὶ κατ' αὐτῶν συρράπτουσιν ἐπιβουλὰς παντοίας*
*καὶ προαιροῦνται τοῦ θανεῖν ἢ σκότους ἀποστῆναι*
*καὶ τῶν τοῦ σκότους πράξεων κἀμοὶ ἀκολουθῆσαι.*
*Τούτους, εἰπέ, πῶς ποιμανεῖς, πῶς τούτων προηγήσῃ,*
*πῶς ὁδηγήσεις, λέγε μοι, πρὸς πῦρ αὐτομολοῦντας,*
*προστιθεμένους τῷ ἐχθρῷ καὶ σὺν αὐτῷ προθύμως*
*τὰ ἐναντία τῶν ἐμῶν προσταγμάτων ποιοῦντας;*
*Πῶς ποιμανεῖς ὡς πρόβατα, πῶς εἰσάξεις, εἰπέ μοι,*
*τῶν ἐντολῶν μου πρὸς νομάς, πρὸς ὕδωρ θελημάτων*
*ἐμῶν ἐξάξεις δὲ αὐτούς, πρὸς νοητά τε ὄρη*
*θεωριῶν τῶν μυστικῶν, δόξης μου τῆς ἀρρήτου,*
*δι' ἧς ὁ ταύτην βλέποντες καταφρονοῦσι δόξης*
*τῆς κάτω καὶ τῶν αἰσθητῶν πάντων ἀμνημονοῦσι*
*καὶ ὡς σκιὰν καὶ ὡς καπνὸν ταῦτα πάντα ἡγοῦνται;*
*Εἰπέ, πῶς τὸν ἀντίδικον συνήγορόν σου κτήσῃ,*
*πῶς τὸν πολέμιον ἐχθρὸν φίλον σου πείσεις εἶναι;*
*Εὐκόλως γὰρ οἱ φίλοι μὲν ἐχθροὶ γίνονται μᾶλλον*
*μικρὰν εὑρόντες πρόφασιν, οἱ ἐχθροὶ δὲ δυσκόλως*
*γενέσθαι φίλοι δύνανται κἂν εὐεργετηθῶσι,*
*κἂν δωρεῶν μετασχῶσιν ὑψηλῶν καὶ μεγάλων·*
*ἐγκεκρυμμένον ἔχουσι τὸν ἰὸν ἐν καρδίᾳ,*

55. Ματθ. 16,24. 59. Α' Πέτρ. 2,9.
60. Α' Ἰω. 3,14. 61. Α' Πέτρ. 5,10.
65. Ρωμ. 13,12. 70. Ψαλμ. 22,1 ἑ. καὶ Ἰω. 10,9.

κι εἶμαι τῶν ἄλλων δημιουργὸς καὶ κατὰ φύση θεός τους,
ἀλλὰ δὲν εἶμαι βασιλιὰς οὔτε ἀρχηγὸς καθόλου
ὅσων δὲν πῆραν τὸ σταυρὸ καὶ δέ μ' ἀκολουθοῦνε,
γιατί 'ναι τοῦ ἀντίθετου παιδιά, δοῦλοι καὶ σκεύη.
Κοίτα μυστήρια φρικτά, κοίταξε ἀναισθησία,
κοίτα κι ἂν τὸ μπορεῖς αὐτοὺς νὰ τοὺς θρηνεῖς κάθε ὥρα!
Ποὺ ἐνῶ στ' ἀνέσπερο τὸ φῶς καλοῦνται ἀπὸ τὸ σκότος
καὶ στὴ ζωή ἀπ' τὸ θάνατο, στὸν οὐρανὸ ἀπ' τὸν ἅδη,
ἀπ' τὰ φθαρτὰ καὶ πρόσκαιρα πρὸς τὴν αἰώνια δόξα,
μανιάζουνε κι ὀργίζονται κατὰ τῶν διδασκάλων
κι ἐπιβουλὲς ἐνάντια τους κάθε λογῆς ὑφαίνουν
καὶ προτιμοῦν τὸ θάνατο ἢ τὸ σκότος νὰ χάσουν
καὶ τὶς πράξεις τοῦ σκοταδιοῦ καὶ νὰ μ' ἀκολουθήσουν.
Πῶς θὰ ποιμάνεις τούτους, πές, πῶς θά 'σαι κεφαλή τους
καὶ θὰ τοὺς ὁδηγήσεις πῶς ἐνῶ αὐτομολοῦνε
πρὸς τὴ φωτιὰ καὶ πρόθυμα μαζὶ μὲ τὸν ἐχθρό μας
τ' ἀντίθετα προστάγματα κάνουν ἀπ' τὰ δικά μου;
Θὰ τοὺς βοσκήσεις σὰν ἀρνιά; Πῶς; Καὶ πῶς θὰ τοὺς βάλεις
στῶν ἐντολῶν μου τὶς βοσκὲς κι ὅπου τὸ θέλημά μου
ρέει σὰ νερὸ καὶ στὰ νοητὰ βουνὰ πῶς θὰ τοὺς βγάλεις
τῶν μυστικῶν τῶν θεωριῶν καὶ τῆς ἄρρητης δόξας,
ποὺ ὅσοι τὴν ἀντικρίζουνε καταφρονοῦν τὴ δόξα
τὴ γήινη καὶ τὰ αἰσθητὰ τὰ λησμονοῦνε ὅλα
καὶ σὰν σκιὰ καὶ σὰν καπνὸ ὅλ' αὐτὰ θεωροῦνε;
Πές μου, πῶς τὸν ἀντίδικο συνήγορο θὰ κάνεις
καὶ πῶς θὰ πείσεις τὸν ἐχθρὸ φίλος σου πιὰ νὰ γίνει;
Εἶναι πολὺ πιὸ εὔκολο οἱ φίλοι ἐχθροὶ νὰ γίνουν
μικρὴ σὰν εὕρουν ἀφορμή, μὰ δύσκολα οἱ ἐχθροί μας
μποροῦνε φίλοι νὰ γινοῦν κι ἂν εὐεργετηθοῦνε·
κι ἂν δωρεὲς τοὺς κάνουμε καὶ πλούσιες καὶ μεγάλες
ἔχουν τὸ δηλητήριο κρυμμένο στὴν καρδιά τους,

77–78. Μπορεῖ νὰ εἶναι μιὰ γενικὴ γνώμη, δὲν ἀποκλείει ὅμως ἴσως καὶ τοὺς μοναχοὺς τῆς μονῆς τοῦ Ἁγ. Μάμαντα.

ὅνπερ καιροῦ δραξάμενοι ἐξεμοῦσιν ἀθρόως
καὶ εὐεργέτας τοὺς αὐτῶν ἀνηλεῶς, ἀσπλάγχνως
ἀποκτεῖναι οὐ φρίττουσιν, ὢ μανίας ἐσχάτης!
Οὗτοι τοῦ Κάϊν μιμηταί, οὗτοι τοῦ Λάμεχ χείρους,
οὗτοι Σαοὺλ ὁμότροποι, μιμηταὶ τῶν Ἑβραίων
καὶ τοῦ Ἰούδα ζηλωταί, ἀγχόνης κληρονόμοι!
Τούτων ἡγεῖσθαι εἰ ζητεῖς, βλέπε ποῦ καταντήσεις!
Οὐ γὰρ ἐπιστραφήσονται, ἔνθα ἂν σὺ θελήσῃς,
ἀλλ' ἐν ὁδῷ σε τῇ αὐτῶν ἀναγκάσουσι βαίνειν
καὶ πρῶτον εἰς ἀπώλειαν ἐμπεσεῖν πρὸ ἐκείνων
καὶ κατωτέρω κατελθεῖν εἰς πυθμένα τοῦ ᾅδου
ὡς ἐπακολουθοῦντάς σοι ἔχων πάντως κἀκείνους.
Εἰ δὲ μὴ βουληθῇς αὐτοῖς ὅλως ὁμοιωθῆναι,
συναπαχθῆναί τε αὐτῶν ταῖς βουλαῖς μὴ θελήσῃς
μηδὲ ταῖς πράξεσιν αὐτῶν ταῖς κακαῖς κοινωνῆσαι,
στάσιν, μάχην καὶ πόλεμον ἀκατάλλακτον ἕξεις.
Ὑφ' ὧν τί σοι γενήσεται, τί δὲ συμβήσεταί σοι,
τί κερδανεῖς τε; Ἄκουσον, καὶ λέξω σοι συντόμως·
Πρὸ πάντων εἶναι δοῦλός μου ὅλως οὐκ ἐξισχύσεις,
ἐμὸν γὰρ δοῦλον μάχεσθαι οὐ βούλομαι παράπαν.
Μῖσός τε κτήσονται πρὸς σὲ ἄσχετον καὶ πρὸς φόνον
ὁρμήσουσι τὸν κατὰ σοῦ φανερῶς καὶ λαθραίως,
καὶ τοῦ ἐκείνων κρίματος σὺ δώσεις τὰς εὐθύνας.
Οὐδὲν γὰρ ὁ σὸς θάνατος ὠφελήσει τοὺς ἄλλους,
καθὼς ὑπῆρξεν ὁ ἐμὸς θάνατος ζωὴ κόσμου,
ἀλλὰ κἀκείνοις αἴτιος τοῦ κρίματος γενήσῃ
καὶ σὺ ἀπαρρησίαστος ἐξέλθεις ἐκ τοῦ βίου.
Κρεῖσσον τοίνυν ποιμαίνεσθαι καὶ μὴ ποιμαίνειν ὅλως
τοιούτους, ἀλλὰ μάλιστα τῶν ἰδίων φροντίζειν
καὶ εὔχεσθαι ὑπὲρ αὐτῶν καὶ ἁπάντων ἀνθρώπων

94. Παρμ. 14,12.
98. Β' Ἰω. 11.
103. Β' Τιμ. 2,24.

ποὺ ὅταν εὕρουν τὸν καιρὸ τὸ χύνουν μαζεμένο
κι ἀνήλεα ἐκείνους κι ἄσπλαχνα ὁποὺ καλὸ τοὺς κάνουν
δὲ φρίττουνε, ὢ ἀνήκουστο πάθος, νὰ τοὺς σκοτώσουν.
Εἶναι τοῦ Κάιν μιμητές, χειρότεροι ἀπ' τὸ Λάμεχ,
σὰν τὸν Σαοὺλ κακότροποι, ὅμοιοι μὲ τοὺς Ἑβραίους,
ποὺ τὸν Ἰούδα ζήλεψαν, τῆς θηλειᾶς κληρονόμοι.
Ἂν θὲς σ' αὐτοὺς νά 'σαι ἀρχηγὸς κοίτα ποῦ θὰ σὲ πᾶνε.
Δὲ θὰ γυρίσουν βέβαια ἐσὺ ὅπου θὰ θελήσεις,
μὰ θὰ σὲ σύρουνε μὲ βιὰ στὸ δρόμο τὸ δικό τους
καὶ πρῶτος στὴν ἀπώλεια πρὶν ἀπ' αὐτοὺς νὰ πέσεις
καὶ πιὸ βαθιὰ νὰ κατεβεῖς στοῦ ᾅδη τὰ μαῦρα βάθη
καὶ σίγουρα ὅλοι πίσω σου θ' ἀκολουθοῦν ἐκεῖνοι.
Κι ἂν δὲ θελήσεις ὅμοιός τους ὁλότελα νὰ γίνεις
κι ἂν ἀρνηθεῖς τὸ θέλημα αὐτῶν ν' ἀκολουθήσεις
μὰ καὶ νὰ γίνεις μέτοχος στὶς πράξεις τὶς κακές τους,
ἄρνηση, μάχη, πόλεμο δίχως εἰρήνη θἄχεις.
Τί θὰ βρεῖς ἀπ' τὰ χέρια τους καὶ τί θὰ σοῦ συμβεῖ
καὶ ποιό τὸ κέρδος σου; Ἄκουσε καὶ θὰ σοῦ πῶ δυὸ λόγια·
Τὸ πρῶτο ἀπ' ὅλα δοῦλος μου δὲ θὰ μπορέσεις νά 'σαι·
ὁ δοῦλος μου νὰ μάχεται καθόλου δὲ μ' ἀρέσει.
Ἔπειτα μῖσος θά 'χουνε ἀσυγκράτητο γιὰ σένα,
θὰ ἐπιδιώξουν φανερὰ τὸ φόνο σου ἢ λαθραῖα
καὶ θά 'σαι ἐσὺ ὁ ὑπεύθυνος γιὰ τὸ ἔγκλημα ἐκείνων.
Ὁ θάνατός σου ὄφελος στοὺς ἄλλους δὲ θὰ δώσει,
ἐνῶ ὁ δικός μου θάνατος ζωὴ τοῦ κόσμου ἐστάθη·
γι' αὐτοὺς αἰτία θὰ γινεῖς ἐσὺ τοῦ ἐγκλήματός τους
κι ἀπ' τὴ ζωὴ θὰ βγεῖς ἐσὺ μὲ δίχως παρρησία.
Κάλλιο λοιπὸν τὸ πρόβατο νά 'σαι κι ὄχι ὁ ποιμένας
σὲ τούτους, ἀλλὰ πιὸ πολὺ γιὰ σένα νὰ φροντίζεις
καὶ νὰ προσεύχεσαι γιὰ αὐτοὺς καὶ ὅλους τοὺς ἀνθρώπους,

85–89. Λόγοι σκληροὶ ποὺ θὰ ἔχουν ὁπωσδήποτε τὴ δικαιολογία τους.

111. Φθάσαμε στὸν τίτλο τοῦ ὕμνου· καλύτερα νὰ ποιμαίνεσαι παρὰ νὰ ποιμάνεις ἀνθρώπους ποὺ δὲν ἔχουν γνήσιο μοναχικὸ φρόνημα καὶ δὲν ἔχουν 'οὖς εὐήκοον'.

*τοῦ ἐπιστρέψαι καὶ ἐλθεῖν εἰς ἐπίγνωσιν πάντας,*
*διδάσκειν τε καὶ κατηχεῖν τούτων τοὺς βουλομένους.*
*Μὴ ἀναγκάζῃς δὲ αὐτοὺς ποιεῖν ἅπερ διδάσκεις,*
*ἀλλὰ τοὺς λόγους τοὺς ἐμοὺς λέγε καὶ παρακάλει*
*φυλάττειν τούτους ὡς ζωῆς αἰωνίου προξένους!*
*Αὐτοὶ δ' οἱ λόγοι στήσονται, ὅταν ἔλθω τοῦ κρίναι,*
*καὶ τούτων πάντων ἕκαστον κρινοῦσι κατ' ἀξίαν,*
*καὶ σὺ μενεῖς ἀνεύθυνος, ἀκατάκριτος πάντῃ,*
*ὅτι οὐκ ἔκρυψας ἐμῶν ἀργύριον λογίων,*
*ἀλλ' ὅσον εἴληφας αὐτός, κατεβάλου τοῖς πᾶσι.*
*Τοῦτο ἐμοὶ ἀποδεκτόν, τοῦτο τῶν ἀποστόλων*
*καὶ μαθητῶν μου γέγονε κατὰ τὰς ἐντολάς μου*
*ἔργον, κηρύξαι με Θεὸν εἰς τὸν σύμπαντα κόσμον*
*καὶ τὰ ἐμὰ θελήματα καὶ τὰ προστάγματά μου*
*διδάξαι καὶ καταλιπεῖν ἐγγράφως τοῖς ἀνθρώποις.*
*Οὕτω καὶ σὺ ἀγώνισαι ποιῆσαι καὶ διδάξαι,*
*τοὺς δὲ μὴ θέλοντας ἐμῶν λόγων ὅλως ἀκούειν*
*λέγε, ὡς εἶπον καὶ ἐγὼ πρὸς τοὺς τότε εἰπόντας*
*ὅτι· Σκληρὸς ὁ λόγος σου καὶ τίς αὐτοῦ ἀκούειν*
*δυνήσεται; καὶ ἔφην γε· εἰ μὴ θέλετε οὕτως,*
*ὑπάγετε, ὡς βούλεσθε, ἕκαστος καὶ ποιεῖτε!*
*τῇ ἐξουσίᾳ τῇ αὐτῶν τὸ πᾶν καὶ προαιρέσει*
*καταλιπὼν τὸν θάνατον ἢ τὴν ζωὴν ἑλέσθαι.*
*Οὐδεὶς γὰρ γέγονέ ποτε καλὸς ἀπροαιρέτως,*
*οὐδὲ πιστὸς ὁ ἄπιστος καὶ μὴ θέλων ὑπάρξει,*
*οὐδὲ φιλόθεός ποτε ὁ φιλόκοσμος ἔσται,*
*οὐκ ἀβουλήτως ὁ σκαιὸς μεταστρέψει τὴν γνώμην*
*τὴν ἑαυτοῦ καὶ ἀγαθὸς γενήσεται εἰς ἅπαν,*
*– οὐδεὶς γὰρ γέγονε κακὸς φύσει, ἀλλὰ προθέσει –*
*οὕτω καὶ πάλιν ἐκ κακοῦ καὶ πονηροῦ προθέσει*
*καὶ γνώμῃ καλὸς καὶ ἀγαθός, εἰ θέλει,*

---

114. Α' Τιμ. 2,4. 118. Ἰω. 5,24.
119. Ἰω. 12,48. 122. Ματθ. 25,18· Ψαλμ. 11,6.

γιὰ νὰ ἐπιστρέψουν κι ὅλοι τους σ' ἐπίγνωση γιὰ νὰ 'ρθουν
καὶ νὰ διδάσκεις ἀπ' αὐτοὺς ἐκείνους ποῦ τὸ θέλουν.
Κι ὅσα διδάσκεις νὰ ἐκτελοῦν μὴν τοὺς ὑποχρεώσεις,
μὰ τὰ δικά μου λέγε τους λόγια καὶ παρακάλει
νὰ τὰ φυλάξουν, γιατὶ ζωὴν αἰώνια προξενοῦνε
κι αὐτοὶ οἱ λόγοι θὰ σταθοῦν, ὅταν ἐρθῶ νὰ κρίνω,
καὶ τὸν καθέναν ἀπ' αὐτοὺς θὰ κρίνουνε ἐπάξια.
Χωρὶς εὐθύνες θὰ εἶσαι ἐσὺ καὶ δίχως καταδίκη,
τ' ἀργύρια ἀφοῦ δὲν ἔκρυψες τῶν λόγων τῶν δικῶν μου,
ἀλλὰ ὅσα ὁ ἴδιος ἔλαβες μέτρησες καὶ στοὺς ἄλλους
Αὐτὸ εἶναι ἐγὼ ποὺ δέχομαι κι αὐτὸ τῶν ἀποστόλων
καὶ μαθητῶν μου ἔργο ἔγινε ὅπως εἶχα διατάξει
Θεὸ νὰ μὲ κηρύξουνε στὸν κόσμο ἀπ' ἄκρη σ' ἄκρη
καὶ ὅλα τὰ θελήματα καὶ τὰ προστάγματά μου
νὰ τὰ διδάξουν καὶ γραπτὰ στὸν κόσμο νὰ τ' ἀφήσουν.
Ἔτσι κι ἐσὺ ν' ἀγωνιστεῖς νὰ πράξεις, νὰ διδάξεις.
Μὰ λέγε σ' ὅποιους δὲν ποθοῦν τὰ λόγια μου ν' ἀκοῦνε
ὅ,τι κι ἐγὼ ἀπάντησα σ' αὐτοὺς ποὺ μοῦ 'παν τότε,
«εἶναι σκληρὸς ὁ λόγος σου καὶ ποιός νὰ τὸν ἀκούσει
μπορεῖ;». Κι ἐγὼ τοὺς εἶπα εὐθύς· «ἂν δὲν τὸ θέλετε ἔτσι
πηγαίνετε καὶ κάνετε καθένας ὅπως θέλει»,
στὴν ἐξουσία ἀφήνοντας καὶ στὴν προαίρεσή τους
τὰ πάντα, εἴτε τὸ θάνατο ἢ τὴ ζωὴ νὰ ἐκλέξουν.
Γιατὶ κανεὶς δὲν ἔγινε καλὸς χωρὶς νὰ θέλει,
οὔτε πιστὸς ὁ ἄπιστος μὴ θέλοντας θὰ γίνει,
μήτε πιὰ φίλος τοῦ Θεοῦ τοῦ κόσμου ὁ φίλος θὰ εἶναι,
κι ὁ ἀπότομος ἀθέλητα τὴ γνώμη τὴ δική του
δὲν τὴν ἀλλάζει, στὸ ἑξῆς, ὥστε καλὸς νὰ γίνει
–δὲν κάνει ἡ φύση τὸν κακό, μὰ μόνον ἡ πρόθεσή του.
Ἔτσι καὶ πάλι ὅποιος κακὸς εἶναι ἀπὸ πρόθεσή του
καὶ μὲ τὴ γνώμη του καλὸς καὶ ἀγαθός, ἂν θέλει,

129. Πράξ. 1,1. 132. Ἰω. 6,60.
133. Ἰω. 6,667. 136. Δευτ. 30,19.

*γενήσεται, μὴ θέλων δὲ οὐδαμῶς τοῦτο ἔσται.*
*Οὐδεὶς μὴ θέλων ἀρετὴν κατώρθωσεν ἐν κόσμῳ,*
*οὐδεὶς μὴ θέλων σῴζεται· πλέον τούτου μὴ ζήτει,*
*σπούδασον σῶσαι δὲ σαυτὸν καὶ τοὺς ἀκούοντάς σε*
*εἰ ἄρα εὕροις ἐπὶ γῆς ἄνθρωπον τοῦ ἀκούειν*
*ἔχοντα ὦτα καὶ τῶν σῶν ἐπακούοντα λόγων! –*
*Οὕτω ποιήσω, Δέσποτα, καθὼς προσέταξάς μοι,*
*ἀλλὰ τὴν σὴν βοήθειαν, ἀλλὰ τὴν σήν μοι χάριν*
*τῷ ἀναξίῳ δώρησαι δούλῳ σου, ὦ Θεέ μου,*
*ἵνα ἀεὶ δοξάζω σε καὶ ἀνυμνῶ σὸν κράτος*
*ἀκαταπαύστοις ἐν φωναῖς εἰς αἰῶνας αἰώνων.*
*Ἀμήν.*

θὰ γίνει, ἀλλὰ ἀθέλητα καθόλου δὲ θὰ γίνει.
Τὴν ἀρετὴ ὅποιος δὲν ποθεῖ μήτε τὴν κατορθώνει,
κι ἀθέλητα δὲ σώζεται, μὴν ψάχνεις παραπέρα.
Ἐσὺ νὰ σώσεις κοίταξε κι αὐτοὺς ὁποὺ σ' ἀκοῦνε,
ἂν τύχει κι εὕρεις ἄνθρωπο στὴ γῆ ὁποὺ ν' ἀκούει,
αὐτιὰ νὰ 'χει καὶ προσοχὴ στὰ λόγια σου νὰ δίνει.
–Ἔτσι θὰ κάνω, Κύριε, ὅπως μοῦ ἔχεις ὁρίσει,
ἀλλὰ καὶ τὴ βοήθεια σου καὶ τὴ δική σου χάρη
χάρισε στὸν ἀνάξιο σου τὸ δοῦλο σου, Θεέ μου,
νὰ σὲ δοξάζω πάντοτε, νὰ ὑμνῶ τὴ δύναμή σου
μὲ ἀκατάπαυστες φωνὲς στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

---

**149–150. Ματθ. 11,15.**

## ΜΔ'

***Τί ἐστι τὸ κατ' εἰκόνα καὶ πῶς εἰκότως νοεῖται ὡς τοῦ πρωτοτύπου εἰκὼν ὁ ἄνθρωπος· καὶ ὅτι ὁ τοὺς ἐχθροὺς ὡς εὐεργέτας φιλῶν μιμητής ἐστι τοῦ Θεοῦ, Πνεύματος δὲ ἁγίου ἐντεῦθεν μέτοχος γεγονὼς θέσει θεὸς καὶ χάριτι γίνεται, μόνοις ἐκείνοις γνωριζόμενος τοῖς ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐνεργουμένοις.***

*Δόξα, αἶνος, ὕμνος, χάρις*
*τῷ τὴν κτίσιν ἐξ οὐκ ὄντων*
*εἰς τὸ εἶναι λόγῳ μόνῳ*
*καὶ θελήματι οἰκείῳ*
*ἅπασαν παραγαγόντι*
*Θεῷ πάντων, ἐν Τριάδι*
*ὑποστάσεων, μιᾷ τε*
*προσκυνουμένῳ οὐσίᾳ!*
*Εἷς γὰρ Θεός, Τριὰς ἁγία,*
*ὑπερούσιος οὐσία,*
*μία ἐν τρισὶ προσώποις,*
*ὑποστάσεσι τρισί τε*
*ἀχωρίστοις καὶ ἀτμήτοις,*
*μία φύσις, μία δόξα,*
*μία δύναμις ὑπάρχει,*
*θέλημά τε ἓν ὡσαύτως.*
*Αὕτη μόνη κτίσις πάντων,*
*αὕτη ἐκ πηλοῦ με ὅλον*
*πλάσασα, ψυχήν τε δοῦσα*
*ἔθηκεν ἐπὶ τῆς γῆς με,*

**Ποιό εἶναι τὸ νόημα τοῦ κατ' εἰκόνα καὶ πῶς ὁ ἄνθρωπος νοεῖται δικαιολογημένα ὡς εἰκόνα τοῦ πρωτοτύπου. Καὶ ὅτι ὅποιος ἀγαπᾶ τοὺς ἐχθρούς του ὡς εὐεργέτες του εἶναι μιμητὴς τοῦ Θεοῦ κι ἀφοῦ ἀπὸ αὐτὸ γίνει μέτοχος τοῦ ἁγίου Πνεύματος, γίνεται θέσει καὶ κατὰ χάρη θεὸς κι ἀναγνωρίζεται μόνο ἀπὸ ἐκείνους ποὺ εἶναι ὄργανα τοῦ Πνεύματος.**

Χάρη, δόξα, κι αἶνος κι ὕμνος
στὸν ποὺ ἀπ' τὸ μηδὲν τὴν κτίση
μὲ τὸ λόγο μόνο στὸ εἶναι
καὶ τὸ θέλημά του μόνο
ἔφερεν ἀπ' ἄκρη σ' ἄκρη,
Θεὸ τῶν ὅλων ποὺ μὲ τριάδα
ὑποστάσεων καὶ οὐσία
μία ἐμεῖς τὸν προσκυνοῦμε!
Ἕνας Θεός, Τριάδα ἁγία,
ὑπερούσια μία οὐσία
μία, ὁποὺ τριπρόσωπη εἶναι,
μὲ τὶς τρεῖς της ὑποστάσεις
δίχως χώρισμα καὶ τμήση,
μία φύση καὶ μιὰ δόξα
καὶ μιὰ δύναμη εἶναι μόνο
κι ἕνα θέλημα ἐπίσης.
Μόνη αὐτὴ ἔκτισε τὰ πάντα
κι ὅλον ἀπὸ λάσπη ἐμένα
μ' ἔπλασε καὶ δίνοντάς μου
καὶ ψυχὴ στὴ γῆ μ' ἀφήνει·

18. Ἰὼβ 10,9.

*δέδωκε τὸ φῶς τε βλέπειν*
*καὶ ὁρᾶν ἐν τούτῳ πάντα*
*τόνδε τὸν αἰσθητὸν κόσμον,*
*ἥλιον, σελήνην λέγω,*
*τοὺς ἀστέρας οὐρανόν τε,*
*γῆν καὶ θάλασσαν καὶ πάντα*
*τὰ ἐν μέσῳ τούτων ὄντα.*
*Δέδωκε, καὶ νοῦν καὶ λόγον·*
*ἀλλὰ πρόσεχε τῷ λόγῳ!*
*Κατ' εἰκόνα οὖν τοῦ Λόγου*
*δέδοται ἡμῖν ὁ λόγος·*
*λογικοὶ γὰρ ἐκ τοῦ Λόγου*
*τοῦ ἀνάρχου, τοῦ ἀκτίστου,*
*τοῦ ἀλήπτου, τοῦ Θεοῦ μου.*
*Ὄντως κατ' εἰκόνα ἔστιν*
*ἡ ψυχὴ παντὸς ἀνθρώπου*
*λογικὴ εἰκὼν τοῦ Λόγου.*
*– Πῶς, εἰπέ μοι, δίδαξόν με;*
*– Ἄκουσον αὐτοῦ τοῦ Λόγου·*
*Ὁ Θεὸς Λόγος ἐκ Θεοῦ,*
*συναΐδιός τε ἔστι*
*τῷ Πατρὶ καὶ τῷ Πνεύματι.*
*Οὕτως οὖν καὶ ἡ ψυχή μου*
*κατ' εἰκόνα τούτου ἔστι,*
*νοῦν γὰρ ἔχουσα καὶ λόγον*
*φέρει ταῦτα κατ' οὐσίαν*
*ἄτμητα ἀσύγχυτά τε,*
*ὁμοούσια ὡσαύτως,*
*ἓν τὰ τρία ἡνωμένως,*
*ἀλλὰ καὶ διῃρημένως.*
*Πάντοτε καὶ ἥνωνταί γε*
*καὶ εἰσὶ μεμερισμένα·*

30. Γεν. 1,26.

μοῦ 'δωσε τὸ φῶς νὰ βλέπω,
νὰ θωρῶ σ' αὐτὴ τὰ πάντα,
λέω τὸν αἰσθητὸ αὐτὸ κόσμο,
τὸ φεγγάρι καὶ τὸν ἥλιο,
λέω τὸν οὐρανὸ καὶ τ' ἄστρα,
γῆ καὶ θάλασσα καὶ ὅλα
ὅσα ἀνάμεσά τους εἶναι.
Ἔδωσε καὶ νοῦ καὶ λόγο,
μὰ ἐσὺ πρόσεχε στὸ λόγο.
Εἰκόνα λοιπὸν τοῦ Λόγου
δόθηκε σ' ἐμᾶς ὁ λόγος·
λογικοὶ εἴμαστε ἀπ' τὸ Λόγο,
ἄναρχος κι ἄκτιστος πού 'ναι
καὶ ἀσύλληπτος καὶ Θεός μου.
Κατ' εἰκόνα εἶναι στ' ἀλήθεια
ἡ ψυχὴ τοῦ κάθε ἀνθρώπου,
λογικὴ τοῦ Λόγου εἰκόνα.
– Πές μου, πῶς κι ἐξήγησέ μου.
– Τὸν ἴδιο ἄκουσε τὸ Λόγο·
'Απ' τὸ Θεὸ ὁ Θεὸς ὁ Λόγος
κι εἶναι συναΐδιος μὲ
τὸν Πατέρα καὶ τὸ Πνεῦμα.
Ἔτσι λοιπὸν κι ἡ ψυχὴ
εἶναι κατ' εἰκόνα τούτου,
ἀφοῦ ἔχει νοῦ καὶ λόγο,
στὴν οὐσία του τάχει τοῦτα,
κι ἄτμητα κι ἀσύγχυτα εἶναι
κι ὁμοούσια εἶναι ἐπίσης,
ἑνωμένα τρία σ' ἕνα,
ἀλλ' ὡστόσο χωρισμένα·
εἶναι πάντοτε ἑνωμένα
μὰ καὶ πάντα χωρισμένα,

---

37. Τὸ 'κατ' εἰκόνα' ἀναφέρεται στὴν ψυχὴ τοῦ ἀνθρώπου ποὺ εἶναι 'λογικὴ εἰκὼν τοῦ Λόγου'.

*ἥνωνται γὰρ ἀσυγχύτως*
*καὶ μερίζονται ἀτμήτως.*
*Ἓν ἐκ τούτων εἰ καθέλῃς,*
*συγκαθεῖλες πάντως πάντα·*
*ψυχὴ γὰρ ἄνους, ἄλογος,*
*ἶσον ἔσται τῶν ἀλόγων·*
*ἄνευ δὲ ψυχῆς οὐκ ἔστι*
*νοῦν ἢ λόγον ὑφεστάναι.*
*Οὕτως οὖν ἐκ τῆς εἰκόνος*
*τὸ πρωτότυπον ἐννόει!*
*Ἄνευ Πνεύματος οὐκ ἔσται*
*οὐ Πατήρ, οὐ Λόγος τούτου·*
*Πνεῦμα ὁ Πατὴρ δὲ ἔστι,*
*καὶ Υἱὸς ὁ τούτου, Πνεῦμα*
*– εἰ καὶ σάρκα ἐνεδύθη –,*
*καὶ Θεὸς τὸ Πνεῦμα πάλιν·*
*ἓν γὰρ φύσει καὶ οὐσίᾳ*
*τὰ ἀμφότερα τελοῦσιν,*
*ὥσπερ νοῦς, ψυχὴ καὶ λόγος.*
*Ἀλλ' ὃ μὲν Πατὴρ τὸν Λόγον*
*ἀπεγέννησεν ἀρρήτως.*
*Ὥσπερ νοῦς ἐκ τῆς ψυχῆς μου,*
*μᾶλλον δὲ ἐν τῇ ψυχῇ μου,*
*οὕτως ἐκ Πατρὸς τὸ Πνεῦμα,*
*μᾶλλον δ' ἐν Πατρὶ καὶ μένει*
*καὶ προέρχεται ἀφράστως.*
*Ὥσπερ πάλιν δὲ ὁ νοῦς μου*
*πάντοτε γεννᾷ τὸν λόγον*
*καὶ προφέρει καὶ ἐκπέμπει*
*καὶ γνωστὸν ποιεῖ τοῖς πᾶσιν*
*– οὐ χωρίζεται δὲ τούτου,*

---

65. Ἰω. 4,24.

εἶναι ἀσύγχυτα ἑνωμένα
καὶ χωρίζουν δίχως τμήση.
Ἕνα τους ἂν διαγράψεις,
τὰ διαγράφεις πάντως ὅλα·
ψυχὴ δίχως νοῦ καὶ λόγο
τὸ ἴδιο μὲ τὰ ἄλογα εἶναι
καὶ χωρὶς ψυχὴ δὲν εἶναι
νοῦς ἢ λόγος νὰ ὑπάρξει.
Λοιπὸν ἔτσι ἀπ' τὴν εἰκόνα
τὸ πρωτότυπο σὺ ἐννόησε·
δίχως Πνεῦμα δὲν ὑπάρχει
ὁ Πατέρας μήτε ὁ Λόγος·
Πνεῦμα εἶναι ὁ Πατέρας,
Πνεῦμα εἶναι καὶ ὁ Υἱός του
-μόλο ποὺ τὴ σάρκα ἐντύθη-
καὶ Θεὸς πάλι τὸ Πνεῦμα·
γιατὶ ἕνα στὴν οὐσία
καὶ τὰ δυὸ εἶναι καὶ στὴ φύση
ὅπως νοῦς, ψυχὴ καὶ λόγος.
Ἀλλὰ ἀπόρρητα ὁ Πατέρας
γέννησε ὡς Υἱὸ τὸ Λόγο.
Ὅπως ἀπὸ τὴν ψυχή μου
ὁ νοῦς μέσα στὴν ψυχή μου,
ἔτσι ἀπ' τὸν Πατέρα ἢ κάλλιο
μὲς σ' αὐτὸν τὸ Πνεῦμα μένει
καὶ προέρχεται ἀνεξήγητα
καὶ καθὼς ὁ νοῦς μου πάλι
πάντοτε γεννᾶ τὸ Λόγο,
τὸν ἐκφράζει καὶ τὸν στέλνει
καὶ γνωστὸ τὸν κάνει σ' ὅλους
– δὲ χωρίζεται ἀπὸ τοῦτον,

---

61. Ἰδέα γιὰ τὸ πρωτότυπο μποροῦμε νὰ ἔχομε ἀπὸ τὴν εἰκόνα του.

70 κ.ἑ. Ἀπὸ ὅσα ὑπάρχουν στὸν ἄνθρωπο νοῦς, ψυχή, λόγος βοηθεῖ νὰ γι- νουν κατανοητὲς οἱ σχέσεις τῶν τριῶν προσώπων τῆς ἁγίας Τριάδας.

*ἥνωνται γὰρ ἀσυγχύτως*
*καὶ μερίζονται ἀτμήτως.*
*Ἓν ἐκ τούτων εἰ καθέλῃς,*
*συγκαθεῖλες πάντως πάντα·*
*ψυχὴ γὰρ ἄνους, ἄλογος,*
*ἶσον ἔσται τῶν ἀλόγων·*
*ἄνευ δὲ ψυχῆς οὐκ ἔστι*
*νοῦν ἢ λόγον ὑφεστάναι.*
*Οὕτως οὖν ἐκ τῆς εἰκόνος*
*τὸ πρωτότυπον ἐννόει!*
*Ἄνευ Πνεύματος οὐκ ἔσται*
*οὐ Πατήρ, οὐ Λόγος τούτου·*
*Πνεῦμα ὁ Πατὴρ δὲ ἔστι,*
*καὶ Υἱὸς ὁ τούτου, Πνεῦμα*
*– εἰ καὶ σάρκα ἐνεδύθη –,*
*καὶ Θεὸς τὸ Πνεῦμα πάλιν·*
*ἓν γὰρ φύσει καὶ οὐσίᾳ*
*τὰ ἀμφότερα τελοῦσιν,*
*ὥσπερ νοῦς, ψυχὴ καὶ λόγος.*
*Ἀλλ᾽ ὁ μὲν Πατὴρ τὸν Λόγον*
*ἀπεγέννησεν ἀρρήτως.*
*Ὥσπερ νοῦς ἐκ τῆς ψυχῆς μου,*
*μᾶλλον δὲ ἐν τῇ ψυχῇ μου,*
*οὕτως ἐκ Πατρὸς τὸ Πνεῦμα,*
*μᾶλλον δ᾽ ἐν Πατρὶ καὶ μένει*
*καὶ προέρχεται ἀφράστως.*
*Ὥσπερ πάλιν δὲ ὁ νοῦς μου*
*πάντοτε γεννᾷ τὸν λόγον*
*καὶ προφέρει καὶ ἐκπέμπει*
*καὶ γνωστὸν ποιεῖ τοῖς πᾶσιν*
*– οὐ χωρίζεται δὲ τούτου,*

---

65. Ἰω. 4,24.

εἶναι ἀσύγχυτα ἑνωμένα
καὶ χωρίζουν δίχως τμήση.
Ἕνα τους ἂν διαγράψεις,
τὰ διαγράφεις πάντως ὅλα·
ψυχὴ δίχως νοῦ καὶ λόγο
τὸ ἴδιο μὲ τὰ ἄλογα εἶναι
καὶ χωρὶς ψυχὴ δὲν εἶναι
νοῦς ἢ λόγος νὰ ὑπάρξει.
Λοιπὸν ἔτσι ἀπ' τὴν εἰκόνα
τὸ πρωτότυπο σὺ ἐννόησε·
δίχως Πνεῦμα δὲν ὑπάρχει
ὁ Πατέρας μήτε ὁ Λόγος·
Πνεῦμα εἶναι ὁ Πατέρας,
Πνεῦμα εἶναι καὶ ὁ Υἱός του
-μόλο ποὺ τὴ σάρκα ἐντύθη-
καὶ Θεὸς πάλι τὸ Πνεῦμα·
γιατὶ ἕνα στὴν οὐσία
καὶ τὰ δυὸ εἶναι καὶ στὴ φύση
ὅπως νοῦς, ψυχὴ καὶ λόγος.
Ἀλλὰ ἀπόρρητα ὁ Πατέρας
γέννησε ὡς Υἱὸ τὸ Λόγο.
Ὅπως ἀπὸ τὴν ψυχή μου
ὁ νοῦς μέσα στὴν ψυχή μου,
ἔτσι ἀπ' τὸν Πατέρα ἢ κάλλιο
μὲς σ' αὐτὸν τὸ Πνεῦμα μένει
καὶ προέρχεται ἀνεξήγητα
καὶ καθὼς ὁ νοῦς μου πάλι
πάντοτε γεννᾶ τὸ Λόγο,
τὸν ἐκφράζει καὶ τὸν στέλνει
καὶ γνωστὸ τὸν κάνει σ' ὅλους
– δὲ χωρίζεται ἀπὸ τοῦτον,

61. Ἰδέα γιὰ τὸ πρωτότυπο μποροῦμε νὰ ἔχομε ἀπὸ τὴν εἰκόνα του.

70 κ.ἑ. Ἀπὸ ὅσα ὑπάρχουν στὸν ἄνθρωπο νοῦς, ψυχή, λόγος βοηθεῖ νὰ γίνουν κατανοητὲς οἱ σχέσεις τῶν τριῶν προσώπων τῆς ἁγίας Τριάδας.

*ἀλλὰ καὶ γεννᾷ τὸν λόγον*
*καὶ ἐντὸς αὐτὸν κατέχει –,*
*οὕτω νόει τὸν Πατέρα,*
*ὅτι ἔτεκε τὸν Λόγον,*
*ὅτι τίκτει ἀενάως,*
*οὐ χωρίζεται δὲ ὅλως*
*τοῦ Υἱοῦ Πατὴρ ὁ τούτου,*
*ἀλλ' ἐν τῷ Υἱῷ ὁρᾶται,*
*καὶ Υἱὸς ἐν τούτῳ μένει.*
*Ταύτην ἀκριβῆ εἰκόνα,*
*εἰ καὶ ἀμυδρὰ τυγχάνει,*
*καθυπέδειξεν ὁ λόγος,*
*ἣν οὐδέποτε θεάσῃ,*
*οὐδ' οὐ μὴ κατανοήσῃς,*
*εἰ μὴ πρότερον καθάρῃς,*
*εἰ μὴ πρότερον ἐκπλύνῃς,*
*τῆς εἰκόνος σου τὸν ῥύπον,*
*εἰ μὴ κεχωσμένην οὖσαν*
*ἐν τοῖς πάθεσιν ἐξάξῃς,*
*ἀποσμήξῃς τε τελείως,*
*ἀποδύσῃς τε ὡσαύτως*
*καὶ λευκάνῃς ὡς χιόνα.*
*Ὅταν ταῦτα δὲ ποιήσῃς*
*καὶ καλῶς σαυτὸν καθάρῃς*
*καὶ εἰκὼν τελεία γένῃ,*
*τὸ πρωτότυπον οὐκ ὄψῃ,*
*οὐδ' οὐ μὴ κατανοήσῃς,*
*εἰ μὴ ἀποκαλυφθῇ σοι*
*διὰ Πνεύματος ἁγίου.*
*Πάντα γὰρ Πνεῦμα διδάσκει*

---

91. Ἰω. 14,9. 92. Ἰω. 17,21–22.
105. Ἠσ. 1,18. 111. Α' Κορ. 2,10. 113. Ἰω. 14,2(

ἀλλὰ καὶ γεννᾶ τὸ λόγο
καὶ τὸν ἔχει ὡστόσο ἐντός του –,
ἔτσι ἐννόησε τὸν Πατέρα,
ὅτι γέννησε τὸ Λόγο,
ὅτι ἀένναα τὸν γεννάει,
οὔτε ποὺ χωρίζεται ὅμως
ὁ Πατέρας ἀπ' τὸ Γιό του,
μὰ τόν βλέπομε στὸν Γιό του
κι ὁ Υἱός σ' ἐκεῖνον μένει.
Αὐτή 'ναι ἡ ἀκριβὴς εἰκόνα
– μόλο ποὺ ἀχνοδιάκριτη εἶναι –,
ποὺ μᾶς ἔδειξεν ὁ λόγος,
καὶ ποτὲ δὲ θὰ τὴ δεῖς
μήτε καὶ θὰ τὴν ἐννοήσεις,
ἂν πιὸ πρὶν δὲν καθαρίσεις
κι ἂν πιὸ πρὶν ἀπ' τὴν εἰκόνα
κάθε ρύπο δὲν ξεπλύνεις,
ἂν χωμένη καθὼς εἶναι
ἀπ' τὰ πάθη δὲν τὴ βγάλεις
καὶ σκουπίζοντάς την τέλεια
τὰ ἀκάθαρτά της βγάλεις
καὶ σὰν χιόνι τὴ λευκάνεις.
Ὅταν ὅλα αὐτὰ τὰ κάνεις
κι ὅταν καθαρθεῖς ὡραῖα
καὶ εἰκόνα γίνεις τέλεια,
δὲ θὰ δεῖς τὸ πρότυπό της
κι οὔτε θὰ τὸ ἐννοήσεις,
ἂν δὲ σοῦ ἀποκαλυφθεῖ
ἀπὸ τὸ ἅγιο τὸ Πνεῦμα.
Μᾶς διδάσκει ὅλα τὸ Πνεῦμα,

---

109. Προϋπόθεση νὰ δεῖ κανεὶς τὸ πρωτότυπο εἶναι ἡ κάθαρση τῆς ψυχῆς· καὶ πάλι ὅμως αὐτὸ δὲ φτάνει, ἀλλὰ ἡ ἀποκάλυψή του θὰ γίνει μὲ τὴ μεσολάβηση τοῦ Πνεύματος.

*ἐν φωτὶ λάμψαν ἀρρήτῳ,*
*νοερῶς τὰ νοητά σοι*
*ἅπαντα καθυποδείξει,*
*ὅσον δύνασαι καὶ βλέπειν,*
*ὅσον ἐφικτὸν ἀνθρώπῳ,*
*κατὰ τὴν ἀναλογίαν*
*ψυχικῆς καθάρσεώς σου,*
*καὶ Θεῷ ὁμοιωθήσῃ*
*ἔργων ἀκριβεῖ μιμήσει,*
*σωφροσύνης καὶ ἀνδρείας,*
*ἀλλὰ καὶ φιλανθρωπίας,*
*πειρασμῶν ὑπομονῇ τε*
*καὶ τῇ πρὸς ἐχθροὺς ἀγάπῃ.*
*Τοῦτο γὰρ φιλανθρωπία,*
*τὸ ἐχθροὺς εὐεργετεῖν σε*
*καὶ φιλεῖν αὐτοὺς ὡς φίλους,*
*ὡς γνησίους εὐεργέτας,*
*εὔχεσθαί τε ὑπὲρ πάντων*
*τῶν σοὶ ἐπηρεαζόντων,*
*ἴσην τε πρὸς πάντας ἔχειν*
*ἀγαθοὺς καὶ πονηρούς τε*
*ἐνδιάθετον ἀγάπην,*
*ὑπὲρ πάντων δὲ τιθέναι*
*τὴν ψυχήν σου καθ' ἑκάστην,*
*ὑπὲρ σωτηρίας λέγω,*
*καὶ τοῦ ἕνα που σωθῆναι*
*ἢ καὶ πάντας, εἰ οἷόν τε.*
*Ταῦτα μιμητὴν Δεσπότου*
*ἀπεργάσονταί σε, τέκνον,*
*καὶ εἰκόνα ἀληθῆ σε*
*ἀποδείξουσι τοῦ κτίστου,*

---

125. Ἰακ. 1,12. 126. Ματθ. 5,44. 131. Λουκᾶ 6,28.
136. Α' Ἰω. 3,16. 141. Ἐφ. 5,1. Α' Κορ. 11,1.

ποὺ ἔλαμψε μ' ἄρρητο φῶς
καὶ νοερὰ ὅσα νοητὰ εἶναι
ὅλα θὰ σοῦ δείξει ὅσο
δύνασαι καὶ ὅσο μπορεῖ
ὁ ἄνθρωπος νὰ τὰ κοιτάξει,
στὸ βαθμὸ ποὺ ἡ κάθαρση ἔχει
τῆς ψυχῆς σου καταλήξει
καὶ μὲ τὸ Θεὸ θὰ γίνεις ὅμοιος
πράττοντας τὰ ἴδια ἔργα,
ἔργα ἀντρείας καὶ σωφροσύνης,
ἀλλὰ καὶ φιλανθρωπίας,
στοὺς πειρασμοὺς καρτερώντας
κι ἀγαπώντας τοὺς ἐχθρούς σου.
Τοῦτο εἶναι ἡ φιλανθρωπία,
τοὺς ἔχθροὺς νὰ εὐεργετεῖς καὶ
νὰ τοὺς ἀγαπᾶς σὰν φίλους,
ὅπως γνήσιος εὐεργέτης,
καὶ νὰ εὔχεσαι γιὰ ὅλους
ὅσοι τὸ κακό σου θέλουν
καὶ γιὰ ὅλους ἴση νά 'χεις
–ἀγαθοὺς καὶ πονηρούς–
μέσα στὴν ψυχή σου ἀγάπη
καὶ γιὰ χάρη ὅλων νὰ δίνεις
κάθε μέρα τὴν ψυχή σου,
γιὰ τὴ σωτηρία τους λέγω,
νὰ σωθεῖ ἂς εἶναι κι ἕνας
εἴτε ἂν γίνεται καὶ ὅλοι.
Μιμητὴ αὐτὰ τοῦ Κυρίου
θὰ σὲ κάνουνε, παιδί μου,
καὶ ἀληθινὴν εἰκόνα
θὰ σὲ δείξουνε τοῦ πλάστη,

125. Οἱ ἀρετὲς μὲ τὶς ὁποῖες θὰ ἐπιτύχει κανεὶς τὴν ὁμοίωσή του μὲ τὸ πρωτότυπο ἀναφέρονται στοὺς στίχους 121–140 καὶ τότε θὰ στείλει ὁ Θεὸς τὸ Πνεῦμα.

*μιμητήν τε κατὰ πάντα*
*τελειότητος τῆς θείας.*
*Ὁ δὲ κτίστης τότε –πρόσχες,*
*ὅπερ μέλλω σοι ἐκφράσαι!–*
*Θεῖον ἀποστείλει Πνεῦμα·*
*οὐ ψυχήν σοι λέγω ἄλλην,*
*οἷαν ἔσχες, ἀλλὰ Πνεῦμα,*
*τὸ ἐκ τοῦ Θεοῦ σοι λέγω,*
*καὶ ἐμπνεύσει καὶ οἰκήσει*
*καὶ οὐσιωδῶς σκηνώσει*
*καὶ φωτίσει καὶ λαμπρύνει*
*καὶ ἀναχωνεύσει ὅλον,*
*τὸν φθαρτόν τε ἀφθαρτίσει*
*καὶ ἀνανεώσει αὖθις*
*τὸν παλαιοθέντα οἶκον,*
*οἶκον τῆς ψυχῆς σου λέγω.*
*Ταύτῃ δὲ συναφθαρτίσει*
*καὶ τὸ σῶμα ὅλον ὅλως*
*καὶ θεόν σε κατὰ χάριν*
*ὅμοιον τοῦ πρωτοτύπου*
*ἀπεργάσεται, ὢ θαῦμα,*
*ὢ μυστήριον τὸ πᾶσιν*
*ἄγνωστον τοῖς ἐμπαθέσιν,*
*ἄγνωστον τοῖς φιλοκόσμοις,*
*ἄγνωστον τοῖς φιλοδόξοις,*
*ἄγνωστον ὑπερηφάνοις,*
*ἄγνωστον ὄντως ὀργίλοις,*
*ἄγνωστον καὶ μνησικάκοις,*
*ἄγνωστον τοῖς φιλοσάρκοις,*
*ἄγνωστον τοῖς φιλαργύροις,*
*ἄγνωστον τοῖς φθονεροῖς τε,*
*ἄγνωστον πᾶσι λοιδόροις,*

---

145. Ματθ. 5,84.
153–168. Ἔχομε κατὰ παράθεση σύνταξη μὲ τὸ συμπλεκτικὸ 'καί'.

μὰ καὶ μιμητὴ τῆς θείας
τελειότητας σὲ ὅλα.
– Τότε ὁ κτίστης, πρόσεξέ με,
σὰν τί θέλω νὰ σοῦ ἐκφράσω,
τὸ θεῖο Πνεῦμα θ' ἀποστείλει,
δὲ σοῦ λέγω ψυχὴν ἄλλη,
ὅποια ἐδέχτης, μὰ τὸ Πνεῦμα
ποὺ ἔρχεται ἀπ' τὸ Θεὸ ἐννοῶ,
κι ὡς πνοὴ θὰ κατοικήσει
κι ὡς ούσία θὰ σκηνώσει,
θὰ φωτίσει, θὰ λαμπρύνει
κι ὅλον θὰ σ' ἀναχωνεύσει,
τὸ φθαρτὸν θὲ ν' ἀφθαρτίσει
καὶ θὰ καινουργιώσει πάλι
τὸ σπίτι ποὺ ἔχει παλιώσει,
τῆς ψυχῆς τὸ σπίτι λέγω. –
Μ' αὐτὴν θὰ συναφθαρτίσει
καὶ τὸ σῶμα ὅλον ὡς πέρα
καί, ὢ θαῦμα, θὰ σὲ κάνει
Θεὸν ἐσένα κατὰ χάρη,
ὅμοιο μὲ τὸ πρότυπό σου.
Ὢ μυστήριο πού 'ναι σ' ὅλους
ἄγνωστο ὅσους δέρνουν πάθη,
σ' ὅσους φίλοι εἶναι τοῦ κόσμου,
σ' ὅσους κυνηγοῦν τὴ δόξα,
σ' ὅσους ἀπὸ ἔπαρση φουσκώνουν,
ἄγνωστο σ' ὅσους θυμώνουν,
ποὺ οἱ μνησίκακοι δὲν ξέρουν,
ἄγνωστο στοὺς φιλοσάρκους
σ' ὅσους ἡ φιλαργυρία
δένει καὶ στοὺς φθονερούς,
ἄγνωστο σ' ὅσους προσβάλλουν,

166–191. Ἔχομε πάλι παρόμοια σύνταξη μὲ τὴν ἐπανάληψη τοῦ ἐπιθέτου 'ἄγνωστον' ποὺ συνεχίζεται ἡ χρήση του ἀραιότερη ὡς τὸ στίχο 204.

*ἄγνωστον ὑποκριταῖς γε,*
*ἄγνωστον καὶ γαστριμάργοις,*
*ἄγνωστον τοῖς λαθροφάγοις*
*καὶ μεθύσοις τε καὶ πόρνοις,*
*ἄγνωστον τοῖς ἀργολόγοις,*
*ἄγνωστον τοῖς αἰσχρολόγοις,*
*ἄγνωστον καὶ τοῖς ῥᾳθύμοις,*
*ἄγνωστον τοῖς ἀμελοῦσι*
*τῆς καθ' ὥραν μετανοίας,*
*ἄγνωστον τοῖς μὴ πενθοῦσιν*
*ἀενάως καθ' ἑκάστην,*
*ἄγνωστον ἀνυποτάκτοις,*
*ἄγνωστον τοῖς ἀντιλόγοις,*
*ἄγνωστον ἰδιορρύθμοις,*
*ἄγνωστον τοῖς οἰομένοις*
*εἶναί τι, μηδὲν δὲ οὖσιν,*
*ἄγνωστον τοῖς καυχωμένοις,*
*ἀλλὰ μὴ καὶ τερπομένοις*
*ἐπὶ σώματος μεγέθει*
*ἢ δυνάμει εἴτε κάλλει*
*ἢ χαρίσματι ἑτέρῳ*
*οἱῳδήποτέ, σοὶ λέγω,*
*ἄγνωστον τοῖς μὴ καρδίαν*
*καθαρὰν προσκτησαμένοις,*
*ἄγνωστον τοῖς μὴ αἰτοῦσιν*
*ἐν θερμότητι καρδίας*
*τοῦ λαβεῖν τὸ Θεῖον Πνεῦμα,*
*ἄγνωστον τοῖς ἀπιστοῦσιν*
*ὅτι δίδοται καὶ ἄρτι*
*τοῖς ζητοῦσι Πνεῦμα Θεῖον.*
*Ἀπιστία γὰρ ἀπείργει*
*καὶ διώκει Πνεῦμα Θεῖον·*
*ἀπιστῶν τις οὐκ αἰτεῖται,*
*μὴ αἰτῶν οὐδὲ λαμβάνει,*

ἄγνωστο σ' ὑποκριτές,
ἄγνωστο στοὺς λαίμαργους
μὰ καὶ σ' ὅσους κρυφοτρῶνε
καὶ στοὺς μέθυσους καὶ πόρνους,
ἄγνωστο σ' ὅσους φλυαροῦνε
καὶ σ' αὐτοὺς ποὺ αἰσχρολογοῦνε,
ἄγνωστο εἶναι καὶ στοὺς ράθυμους
μὰ καὶ σ' ὅσους ἀμελοῦνε
τὴ μετάνοια κάθε ὥρα,
καὶ σ' αὐτοὺς ποὺ δὲν πενθοῦνε
ἀδιακόπως κάθε μέρα·
ἄγνωστο στοὺς ἀνυπάκοους
καὶ σ' αὐτοὺς ποὺ ἀντιλογοῦνε
καὶ ὅσοι ἰδιόρρυθμοι εἶναι·
ἄγνωστο σ' ὅσους νομίζουν
κάτι ὅτι εἶναι ἐνῶ δὲν εἶναι
τίποτε· σ' ὅσους καυχιοῦνται
μὰ καὶ σ' ὅσους καμαρώνουν
γιὰ τὸ σῶμα τὸ ψηλό τους
ἢ τὴ δύναμη ἢ τὸ κάλλος
ἢ γιὰ χάρισμά τους ἄλλο
ὅποιο νά 'ναι, ἄκουσέ με·
ἄγνωστο σ' ὅσους δὲν ἔχουν
ὁλοκάθαρη καρδιά.
Ἄγνωστο σ' ὅσους μὲ θέρμη
τῆς καρδιᾶς τους δὲν ζητᾶνε
τὸ ἅγιο Πνεῦμα γιὰ νὰ λάβουν
καὶ σ' αὐτοῦς ποὺ δὲν πιστεύουν
ὅτι δίνεται καὶ τώρα
σ' ὁποιους θέλουν τ' ἅγιο Πνεῦμα.
Ἐμποδίζει τ' ἅγιο Πνεῦμα
καὶ τὸ διώχνει ἡ ἀπιστία.
Δὲν ζητᾶ ὅποιος δὲν πιστεύει
κι ἀφοῦ δὲν ζητᾶ οὔτε παίρνει

191-192. Γαλ. 6,3. 210. Ματθ. 7,8.

*μὴ λαβὼν νεκρὸς ὑπάρχει.*
*Τὸν νεκρὸν δὲ τίς μὴ κλαύσει,*
*ὅτι ζῆν δοκεῖ νεκρὸς ὤν;*
*Οἱ νεκροὶ νεκροὺς οὐδέπω*
*οὔτ' ἰδεῖν οὔτε θρηνῆσαι*
*ὅλως δύνανται· οἱ ζῶντες*
*τούτους βλέποντες πενθοῦσι.*
*Θαῦμα γὰρ ὁρῶσι ξένον,*
*ζῶντας τοὺς νενεκρωμένους,*
*ἀλλὰ καὶ περιπατοῦντας,*
*τοὺς τυφλοὺς βλέπειν δοκοῦντας*
*καὶ κωφοὺς δὲ ὄντως ὄντας*
*καὶ ἀκούειν οἰομένους·*
*ζῶσι γὰρ καὶ καθορῶσι*
*καὶ ἀκούουσιν ὡς κτήνη,*
*ὡς ἀνόητοι νοοῦσιν*
*ἐν αἰσθήσει ἀναισθήτῳ,*
*ἐν ζωῇ νενεκρωμένῃ.*
*Ἔστι γὰρ ζῆν μὴ ζῶντα,*
*ἔστι βλέποντα μὴ βλέπειν*
*μηδ' ἀκούοντα ἀκούειν –*
*Πῶς, εἰπέ μοι; –Λέξω τάχος·*
*Ὅσοι ζῶσι κατὰ σάρκα,*
*ὅσοι βλέπουσι τὰ τῇδε*
*καὶ ὠσὶ σαρκίνοις μόνοις*
*θείων λόγων ἀκροῶνται,*
*οὗτοι κατὰ πνεῦμα πάντες*
*κωφοί, τυφλοὶ καὶ νεκροί γε.*
*Οὐδὲ γὰρ ἐκ Θεοῦ γεγέννηνται*
*ὅλως, ἵνα καὶ ζῶσί γε,*
*ἀλλ' οὐδ' ἔλαβον τὸ Πνεῦμα*
*οὐδ' ἀνέβλεψαν τὰς κόρας,*
*οὐ κατεῖδον φῶς τὸ θεῖον·*

---

213. Ἀποκ. 3,1. 230.–231. Ματθ. 13,13. 233. Ρωμ. 8,12 ἑ.

κι ἂν δὲν πάρει εἶναι νεκρός.
Καὶ ποιός τὸ νεκρὸ δὲν κλαίει ποὺ ἂν
καὶ νεκρὸς θαρρεῖ πῶς ζεῖ;
Τοὺς νεκροὺς ποτὲ οἱ νεκροὶ
οὔτε νὰ τοὺς δοῦν μποροῦνε
οὔτε νὰ τοὺς κλάψουν· μὰ ὅσοι
ζοῦν πενθοῦνε βλέποντάς τους.
Θαῦμα μέγα ὅ,τι θωροῦνε
ὅσοι εἶναι νεκροὶ νὰ ζοῦνε,
ἀλλὰ καὶ νὰ περπατοῦνε,
νὰ λὲν οἱ τυφλοὶ ὅτι βλέπουν
κι οἱ κουφοί, κουφοὶ στ' ἀλήθεια,
νὰ θαρροῦνε πὼς ἀκοῦνε.
Γιατὶ ζοῦνε καὶ κοιτάζουν
καὶ ἀκοῦνε σὰν τὰ κτήνη
καὶ νοοῦνε σὰν ἀνόητοι
κι αἴσθηση μὲ δίχως νιώθουν
κι ὡς νεκροὶ τὴ ζωή τους ζώντας.
Μπορεῖς ζώντας νὰ μὴ ζεῖς,
κι ἐνῶ βλέπεις νὰ μὴ βλέπεις,
κι ἐνῶ ἀκοῦς νὰ μὴν ἀκοῦς.
– Πές μου πῶς; – Σ' τὸ λέω ἀμέσως·
Ὅσοι ζοῦνε κατὰ σάρκα,
ὅσοι βλέπουν τὰ ἐδῶ κάτω
καὶ ἀφουγκράζονται μ' αὐτιὰ
σάρκινα τὰ θεῖα τὰ λόγια,
τοῦτοι εἶναι κατὰ τὸ Πνεῦμα
κουφοί, τυφλοὶ καὶ νεκροὶ ὅλοι.
Γέννηση ἀπ' τὸ Θεὸ δὲν εἶχαν,
ὥστε νά 'ναι ζωντανοί,
οὔτε κι ἔλαβαν τὸ Πνεῦμα·
δὲν καθάρισαν τὰ μάτια
κι οὔτε εἶδαν τὸ φῶς τὸ θεῖο·

212. Ὁ ἄπιστος κατὰ ἕνα σύνθετο συλλογισμὸ εἶναι νεκρός.

*τούτου δὲ μὴ γενομένου*
*ἔμειναν κωφοὶ εἰς ἅπαν.*
*Οἱ τοιοῦτοι δέ, εἰπέ μοι,*
*πῶς Χριστιανοὶ κληθῶσιν;*
*Ἄκουε τοῦ θείου Παύλου*
*ταῦτά σοι σαφῶς δηλοῦντος,*
*μᾶλλον δὲ Χριστοῦ λαλοῦντος·*
*Ἄνθρωπος ἐκ γῆς ὁ πρῶτος*
*χοϊκὸς ἐκτίσθη πάντως,*
*ἄνθρωπος ὁ δεύτερος δὲ*
*ἐκ τῶν οὐρανῶν κατῆλθε.*
*Πρόσεχε τοῖς λεγομένοις·*
*οἷος οὖν ὁ πρῶτος πέλει*
*χοϊκὸς καὶ οἱ ἐκ τούτου*
*πάντες χοϊκοὶ γεννῶνται·*
*οἷος δὲ Χριστὸς ὑπάρχει*
*ἐπουράνιος Δεσπότης,*
*ἐπουράνιοι καὶ πάντες*
*οἱ αὐτῷ πεπιστευκότες,*
*ἄνωθεν δὲ γεννηθέντες,*
*βαπτισθέντες δὲ ὡσαύτως*
*Πνεύματι τῷ παναγίῳ·*
*οἷον ἔστι τὸ γεννῆσαν*
*Θεὸς ὄντως, ἐξ αὐτοῦ τε*
*οἱ γεννώμενοι τοιοῦτοι*
*ἐκ Θεοῦ θεοὶ θετοί γε*
*καὶ υἱοὶ Ὑψίστου πάντες,*
*ὥς φησι τὸ θεῖον στόμα.*
*Ἤκουσας Θεοῦ τοὺς λόγους,*
*ἤκουσας πῶς ἐκ τῶν ἄλλων*
*τοὺς πιστοὺς ἀναχωρίζει,*
*πῶς σημεῖον γνώρισμά τε*
*δέδωκε τοῖς αὐτοῦ δούλοις.*

κι ἂν τὸ θεῖο τὸ φῶς δὲν εἶδαν
ἔμειναν κουφοὶ γιὰ ὅλα.
Κι οἱ κουφοὶ ὅλοι τοῦτοι, πές μου,
Χριστιανοὶ πῶς θὰ λεχτοῦνε;
Ἄκουσε τὸ θεῖο τὸν Παῦλο
καθαρὰ νὰ σοῦ δηλώνει
ἢ ὁ Χριστὸς νὰ σοῦ μιλάει·
Ὁ ἄνθρωπος ἐπλάστη ὁ πρῶτος
ἀπὸ γῆ χοϊκὸς – τὸ ξέρεις –
κι ἀπ' τὸν οὐρανὸ κατέβη
ὁ ἄνθρωπος ὁ δεύτερος.
Πρόσεχε σ' ὅ,τι σοῦ λέγω.
Ὅπως λοιπὸν εἶναι ὁ πρῶτος
χοϊκός, κι ὅσοι ἀπὸ τοῦτον
χοϊκοὶ γεννιοῦνται ὅλοι·
Κι ὅπως εἶναι ὁ Χριστὸς
ἐπουράνιος δεσπότης,
ἐπουράνιοι εἶναι κι ὅλοι
ὅσοι πίστεψαν σ' ἐκεῖνον,
ἀπὸ ἄνω γεννημένοι,
καὶ τὸ ἴδιο βαφτισμένοι
μὲ τὸ Πνεῦμα τὸ Πανάγιο.
Σὰν τὸ Πνεῦμα ποὺ τοὺς γέννησε
θεοὶ στ' ἀλήθεια κι ἀπ' αὐτὸ
εἶναι θεοὶ ὅσοι γεννιοῦνται
ἀπ' τὸ Θεὸ υἱοθετημένοι
καὶ παιδιὰ τοῦ Ὑψίστου ὅλοι,
ὅπως λέει τὸ θεῖο τὸ στόμα.
Τοῦ Θεοῦ ἄκουσες τὰ λόγια,
ἄκουσες πῶς ἀπ' τοὺς ἄλλους
τοὺς πιστοὺς τοὺς διαχωρίζει,
γνώρισμα πὼς καὶ σημάδι
στοὺς δικούς του δούλους δίνει,

270. Ψαλμ. 81,6.

*ἵνα μὴ πλανῶνται λόγοις*
*ἀλλοτρίων διδασκάλων;*
*Ἐκ τῆς γῆς, φησίν, ὁ πρῶτος,*
*ὅτι χοϊκὸς ἐκτίσθη,*
*ὁ δεύτερος ἄνθρωπος δέ,*
*τῶν ἁπάντων ὁ Δεσπότης,*
*ἐκ τῶν οὐρανῶν κατῆλθε.*
*Θάνατον πᾶσιν ὁ πρῶτος*
*προεξένησεν ἀνθρώποις*
*καὶ φθορὰν τῇ παραβάσει·*
*ὁ δὲ δεύτερος τῷ κόσμῳ*
*ἐδωρήσατο καὶ νῦν δὲ*
*ἅπασι πιστοῖς παρέχει*
*φῶς, ζωὴν καὶ ἀφθαρσίαν.*
*Ἤκουσας, ἅπερ σοι λέγει*
*ὁ τῶν οὐρανίων μύστης;*
*Ἤκουσας Χριστοῦ λαλοῦντος*
*δι' αὐτοῦ καὶ τοὺς ἀνθρώπους*
*ἐκδιδάσκοντος ὁποῖοι*
*οἱ αὐτῷ πεπιστευκότες*
*καὶ τὴν πίστιν ἐκ τῶν ἔργων*
*ἐνδεικνύμενοι τελοῦσι;*
*Μὴ οὖν ἀμφίβαλλε λοιπόν·*
*εἰ Χριστιανὸς ὑπάρχεις,*
*οἷος ὁ Χριστὸς ὑπάρχει*
*ἐπουράνιος, τοιοῦτος*
*καὶ αὐτὸς ὀφείλεις εἶναι·*
*μὴ ὑπάρχων δὲ τοιοῦτος,*
*πῶς Χριστιανὸς κληθήσῃ;*
*Εἰ γὰρ οἷος ὁ Δεσπότης*
*ἐπουράνιος ὑπάρχει,*
*καὶ τοιούτους εἶναι λέγει*

---

279. Βλ. Α' Κορ. 15,47 ἑ. 285. Ρωμ. 5,17. 290. Β' Τιμ. 1,10.
297. Ἰακ. 2,18. 308. Α' Κορ. 15,48.

ἀπὸ λόγια διδασκάλων
ἄσχετων νὰ μὴ πλανιοῦνται;
Ἀπ' τὴ γῆ, μᾶς λέει, ὁ πρῶτος,
ἀφοῦ χοϊκὸς ἐπλάστη,
κι ὁ ἄνθρωπος ὁ δεύτερος
ὁ κυρίαρχος τῶν ὅλων
ἀπ' τοὺς οὐρανοὺς κατέβη,
θάνατον ὁ πρῶτος σ' ὅλους
τοὺς ἀνθρώπους ἔχει φέρει
καὶ φθορὰ ἡ παρακοή τους.
Ἀλλὰ ὁ δεύτερος στὸν κόσμο
δώρισε καὶ τώρ' ἀκόμα
σ' ὅλους τοὺς πιστοὺς χαρίζει
φῶς καὶ ζωὴ καὶ ἀφθαρσία.
Ἄκουσες ὅσα σοῦ λέγει
ὁ μυημένος στὰ οὐράνια;
Μὲ τὸ στόμα του νὰ λέγει
τὸ Χριστὸ ἔχεις ἀκούσει,
νὰ διδάσκει τοὺς ἀνθρώπους
ποὺ σ' αὐτὸν ἔχουν πιστέψει
καὶ τὴν πίστη τους μὲ ἔργα
δείχνουν; Σοῦ μιλῶ γιὰ τούτους.
Κι ἂν Χριστιανὸς στ' ἀλήθεια
εἶσαι, νὰ μὴν ἀμφιβάλλεις,
ὅπως ὁ Χριστός μας εἶναι
ἐπουράνιος καὶ σὺ ἔτσι,
τέτοιος χρεωστεῖς νὰ γίνεις.
Κι ἂν δὲν εἶσαι ἐπουράνιος
Χριστιανὸ πῶς θὰ σὲ ποῦνε;
Γιατί, ἂν ὅπως ὁ Κύριος
ἐπουράνιος εἶναι ἀλήθεια
καὶ ἂν τέτοιοι λέει πὼς εἶναι

300. Ὁ Χριστιανὸς ὀφείλει νὰ εἶναι ἐπουράνιος ὅπως ὁ Χριστός.

*τοὺς αὐτῷ πεπιστευκότας*
*πάντως γε ἐπουρανίους,*
*ὅσοι κοσμικὰ φρονοῦσι,*
*ὅσοι κατὰ σάρκα ζῶσιν,*
*οὔκ εἰσι τοῦ ἐκ τῶν ἄνω*
*κατελθόντος Θεοῦ Λόγου,*
*ἀλλὰ τοῦ ἐκ γῆς πλασθέντος*
*χοϊκοῦ ἀνθρώπου πάντως.*
*Οὕτω φρόνει, οὕτως ἔχε,*
*οὕτω πίστευε, καὶ ζήτει*
*ἵνα γένησαι τοιοῦτος*
*ἐπουράνιος, ὡς εἶπεν*
*ὁ ἐξ οὐρανῶν φοιτήσας*
*καὶ διδοὺς ζωὴν τῷ κόσμῳ!*
*Οὗτος ἔστι καὶ ὁ ἄρτος,*
*ὁ ἐκεῖθεν καταβαίνων,*
*ὃν οἱ τρώγοντες οὐδ' ὅλως*
*θάνατόν ποτε ὁρῶσιν·*
*ἐπουράνιοι γὰρ ὄντες*
*εἰς ἀεὶ ἔσονται πάντως*
*τὴν φθορὰν ἀποδυθέντες,*
*ἀφθαρσίαν δ' ἐνδυθέντες,*
*θάνατον ἀποβαλόντες*
*καὶ ζωῇ προσκολληθέντες.*
*Ἀθάνατοι γάρ, ἄφθαρτοι*
*γίνονται καὶ διὰ τοῦτο*
*ἐπουράνιοι καλοῦνται.*
*Τίς γὰρ ἀπὸ τοῦ αἰῶνος*
*ἐχρημάτισε τοιοῦτος,*
*τῶν Ἀδὰμ υἱῶν σοι λέγω,*
*πρὶν ἐξ οὐρανοῦ κατέλθῃ*
*ὁ Δεσπότης τῶν ἁπάντων*

---

312. Ρωμ. 8,12. 313. Ἰω. 3,13. 322. Ἰω. 6,33.

σ' αὐτὸν ὅσοι ἔχουν πιστέψει
ἐπουράνιοι στ' ἀλήθεια,
ὅσοι κοσμικὰ φρονοῦνε,
ὅσοι κατὰ σάρκα ζοῦνε
δὲν εἶναι τοῦ Θεοῦ Λόγου
ποὺ ἀπ' τὸν οὐρανὸ κατέβη,
μὰ τοῦ χοϊκοῦ ἀνθρώπου,
ποὺ ἀπ' τὴν γῆν εἶναι πλασμένοι.
Τέτοιο φρόνημα ἐσὺ νά 'χεις,
ἔτσι πίστευε, ἔτσι ζῆτα
κι ἐσὺ τέτοιος γιὰ νὰ γίνεις,
ἐπουράνιος καθὼς εἶπε
ὅποιος ἦρθε ἀπὸ τὰ οὐράνια
κι ἔδωσε ζωὴ στὸν κόσμο.
Τοῦτος εἶναι καὶ ὁ Ἄρτος
ποὺ ἀπ' τὰ οὐράνια κατεβαίνει,
ποὺ ποτὲς ὅσοι τὸν τρῶνε
θάνατο δὲ θὰ γευτοῦνε.
Γιατί, ἀφοῦ εἶναι ἐπουράνιοι,
θὰ ζοῦν στὸν αἰώνα πάντως,
ξεντυμένοι ἀπ' τὴ φθορὰ
καὶ τὴν ἀφθαρσία ντυμένοι,
ἀποθέτοντας τὸ θάνατο
καὶ μὲ τὴ ζωὴ δεμένοι.
Ἄφθαρτοι κι ἀθάνατοι
γίνονται κι εἶναι γι' αὐτὸ
'ἐπουράνιοι' τὄνομά τους.
Ποιός ἀπ' τὰ παλιὰ τὰ χρόνια
ἐχρημάτισε ἐπουράνιος,
γιὰ τοῦ Ἀδὰμ τοὺς γιοὺς σοῦ λέγω,
πρὶν κατέβη ἀπὸ τὰ οὐράνια
ὁ κυρίαρχος τῶν ὅλων,

---

323–326. Ἰω. 6,50. 330. Α' Κορ. 15,53 ἑ. 340–341. Φιλ. 2,10.

*οὐρανίων, ἐπιγείων;*
*Οὗτος ἔλαβε τὴν σάρκα*
*τὴν ἡμῶν καὶ Πνεῦμα Θεῖον*
*δέδωκε, καθὼς πολλάκις*
*εἴπομεν, καὶ τοῦτο πάντα*
*ὡς Θεὸς ἡμῖν παρέχει.*
*Ποῖα πάντα; – Ἃ πολλάκις ὑμῖν εἶπον,*
*ἀλλὰ καὶ τὰ νῦν ἐξείπω·*
*Γίνεται ὡς κολυμβήθρα*
*θεία φωτοειδεστάτη,*
*πάντας συμπεριλαμβάνει*
*τοὺς ἀξίους, οὓς ἐφεύρῃ*
*ἔνδοθεν, –καὶ πῶς ἐξείπω, πῶς ἐκφράσω*
*τὰ γινόμενα ἀξίως;*
*δός μοι λόγον, ὁ ψυχήν μοι*
*χαρισάμενος Θεός μου–.*
*Θεὸς ὂν τὸ Θεῖον Πνεῦμα,*
*οὓς ἂν καὶ λάβοι ἐντὸς αὐτοῦ,*
*ἀναπλάττει τούτους ὅλως,*
*ἐξανακαινίζει τούτους,*
*καινουργεῖ τε παραδόξως.*
*Πῶς καὶ τίνα γε τὸν τρόπον*
*οὐ μεταλαμβάνει ὅλως*
*τοῦ ἐκείνων αὐτὸ ῥύπου;*
*Ὡς οὐδὲ τὸ πῦρ μετέχει*
*τῆς σιδήρου μελανίας,*
*μεταδίδωσι δ' ἐκείνῳ*
*πάντα τὰ αὐτῷ προσόντα,*
*οὕτω καὶ τὸ Θεῖον Πνεῦμα*
*ἄφθαρτον ὂν ἀφθαρσίαν*
*καὶ ἀθάνατον ὑπάρχον*
*δίδωσιν ἀθανασίαν,*

---

362. Ὁ Χριστὸς ἀναλαμβάνοντας τοὺς ἁμαρτωλοὺς δὲν μεταλαμβάνει τι

οὐρανίων κι ἐπιγείων;
Τοῦτος ἔλαβε τὴ σάρκα
τὴ δική μας κι ἅγιο Πνεῦμα
καὶ μᾶς ἔδωσε ὅπως τόσες
φορὲς εἶπα καὶ μᾶς δίνει
σὰν Θεὸς αὐτὸ τὰ πάντα.
Ποιά τὰ πάντα; Ὅσα εἶπα
συχνὰ καὶ θὰ πῶ καὶ τώρα.
Πρῶτα κολυμβήθρα θεία
γίνεται ποὺ φῶς ἀστράφτει
κι ἀγκαλιάζει ὅλους ὅσοι
ἄξιοι εἶναι καὶ θὰ τοὺς εὕρει
μέσα –πῶς νὰ ἐκφράσω ἐπάξια
κι ὅσα γίνονται νὰ πῶ;
Δῶσ' μου λόγια, ὁ Θεός μου,
ποὺ ψυχὴ μοῦ 'χεις χαρίσει–.
Ὄντας Θεὸς τὸ θεῖο Πνεῦμα
ὅποιους κι ἂν ἐντός του πάρει
ἐξαρχῆς τοὺς ξαναπλάθει,
τοὺς ἀνακαινίζει ὅλους,
νέους παράδοξα τοὺς κάνει.
Ἀλλὰ πῶς καὶ μὲ ποιὸ τρόπο
δὲ μεταλαβαίνει ἐκεῖνο
ἀπὸ τὸ ρύπο τους καθόλου;
Ὅπως κι ἡ φωτιὰ δὲν παίρνει
τοῦ σιδήρου τὴ σκουριά,
μεταδίδει ὅμως σ' ἐκεῖνο
ὅλα τὰ ἰδιώματά της,
ἔτσι καὶ τὸ θεῖο τὸ Πνεῦμα
ἄφθαρτο εἶναι κι ἀφθαρσία
καὶ ἀθάνατο εἶναι πάλι
καὶ ἀθανασία δίνει.

---

ρύπο τους, ὅπως καὶ ἡ φωτιὰ δὲν ἐπηρεάζεται ἀπὸ τὴ σκουριὰ τοῦ σιδήρου

*φῶς τε ἄδυτον τυγχάνον*
*φῶς ἀποτελεῖ τοὺς πάντας*
*ἐν οἷσπερ κατασκηνώσει,*
*καὶ ζωὴ τυγχάνον πᾶσι*
*τὴν ζωὴν αὐτοῖς παρέχει.*
*Ὡς Χριστοῦ ὁμοφυές τε,*
*ὁμοούσιον ὡσαύτως*
*καὶ ὁμόδοξον ὑπάρχον*
*καὶ συνηνωμένον πέλον,*
*τούτους τοῦ Χριστοῦ ὁμοίους*
*ἀπεργάζεται εἰς ἅπαν.*
*Οὐ φθονεῖ γὰρ ὁ Δεσπότης*
*ἴσους ἑαυτῷ ὀφθῆναι*
*τοὺς βροτοὺς χάριτι θείᾳ,*
*οὐδ᾽ ἀπαξιοῖ γενέσθαι*
*ὁμοίους αὐτῷ τοὺς δούλους,*
*ἀλλὰ τέρπεται καὶ χαίρει*
*καθορῶν ἡμᾶς τοιούτους*
*ἐξ ἀνθρώπων γεγονότας*
*κατὰ χάριν, ὡς Ἐκεῖνος*
*πέφυκε καὶ ἔστι φύσει.*
*Εὐεργέτης γὰρ ὑπάρχων*
*βούλεται ἡμᾶς τοιούτους*
*εἶναι, οἷος καὶ Ἐκεῖνος.*
*Εἰ γὰρ μὴ τοιοῦτοι ὦμεν*
*ὅμοιοι ἐν ἀκριβείᾳ,*
*πῶς ἐσόμεθα ἐκείνῳ*
*ἡνωμένοι, καθὼς εἶπε,*
*πῶς δὲ ἐν αὐτῷ μενοῦμεν,*
*μὴ ὑπάρχοντες τοιοῦτοι,*
*πῶς δ᾽ αὐτὸς ἐν ἡμῖν μείνῃ*
*οὖσι τούτου ἀνομοίοις;*

---

401. Βλ. Ἰω. 15,4. 404–405. Πράξ. 19,2. Α΄ Κορ. 2,12.

Καὶ ὡς ἀνέσπερο φῶς εἶναι
σὲ φῶς ὅλους μεταβάλλει
σ' ὅποιους μὲς σ' αὐτὸ σκηνώσει,
καὶ ζωὴ ἀφοῦ εἶναι τῶν ὅλων
τὴ ζωὴ σ' αὐτοὺς παρέχει.
Μιὰ ὡς μὲ τὸ Χριστὸ ἔχει φύση
κι εἶναι ἐπίσης ὁμοούσιο
καὶ κοινὴ τὴ δόξαν ἔχει
καὶ μαζὶ οἱ δυὸ ἕνα κάνουν
ὅλους τούτους ὅμοιους κάνει
ὁλότελα μὲ τὸ Χριστό.
Ὁ Δεσπότης δὲ ζηλεύει
νὰ φανοῦν ἴσοι μ' ἐκεῖνον
ὅλοι μὲ τὴ θεία χάρη,
οὔτε νὰ γινοῦν ἀρνιέται
ὅμοιοι οἱ δοῦλοι του μ' ἐκεῖνον,
μὰ χαρὰ μεγάλη του εἶναι
νὰ μᾶς βλέπει ἀπὸ ἀνθρώπους
ὅμοιους του νά 'χομε γίνει
κατὰ χάρη, ὅπως ἐκεῖνος
ἦταν κι ἀπ' τὴ φύση του εἶναι.
Εὐεργέτης μας ὡς εἶναι
θέλει τέτοιοι κι ἐμεῖς ὅλοι
νά 'μαστε καθὼς ἐκεῖνος.
Κι ἂν δὲν εἴμαστε ὅλοι τέτοιοι
ὅμοιοί του μὲ κάθε ἀκρίβεια,
πῶς μ' ἐκεῖνον θὰ βρεθοῦμε
ἑνωμένοι, ὅπως εἶπε,
πῶς θὰ μείνομε σ' αὐτὸν
τέτοιοι ἂν δὲν εἴμαστε,
πῶς κι αὐτὸς σ' ἐμᾶς θὰ μείνει
ἂν δὲ μοιάζομε καθόλου;

---

384. Ὁ Κύριος ἀντίθετα μὲ τοὺς ἀνθρώπους δὲν φθονεῖ νὰ φανοῦν οἱ θνητοὶ ἴσοι μ' Ἐκεῖνον.

*Τοῦτο οὖν σαφῶς εἰδότες*
*σπεύσατε λαβεῖν τὸ Πνεῦμα*
*τὸ ἐκ τοῦ Θεοῦ καὶ θεῖον,*
*ἵνα γένησθε τοιοῦτοι,*
*οἵους ἔδειξεν ὁ λόγος,*
*ἐπουράνιοι καὶ θεῖοι,*
*ὅσους εἶπεν ὁ Δεσπότης,*
*ἵνα καὶ τῆς βασιλείας*
*γένησθε τῆς οὐρανίου*
*κληρονόμοι εἰς αἰῶνας.*
*Εἰ δὲ μὴ τοιοῦτοι ἦτε*
*ἢ γενήσεσθε ἐνταῦθα*
*ἐπουράνιοι, ὡς εἶπον,*
*πῶς τοὺς οὐρανοὺς οἰκῆσαι*
*ὅλως οἴεσθαι σὺν τούτῳ;*
*Πῶς δὲ καὶ εἰς βασιλείαν*
*μετὰ τῶν ἐπουρανίων*
*εἰσελθεῖν καὶ βασιλεῦσαι*
*καὶ συνέσεσθαι τῷ πάντων*
*βασιλεῖ τε καὶ Δεσπότῃ;*
*Δράμετε σπουδῇ οὖν πάντες,*
*ἵνα καταξιωθῶμεν*
*ἔνδοθεν τῆς βασιλείας*
*τῆς τῶν οὐρανῶν γενέσθαι*
*καὶ Χριστῷ συμβασιλεῦσαι,*
*τῷ Δεσπότῃ τῶν ἁπάντων,*
*ᾧ καὶ πρέπει πᾶσα δόξα*
*σὺν Πατρὶ καὶ Πνεύματί τε*
*εἰς αἰῶνας τῶν αἰώνων.*
*Ἀμήν.*

Μάθετε αὐτὸ καὶ τρέξτε
γιὰ νὰ λάβετε τὸ Πνεῦμα,
ποὺ εἶναι ἀπ' τὸ Θεὸ καὶ θεῖο,
κι ἐσεῖς γιὰ νὰ γίνετε ἔτσι,
ὅπως ἔχει δείξει ὁ λόγος,
ἐπουράνιοι καὶ θεῖοι,
ὅσους εἶπεν ὁ Δεσπότης,
ὥστε καὶ τῆς βασιλείας
τῆς οὐράνιας νὰ γινεῖτε
κληρονόμοι στοὺς αἰῶνες.
Μὰ ὅμοιοι του σὰ δὲ γενεῖτε
ἢ δὲ γίνετε ἐδῶ κάτω
ἐπουράνιοι, ὅπως εἶπα,
πῶς θαρρεῖτε πὼς μαζί του
θὰ σκηνώσετε στὰ οὐράνια;
Καὶ στὴ βασιλεία του πῶς,
μὲ τοὺς οὐρανίους μαζὶ θὰ μπεῖτε,
γιὰ νὰ βασιλέψτε ἀντάμα
μὲ τὸ βασιλιὰ καὶ Κύριο
ὅλων καὶ μαζί του νά 'στε;
Ὅλοι τρέξετε λοιπὸν
μὲ σπουδὴ γιὰ ν' ἀξιωθοῦμε
στὴν οὐράνια βασιλεία
ὅλοι μέσα νὰ βρεθοῦμε,
μὲ τὸν Κύριο τῶν ὅλων,
τὸ Χριστό, συμβασιλιάδες.
Σ' αὐτὸν πρέπει κάθε δόξα
μὲ τὸν Πατέρα καὶ τὸ Πνεῦμα
στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

---

412–413. Ἰακ. 2,5. 429. Β' Τιμ. 2,12.

## ΜΕ'

***Περὶ θεολογίας ἀκριβεστάτης καὶ ὅτι ὁ μὴ ὁρῶν τὸ φῶς τῆς τοῦ Θεοῦ δόξης χείρων τυγχάνει τυφλῶν.***

*Ὦ φιλοικτίρμον Θεέ μου, ποιητά μου,*
*λάμψον πλεῖόν μοι τὸ ἀπρόσιτον φῶς σου,*
*ἵνα μου χαρᾶς ἐμπλήσῃς τὴν καρδίαν!*
*Ναί, μὴ ὀργισθῇς, ναί, μὴ ἐγκαταλίπῃς,*
*ἀλλὰ αὔγασον ψυχήν μου τῷ φωτί σου·*
*τὸ γὰρ φῶς σου σύ, ὁ Θεός μου, τυγχάνεις.*
*Εἰ γὰρ κέκλησαι πολλοῖς καὶ διαφόροις*
*τοῖς ὀνόμασιν, ἀλλ' ἓν αὐτὸς ὑπάρχεις·*
*τοῦτο δὲ τὸ ἓν ἄγνωστον πάσῃ φύσει*
*καὶ ἀόρατον καὶ ἄφραστον τυγχάνει,*
*ὃ παραδεικνύμενον πάντα καλεῖται.*
*Τοῦτο οὖν τὸ ἓν τρισυπόστατος φύσις,*
*μία θεότης, μία τε βασιλεία,*
*μία δύναμις – ἓν ἡ Τριὰς γὰρ πέλει,*
*Τριὰς μία γὰρ ὁ Θεός μου, οὐ τρία,*
*τρία ὅμως δὲ τὸ ἓν καθ' ὑποστάσεις,*
*ὁμοφυεῖς ἀλλήλαις οὔσας τῇ φύσει,*
*ὁμοδυνάμους ὅλως, ὁμοουσίως,*
*ἀσυγχύτως μὲν ὑπὲρ νοῦν ἡνωμένας,*

---

8–8. Χαίρεται νὰ σημειώνει τὶς ἀντιθέσεις ὁ Συμεών, ὅπως ἐδῶ ὁ Θεὸς ἔχει πολλὰ ὀνόματα ἐνῶ εἶναι ἕνας. 'Πολυώνυμος' ὡς πρὸς τὶς ἐνέργειες, 'ἕνας' ὡς πρὸς τὴ θεότητα.

## 45

**Περὶ τῆς ἀκριβέστατης θεολογίας, καὶ ὅτι ὅποιος δὲ βλέπει τὸ φῶς τῆς δόξας τοῦ Θεοῦ εἶναι σὲ χειρότερη κατάσταση ἀπὸ τοὺς τυφλούς.**

Θεέ μου, φιλεύσπλαχνε καὶ δημιουργέ μου,
τ' ἀπρόσιτό σου πιὸ πολὺ στεῖλε μου φῶς σου,
νὰ μοῦ γεμίσεις τὴν καρδιὰ μὲ τὴ χαρά σου.
Ναί, μὴ μοῦ ὀργιστεῖς, ναί, μὴ μ' ἀφήσεις,
καταύγασε, ναί, τὴν ψυχή μου μὲ τὸ φῶς σου,
γιατὶ τὸ φῶς σου ὁ ἴδιος εἶσαι ἐσὺ ὁ Θεός μου.
Κι ἂν σὲ καλοῦμε μὲ πολλὰ καὶ διάφορα
στόματα, μὰ ἐσὺ ἕνα πάντοτε εἶσαι
καὶ τὸ ἕνα αὐτὸ ἄγνωστο σὲ κάθε φύση
κι ἀόρατο εἶναι κι ἄφραστον ὁλότελα,
ποὺ ὅπου κι ἂν φαίνεται ἄλλο ὄνομα παίρνει.
Τὸ ἕνα τοῦτο τρισυπόστατη εἶναι φύση,
μιὰ θεότητα καὶ μία βασιλεία,
μὰ καὶ μιὰ δύναμη, ἕνα ἡ Τριάδα εἶναι.
Γιατὶ εἶναι μιὰ Τριάδα ὁ Θεός μου ὄχι τρία,
τρία τὸ ἕνα ὅμως σὲ ὑποστάσεις
κι ἔχουν τὴν ἴδια φύση ἡ μία μὲ τὴν ἄλλη,
ὁμοδύναμες τέλεια καὶ ὁμοούσιες
καὶ δίχως σύγχυση εἶναι πάνω ἀπὸ νοῦ ἑνωμένες,

---

2. Α' Τιμ. 6,16.

14. Ἐπιμονὴ στὸ δόγμα τῆς ἁγίας Τριάδας· 'οὐ τῷ ἑνὶ τὰ τρία, ἐν τοῖς τρισὶ τὸ ἕν'.

*ἀδιαιρέτως δ' αὖθις διαιρουμένας,*
*εἰς ἓν τὰ τρία καὶ τὸ ἓν γε εἰς τρία.*
*Εἷς γάρ ἐστιν ὁ ποιήσας τὰ πάντα*
*Ἰησοῦς Χριστὸς σὺν Πατρὶ τῷ ἀνάρχῳ,*
*συνανάρχῳ τε Πνεύματι τῷ ἁγίῳ.*
*Ἓν οὖν ἡ Τριὰς ἀμερίστως εἰς ἅπαν,*
*ἐν τῷ ἑνὶ τὰ τρία δέ, ἐν τοῖς τρισὶ τὸ ἓν δέ,*
*μᾶλλον δὲ ἓν τὰ τρία μοι καὶ τὸ ἓν τρία πάλιν·*
*νόει, προσκύνει, πίστευε νῦν καὶ εἰς τοὺς αἰῶνας!*
*Τὸ ἓν γὰρ τοῦτο φαντασθέν, λάμψαν καὶ καταυγάσαν,*
*μεταληφθέν, μεταδοθὲν πᾶν ἀγαθὸν ὑπάρχει·*
*διὸ οὐχ ἕν, ἀλλὰ πολλὰ καὶ παρ' ἡμῖν καλεῖται·*
*φῶς καὶ εἰρήνη καὶ χαρά, ζωή, τροφὴ καὶ πόσις,*
*ἔνδυμα, περιβόλαιον, σκηνὴ καὶ θεῖος οἶκος,*
*ἀνατολή, ἀνάστασις, ἀνάπαυσις, λουτρόν τε,*
*πῦρ, ὕδωρ, ποταμός, πηγὴ ζωῆς καὶ ῥεῖθρον,*
*ἄρτος καὶ οἶνος, ἡ καινὴ τῶν πιστῶν καρυκεία,*
*ἡ πανδαισία, ἡ τρυφὴ ἣν μυστικῶς τρυφῶμεν,*
*ἥλιος ὄντως ἄδυτος, ἄστρον ἀειλαμπές τε,*
*λαμπὰς ἐντὸς ἐκλάμπουσα τῆς ψυχικῆς οἰκίας.*
*Τοῦτο τὸ ἓν πολλά ἐστι καθαιροῦν τε καὶ κτίζον,*
*τοῦτο τὸ ἓν τὰ σύμπαντα παρήγαγε τῷ λόγῳ*
*καὶ πνεύματι δυνάμεως συνέχει ταῦτα πάντα.*
*Τοῦτο τὸ ἓν τὸν οὐρανὸν καὶ τὴν γῆν ἐκ μὴ ὄντων*
*παρήγαγεν, οὐσίωσε, συνέστησεν ἀρρήτως,*
*τοῦτο τὸ ἓν τὸν ἥλιον, σελήνην καὶ τὰ ἄστρα*
*θελήματι πεποίηκε, θαῦμα καινὸν καὶ ξένον.*
*Τοῦτο τὸ ἓν τετράποδα, ἑρπετὰ καὶ θηρία*
*καὶ πετεινὰ παντοδαπὰ καὶ ἐνάλια πάντα*
*τῇ προστάξει παρήγαγε, καθὼς ὁρῶνται πάντα.*
*Ἔσχατον δὲ ἐποίησεν ἐμὲ ὡς βασιλέα*

---

26. Οἱ εἴκοσι πέντε πρῶτοι στίχοι εἶναι δωδεκασύλλαβοι, ἀπὸ τὸν εἰκο ἕκτο ὣς τὸ τέλος εἶνα δεκαπεντασύλλαβοι.

ἀδιαίρετες καὶ πάλι νά, διαιροῦνται,
ἕνα τὰ τρία, μὰ καὶ τὸ ἕνα τρία.
Ἕνας εἶναι ποὺ ἔκτισε τὰ πάντα
ὁ Ἰησοῦς Χριστὸς μὲ τὸν χωρὶς ἀρχὴ Πατέρα
μαζὶ μὲ τὸ συνάναρχο τὸ ἅγιο Πνεῦμα.
Ἕνα λοιπὸν εἶναι ἡ Τριάδα ἀμέριστο τέλεια
κι εἶναι τὰ τρία στὸ ἕνα καὶ στὰ τρία τὸ ἕνα,
ἢ πιὸ καλὰ ἕνα τὰ τρία καὶ τὸ ἕνα τρία πάλι·
ἔτσι σκέψου καὶ λάτρευε καὶ πίστευε στοὺς αἰῶνες.
Καὶ τὸ ἕνα αὐτὸ ποὺ φάνταζε κι ἔλαμψε ὥς πέρα
ἐλήφθη, μεταδόθηκε καὶ τ' ἀγαθὰ εἶναι ὅλα.
Γι' αὐτὸ ὄχι ἕνα, ἀλλὰ πολλὰ κι ἐμεῖς ὅλοι τὸ λέμε·
καὶ φῶς κι εἰρήνη καὶ χαρά, ζωή, τροφὴ καὶ πιόμα
καὶ φόρεμα καὶ ἱμάτιο, σκηνὴ καὶ σπίτι θεῖο,
ἀνατολή, ἀνάσταση, ἀνάπαυση, λουτρό,
φωτιά, νερὸ καὶ ποταμός, πηγὴ ζωῆς καὶ ρέμα,
ψωμί, κρασὶ πού 'ν' τῶν πιστῶν οἱ λιχουδιὲς οἱ νέες,
ἡ πανδαισία κι ἡ τρυφὴ ποὺ μυστικὰ τρυφοῦμε,
ἥλιος στ' ἀλήθεια ἀνέσπερος, ἄστρο ποὺ λάμπει πάντα,
λαμπάδα μέσα στῆς ψυχῆς τὸ σπίτι ὅπου ξεφέγγει.
Τὸ ἕνα τοῦτο εἶναι πολλά, γκρεμίζει μὰ καὶ χτίζει,
τὸ ἕνα αὐτὸ δημιούργησε τὰ πάντα μὲ τὸ Λόγο
κι αὐτὰ ὅλα μὲ δύναμης πνεῦμα τὰ συγκρατεῖ.
Τὸν οὐρανὸ τὸ ἕνα αὐτὸ καὶ τὴ γῆ ἀπ' τὸ μὴ εἶναι
ἔκτισε κι ἔδωσε ἄρρητη σύσταση καὶ οὐσία,
τὸ ἕνα αὐτὸ τὸν ἥλιο, τ' ἄστρα καὶ τὸ φεγγάρι
θαῦμα πρωτοφανέρωτο κτίζει μὲ θέλησή του.
Τὸ ἕνα αὐτὸ τετράποδα, ἑρπετὰ καὶ θηρία
καὶ φτερωτὰ κάθε λογῆς καὶ ὅλα τὰ πελαγίσια
μὲ πρόσταγμα δημιούργησε, ὅπως τὰ βλέπομε ὅλα.
Καὶ τελευταῖον ἔπλασε σὰ βασιλιὰν ἐμένα

42. Ψαλμ. 32,6.

30 κ.ἑ. Ἀναφέρονται τὰ ὀνόματα γιὰ τὰ ὁποῖα ὁ Θεὸς εἶναι πολυώνυμος.

καὶ πάντα ταῦτα δέδωκεν ἐμοὶ πρὸς θεραπείαν
ὡς δοῦλα καὶ τὴν χρείαν μοι δουλικῶς ἐκπληροῦντα.
Πάντα οὖν τούτου τοῦ ἑνὸς Θεοῦ τῶν ὅλων, λέγω,
τὸ πρόσταγμα ἐφύλαξε καὶ εἰσέτι φυλάττει,
κἀγὼ μόνος, ὁ ἄθλιος, ἀχάριστος ἐδείχθην,
ἀγνώμων καὶ ἀνήκοος Θεοῦ, τοῦ πλάσαντός με
καὶ ταῦτα πάντα τὰ καλὰ ἀφθόνως παρασχόντος,
τὴν ἐντολήν τε παραβὰς ἀχρεῖος ἐγενόμην
καὶ χείρων πάντων τῶν κτηνῶν, χείρων καὶ τῶν θηρίων
τῶν ἑρπετῶν καὶ πετεινῶν ἀπεφάνθην, ὁ τάλας,
καὶ παρετράπην τῆς ὁδοῦ τῆς εὐθείας καὶ θείας
καὶ τῆς δοθείσης δόξης μοι ἐκπέπτωκα ἀθλίως
καὶ ἐξεδύθην τὴν στολὴν τὴν φωτεινὴν καὶ θείαν,
καὶ ἐν τῷ σκότει γεγονὼς νῦν ἐν τῷ σκότει κεῖμαι,
καὶ ἀγνοῶ ὅτι φωτός εἰμι ἐστερημένος,
καί· Ἴδε, λέγω, ἥλιος τὴν ἡμέραν φωτίζει,
καὶ βλέπω τοῦτον· τῆς νυκτὸς ἐλθούσης πάλιν δύνει,
κἀγὼ ἀνάπτω μοι κηροὺς καὶ λαμπάδα καὶ βλέπω.
Καὶ τί τῶν πάντων ἔχει μου ἀνθρώπων πλέον ἄλλος;
Οὕτω γὰρ πάντως βλέπουσιν ἄνθρωποι ἐν τῷ κόσμῳ
καὶ τούτου πλέον οὐδαμῶς καθορᾷ τις ἀνθρώπων.
Ταῦτα οὖν λέγων ψεύδομαι καὶ ἐμαυτὸν ἐμπαίζω
καὶ ἐμαυτόν, Σῶτερ, πλανῶ κατ' ἐμαυτὸν κομπάζων,
μὴ θέλων γνῶναι ἐμαυτόν, ὅτι τυφλὸς τυγχάνω,
μὴ θέλων κοπιάσαι τε, μὴ θέλων ἀναβλέψαι,
μὴ θέλων ὁ κατάκριτος τὴν τύφλωσίν μου γνῶναι.
Λέγω δέ· Τίς ἑώρακε Θεόν, τὸ φῶς τοῦ κόσμου;
καὶ τοῦτο λέγων, Δέσποτα, ἀναισθητῶ εἰς ἅπαν
μὴ συνιεὶς ὅτι κακῶς λογίζομαι καὶ λέγω.
Ὁ γὰρ τὸ φῶς σου μὴ ὁρῶν, καὶ βλέπειν ὅλως λέγων,

---

76. Ἰω. 9,41.
77. Ἰω. 1,18.
80. Ἰω. 9,41.

καὶ ὅλα αὐτὰ μοῦ τά 'δωσε γιὰ νὰ μὲ ὑπηρετοῦνε,
δοῦλοι μου τὶς ἀνάγκες μου πιστὰ νὰ ἐκπληρώνουν.
Ὅλα λοιπὸν αὐτοῦ τοῦ ἑνὸς Θεοῦ τῶν ὅλων, λέγω,
τὸ πρόσταγμά του φύλαξαν κι ἀκόμα τὸ φυλάγουν,
κι ἐγὼ μονάχα φάνηκα ἀχάριστος ὁ ἄθλιος
ἀνηπάκοος κι ἀγνώμονας στὸ Θεὸ ποὺ μ' ἔχει πλάσει
καὶ ὅλα τοῦτα τὰ καλὰ ἄφθονα μοῦ 'χει δώσει·
τὴν ἐντολή του πάτησα κι ἀχρεῖος ἔχω γίνει,
ἀπὸ τὰ ζῶα χειρότερος κι ἀπ' ὅλα τὰ θηρία
φάνηκα κι ἀπ' τὰ ἑρπετὰ καὶ τὰ πουλιὰ ὁ ἄθλιος
κι ἀπὸ τὸ δρόμο ξέκλινα τὸν ἴσιο καὶ τὸ θεῖο
καὶ ἄθλια ἀπ' τὴ δόξα ξέπεσα ποὺ δόθηκε σ' ἐμένα
καὶ τὴ στολὴ ξεντύθηκα τὴ φωτεινὴ καὶ θεία
καὶ στὸ σκοτάδι πέφτοντας τώρα στὸ σκότος εἶμαι
κι ὅτι ἔχω στερηθεῖ τὸ φῶς ποσῶς δὲν τὸ γνωρίζω
καὶ λέω· ὁ ἥλιος κοίταξε, φωτίζει τὴν ἡμέρα,
καὶ τὸν κοιτάζω· κι ἡ νυχτιὰ σὰν ἔρθει βασιλεύει
καὶ τὴ λαμπάδα ἀνάβω ἐγὼ καὶ τὰ κεριὰ καὶ βλέπω.
Τί περισσότερο ἀπὸ ἐμὲ οἱ ἄλλοι ἄνθρωποι ἔχουν;
Ἔτσι καὶ μόνο βλέπουνε μέσα στὸν κόσμο οἱ ἄνθρωποι
καὶ πιὸ πολὺ ἀπ' αὐτὸ κανεὶς ἄνθρωπος δὲν κοιτάζει.
Εἶναι ὅσα λέγω ψέματα, τὸν ἑαυτό μου ἐμπαίζω,
Σωτῆρα μου, καὶ ξεγελῶ τὸν ἴδιο τὸν ἑαυτό μου
κομπάζοντας, μὴ θέλοντας τυφλὸς νὰ νιώσω ὅτι εἶμαι,
τὸν κόπο ἀποκρούοντας, νὰ ξαναδῶ δὲ θέλω,
δὲ θέλω ἐγὼ ὁ κατάκριτος τὴν τύφλα μου νὰ νιώσω.
Καὶ λέω· Ποιός εἶδε τὸ Θεὸ ποὺ 'ναι τὸ φῶς τοῦ κόσμου;
καὶ ἔτσι λέγοντας, Δέσποτα, αἴσθηση ἐγὼ δὲν ἔχω
καὶ δὲ νιώθω πῶς ἄσχημα σκέφτομαι καὶ μιλάω.
Ὅποιος τὸ φῶς σου δὲ θωρεῖ καὶ λέει πὼς τάχα βλέπει

77. Στὸν προηγούμενο ὕμνο 44, 227 μιλάει γιὰ 'ἀισθησιν ἀναίσθητον'. Ὁ ἄνθρωπος ἱκανοποιεῖται μὲ τὰ αἰσθητὰ καὶ δὲν ἀναγνωρίζει τὴν τύφλωσή του, ἀλλὰ θεωρεῖ ἀδύνατη τὴ θέα τοῦ Θεοῦ κι ἂς εἶναι ἀντίθετη πρὸς τὶς Γραφές.

μᾶλλον δὲ καὶ ἀδύνατον λέγων ὑπάρχειν τοῦτο,
τὸ κατιδεῖν σου, Δέσποτα, τὸ φῶς τῆς θείας δόξης,
πάσας ἀρνεῖται τὰς γραφὰς προφητῶν, ἀποστόλων,
τοὺς σούς τε λόγους, Ἰησοῦ, καὶ τὴν οἰκονομίαν.
Εἰ γὰρ ἐξ ὕψους ἔλαμψας, ἐπέφανας ἐν σκότει
καὶ παρεγένου, εὔσπλαγχνε, ἐν κόσμῳ μετ᾽ ἀνθρώπων,
ἀναστραφῆναι καθ᾽ ἡμᾶς θελήσας φιλανθρώπως
καὶ φῶς τοῦ κόσμου σεαυτὸν ἀψευδῶς ἔφης εἶναι,
ἡμεῖς δὲ οὐχ ὁρῶμέν σε, οὐχὶ τυφλοὶ εἰς ἅπαν,
τυφλῶν τε ἀθλιώτεροι τυγχάνομεν, Χριστέ μου;
Ναί, ὄντως, ναί, ὡς ἀληθῶς καὶ νεκροὶ καὶ τυφλοί τε
ὑπάρχομεν μὴ βλέποντες σὲ ζωοποιὸν φάος.
Τὸν ἥλιον τὸν αἰσθητὸν οἱ τυφλοὶ οὐχ ὁρῶσιν,
ἀλλὰ καὶ ζῶσι, Δέσποτα, καὶ ὁπωσοῦν κινοῦνται·
οὐ γὰρ ζωὴν χαρίζεται, ἀλλὰ τὸ βλέπειν μόνον.
Σὺ δὲ ὑπάρχων ἅπαντα τὰ καλά, δίδως ἀεὶ
ταῦτα τοῖς δούλοις σου τοῖς βλέπουσι τὸ φῶς σου,
ὡς ὢν ζωὴ καὶ τὴν ζωὴν παρέχεις σὺν τοῖς ἄλλοις
ἅπασι, λέγω, τοῖς καλοῖς, ἅπερ αὐτὸς τυγχάνεις.
Ὁ ἔχων σὲ ὡς ἀληθῶς ἔχει ἐν σοὶ τὰ πάντα.
Μὴ στερηθῶ σου, Δέσποτα, μὴ στερηθῶ σου, κτίστα,
μὴ στερηθῶ σου, εὔσπλαγχνε, ὁ ταπεινὸς καὶ ξένος·
ξένος γάρ, ὡς εὐδόκησας, καὶ πάροικος ἐνταῦθα
οὐ προαιρέσει γέγονα, οὐ θελήσει μου ξένος,
ἀλλὰ τῇ χάριτι τῇ σῇ ἐμαυτὸν ἔγνων ξένον
τῶν ὁρωμένων νοερῶς ἐλλαμφθεὶς τῷ φωτί σου
καὶ γνοὺς ὅτι πρὸς ἄϋλον καὶ ἀόρατον κόσμον
μετάγεις, κατοικίζεις τε τὸ ἀνθρώπινον φῦλον,
μερίζεις τε καὶ διαιρεῖς ἀξίους κατοικίας
ἑκάστῳ, ὡς ἐφύλαξε, Σωτήρ, τὰς ἐντολάς σου.
Διὰ τοῦτο οὖν δέομαι σὺν σοί με κατατάξαι,
εἰ καὶ πολλὰ ἐξήμαρτον ὑπὲρ πάντας ἀνθρώπους

85. Λουκᾶ 1,78–79.
87. Βαρούχ 3,37.

καὶ μᾶλλον λέει ἀδύνατο τέλος πὼς εἶναι τοῦτο,
νὰ ἀτενίσει, Δέσποτα, τὸ φῶς τῆς θείας σου δόξας
ὅλες ἀρνιέται τὶς γραφὲς προφητῶν κι ἀποστόλων
μὰ καὶ τὰ λόγια σου, Χριστέ, καὶ τὴν οἰκονομία.
Γιατὶ ἀπ' τὰ ὕψη ἂν ἔλαμψες καὶ στὸ σκοτάδι ἐφάνης
κι ἦρθες ἐδῶ, φιλάνθρωπε, στὸν κόσμο τῶν ἀνθρώπων
κι ὅπως ἐμεῖς νὰ περπατεῖς, φιλάνθρωπε, βουλήθης
κι εἶπες ἀλήθεια ὅτι εἶσαι ἐσὺ τὸ φῶς ὅλου τοῦ κόσμου,
μὰ δὲ σὲ βλέπομε κι ἐμεῖς, τυφλοὶ πέρα γιὰ πέρα
κι ἀπὸ τυφλοὺς ἀθλιότεροι δὲν εἴμαστε Χριστέ μου;
Στ' ἀλήθεια ναί, πραγματικὰ τυφλοὶ καὶ πεθαμένοι
εἴμαστε, τὸ ζωοποιὸ τὸ φῶς ἐσένα μὴ θωρώντας.
Τὸν ἥλιο τὸν αἰσθητὸ βέβαια οἱ τυφλοὶ δὲ βλέπουν
κι ὡστόσο ζοῦνε, Δέσποτα, κι ἐδῶ κι ἐκεῖ πηγαίνουν,
γιατὶ δὲ δίνει τὴ ζωὴ μὰ νὰ θωροῦμε μόνο.
Μὰ ἐσὺ ποὺ εἶσαι τὰ καλὰ ὅλα, σκορπίζεις πάντα
ὅλα αὐτὰ στοὺς δούλους σου ποὺ βλέπουνε τὸ φῶς σου·
ζωὴ ὅπως εἶσαι τὴ ζωὴ παρέχεις μ' ὅλα τ' ἄλλα,
ὅσα εἶναι ἀγαθὰ ἐννοῶ ποὺ ἐσὺ τυχαίνει κι εἶσαι.
Ὅποιος ἔχει στ' ἀλήθεια ἐσέ, σ' ἐσένα ἔχει τὰ πάντα.
Δέσποτα, μὴ σὲ στερηθῶ, πλάστη, νὰ μὴ σὲ χάσω,
νὰ μὴ σὲ στερηθῶ, εὔσπλαχνε, ὁ ταπεινὸς καὶ ξένος.
Ξένος ὅπως εὐδόκησες και πάροικος δῶ κάτω
δὲν ἔχω γίνει θέλοντας καὶ ξένος ὄχι ἑκούσια,
ἀλλὰ ἐγὼ ξένος ἔνιωσα μὲ τὴ δική σου χάρη,
ξένος ἀπ' τὰ φαινόμενα μ' ἔλλαμψη τοῦ φωτός σου
νοερή, βλέποντας σ' ἄυλο κι ἀόρατο ἕνα κόσμο,
πὼς φέρνεις τὴν ἀνθρώπινη γενιὰ νὰ κατοικήσει
διαιρώντας κι ἀπονέμοντας τὴν κατοικία ποὺ ἀξίζει
καθένας ὅπως φύλαξε, Κύριε, τὶς ἐντολές σου.
Γι' αὐτὸ λοιπὸν παρακαλῶ μαζί σου νὰ μὲ βάλεις,
ἂν καὶ ἁμάρτησα πολύ, πιὸ ἀπ' ὅλους τοὺς ἀνθρώπους,

88. Ἰω. 8,12.
103. Ἐφ. 2,19.

*καὶ ἄξιος κολάσεώς εἰμι καὶ τιμωρίας,*
*ἀλλά με ἱκετεύοντα δέξαι ὡς τὸν τελώνην*
*καὶ ὡς τὴν πόρνην, Δέσποτα, εἰ καὶ μὴ ἴσως κλαίω,*
*εἰ μὴ ὁμοίως πόδας σου ταῖς θριξί μου ἐκμάσσω,*
*εἰ μὴ στανάζω καὶ θρηνῶ, Χριστέ, παραπλησίως·*
*ἀλλὰ ἐκβλύζεις ἔλεος καὶ βρύεις εὐσπλαγχνίαν,*
*πηγάζεις ἀγαθότητα, δι' ὧν ἐλέησόν με!*
*Ναί, ὁ παγεὶς τὰς χεῖράς σου, ναί, ὁ παγεὶς τοὺς πόδας*
*ἐν τῷ σταυρῷ καὶ λογχευθεὶς τὴν πλευράν, πανοικτίρμον,*
*ἐλέησον καὶ ρῦσαί με πυρὸς τοῦ αἰωνίου,*
*καλῶς καταξιώσας με ἐντεῦθέν σοι δουλεῦσαι,*
*ἀκαταγνώστως τότε δὲ στῆναι ἐνώπιόν σου*
*καὶ προσδεχθῆναι ἔνδοθεν τοῦ νυμφῶνος σου, Σῶτερ,*
*ἔνθα συνευφρανθήσομαι σοί, τῷ καλῷ Δεσπότῃ*
*ἀνεκλαλήτῳ τῇ χαρᾷ εἰς πάντας τοὺς αἰῶνας.*
*Ἀμήν.*

κι εἶμαι ἄξιος γιὰ τὴν κόλαση καὶ τὰ μαρτύριά της.
Μὰ νἆ ποὺ σὲ παρακαλῶ, δέξου με ὡς τὸν τελώνη
κι ὅπως τὴν πόρνη, Δέσποτα, ἂν καὶ δὲν κλαίω τὸ ἴδιο
κι ἂν ὅμοια δὲ σφουγγίζω σου μὲ τὰ μαλλιὰ τὰ πόδια
κι ἂν δὲ στενάζω καὶ θρηνῶ, Χριστέ, μ' αὐτὴ παρόμοια·
ἀλλὰ ἀναβλύζεις ἔλεος κι ἀναβρεῖς εὐσπλαχνία,
πηγάζεις ἀγαθότητα· κάνε ἔλεος στ' ὄνομά τους.
Ναί, ἐσὺ ποὺ σοῦ καρφώσανε τὰ χέρια καὶ τὰ πόδια
καὶ πά' στὸ σταυρὸ τὴν πλευρά, ἔσπλαχνε, σοῦ λογχίσαν,
λυπήσου με κι ἀπ' τὴ φωτιὰ σῶσε με τὴν αἰώνια,
ἀξιώνοντάς με ἀπὸ δῶ δοῦλος καλός σου νά 'μαι
καὶ νὰ σταθῶ ἀκατάγνωστα τότε μπροστὰ σὲ σένα·
δεκτὸς καὶ στὸ νυμφώνα σου, σωτήρα μου, νὰ γίνω,
ὅπου ἀνεκλάλητη χαρὰ μαζὶ μ' ἐσὲ θὰ νιώσω
τὸν πάγκαλο Δεσπότη μου γιὰ τοὺς αἰῶνες ὅλους.
'Αμήν.

114. Λουκᾶ 18,13.
115. Λουκᾶ 7,37ἑ.
121. Ἰω. 19,34.

## ΜΣΤ'

***Ἐξομολόγησις εὐχῇ συνημμένη· καὶ περὶ συναφείας Πνεύματος ἁγίου καὶ ἀπαθείας.***

*Ἐμάκρυνα, φιλάνθρωπε, ηὐλίσθην ἐν ἐρήμῳ*
*καὶ ἀπεκρύβην ἀπὸ σοῦ τοῦ γλυκέος Δεσπότου·*
*ὑπὸ τὴν νύκτα γεγονὼς τῆς τοῦ βίου μερίμνης*
*πολλὰ ἐκεῖθεν δήγματα καὶ τραύματα ὑπέστην,*
*πολλὰς πληγὰς ἐπανελθὼν φέρω ἐν τῇ ψυχῇ μου*
*καὶ κράζω ἐν ὀδύνῃ μου καὶ πόνῳ τῆς καρδίας·*
*Ἐλέησον, οἰκτείρησον ἐμὲ τὸν παραβάτην!*
*Ὦ ἰατρὲ φιλόψυχε καὶ φιλοικτίρμον μόνε,*
*ὁ δωρεὰν τοὺς ἀσθενεῖς καὶ τετραυματισμένους*
*ἰώμενος, ἰάτρευσον μώλωπας, τραύματά μου!*
*Στάλαξόν σου τὸ ἔλαιον τῆς χάριτος, Θεέ μου,*
*καὶ τὰς πληγάς μου ἄλειψον, ἐξάλειψον τὰ ἕλκη,*
*συνούλωσον καὶ σύσφιγξον τὰ παραλελυμένα*
*μέλη μου καὶ ἀφάνισον τὰς οὐλὰς πάσας, Σῶτερ,*
*καὶ τέλεον ὑγίωσον ὅλον με ὡς τὸ πρώην,*
*ὅτε οὐκ ἦν μοι μολυσμός, ὅτε οὐκ ἦν μοι μώλωψ*
*οὐδὲ πληγὴ φλεγμαίνουσα, οὐ κηλίς, ὦ Θεέ μου,*
*ἀλλὰ γαλήνη καὶ χαρά, εἰρήνη καὶ πρᾳότης*
*ἁγία τε ταπείνωσις καὶ ἡ μακροθυμία,*
*ὑπομονῆς ὁ φωτισμὸς καὶ τῶν καλλίστων ἔργων·*
*ὑπομονὴ καὶ δύναμις ἀήττητος εἰς ἅπαν.*

---

1. Ψαλμ. 54,7. 2. Γεν. 3,8.
8. Σοφ. Σολ. 11,26. 11. Λουκᾶ 10,34. 16. Ἠσ. 1,6.

## 46

**Ἐξομολόγηση ποὺ συνοδεύται μὲ προσευχή· ἐπίσης καὶ περὶ συνάφειας τοῦ ἁγίου Πνεύματος καὶ ἀπάθειας.**

Ξεμάκρυνα, φιλάνθρωπε, ἡ ἔρημος κατοικιά μου
καὶ ἀπὸ σένα τὸ γλυκὺ κρύφτηκα Κύριό μου
στῆς βιοτικῆς τῆς μέριμνας τὴ νύχτα βυθισμένος,
πολλὲς δαγκαματιὲς ἐκεῖ καὶ τραύματα ἔχω λάβει
καὶ τὴν ψυχὴ γυρίζοντας ἔχω πληγὴ γεμάτη.
Κράζω μὲς στὴν ὀδύνη μου καὶ στῆς καρδιᾶς τὸν πόνο.
Λυπήσου με κι ἐλέησε τὸν παραβάτη ἐμένα!
Ἐσὺ ὁ φιλόψυχος γιατρὸς κι εὔσπλαχνος ἐσὺ μόνος,
ποὺ δωρεὰν τοὺς ἀσθενεῖς καὶ τοὺς τραυματισμένους
γιατρεύεις, τὰ χτυπήματα καὶ τὶς λαβωματιές μου
γιάτρεψε, Θεέ μου, στάλαξε τῆς χάρης σου τὸ λάδι
καὶ τὶς πληγές μου ἄλειψε τὰ ἕλκη ἐξαλείφοντάς μου,
κάνε νὰ κλείσουν οἱ πληγὲς καὶ τὰ χαλαρωμένα
μέλη μου σφίξε, ἀφάνισε τὴν κάθε οὐλή, Σωτήρα,
καὶ τέλεια κάνε με γερὸ ὅπως ἤμουν καὶ πρῶτα,
ὅταν δὲν εἶχα μολυνθεῖ καὶ χτύπημα δὲν εἶχα
καὶ κακοφόρμιστη πληγὴ οὔτε κηλίδα, Θεέ μου,
ἀλλὰ γαλήνη καὶ χαρά, πραότητα κι εἰρήνη,
κι ἅγια μαζὶ ταπείνωση καὶ τὴ μακροθυμία,
τὸ φέγγος τῆς ὑπομονῆς καὶ τῶν πάγκαλων ἔργων·
ὑπομονὴ καὶ δύναμη ἀνίκητη ἀπ' τὸ κάθε

1. Τὸ 'ἐμάκρυνα' τοῦ Συμεὼν ἀνακαλεῖ τὸ 'ἐμακρύνθην ἀπὸ σοῦ' τι ὑμνογράφου γιὰ τὸν ἄσωτο καὶ ἀπηχεῖ τὸν ἴδιο σχεδὸν πόνο.

*Ἐξ οὗ πολλὴ παράκλησις δακρύων καθ᾽ ἑκάστην,*
*ἐξ οὗ ἡ ἀγαλλίασις ἐν τῇ ἐμῇ καρδίᾳ,*
*ὥσπερ πηγὴ ἀνέβρυεν, ἔρρεεν ἀεννάως*
*καὶ ρεῖθρον ἦν μελισταγές, εὐφροσύνης τε πόμα,*
*διηνεκῶς στρεφόμενον ἐν στόματι νοός μου.*
*Ὅθεν ὑγεία ἅπασα, ὅθεν ἡ καθαρότης,*
*ὅθεν ἡ ρύψις τῶν παθῶν καὶ λογισμῶν ματαίων,*
*ὅθεν ἡ ἀστραπήμορφος ἀπάθεια συνῆν μοι*
*καὶ συνεγίνετο ἀεὶ –πνευματικῶς μοι νόει,*
*ὁ ταῦτα διερχόμενος, μὴ μολυνθῇς ἀθλίως! –*
*ἄφατον ἐμποιοῦσά μοι ἡδονὴν συνουσίας*
*καὶ γάμου πόθον ἄπειρον, ἑνώσεως ἐνθέου,*
*ἐξ ἧς κἀγὼ μεταλαβὼν ἀπαθὴς ἐγενόμην,*
*ἐκπυρωθεὶς τῇ ἡδονῇ, φλεχθεὶς αὐτῆς τῷ πόθῳ*
*καὶ τοῦ φωτὸς μετέσχηκα, ναί, καὶ φῶς ἐγενόμην,*
*πάθους παντὸς ἀνώτερος, ἐκτὸς κακίας πάσης.*
*Οὐ γὰρ προσψαύει τῷ φωτὶ τῆς ἀπαθείας πάθος*
*ὡς οὐδ᾽ ἡλίῳ ἡ σκιὰ ἢ τῆς νυκτὸς τὸ σκότος.*
*Τοιοῦτος οὖν γενόμενος, τοιοῦτός τε ὑπάρχων*
*ὑπεχαυνώθην, Δέσποτα, ὡς ἐμαυτὸν θαρρήσας,*
*μερίμνῃ ὑπεσύρην τε τῶν αἰσθητῶν πραγμάτων,*
*φροντίδι τε βιωτικῶν κατέπεσα, ὁ τάλας,*
*καὶ ψυχρανθεὶς ὡς σίδηρος μελανὸς ἐγενόμην*
*καὶ ἐγχρονίσας κείμενος ἰὸν προσελαβόμην.*
*Καὶ διὰ τοῦτό σοι βοῶ πάλιν καθαρισθῆναι*
*αἰτούμενος, φιλάνθρωπε, καὶ εἰς τὸ πρώην κάλλος*
*ἀνενεχθῆναι καὶ τοῦ σοῦ φωτὸς καταπολαῦσαι*
*νῦν τε καὶ ἀεὶ καὶ εἰς πάντας τοὺς αἰῶνας.*
*Ἀμήν.*

---

22. Ματθ. 5,4.
36. Ἐφ. 5,8.

κι ἄφθονη νά, ἡ παρηγοριὰ στὰ δάκρυα κάθε μέρας
καὶ νά, ἡ ἀγαλλίαση ποὺ μέσα στὴν καρδιά μου
ἀνάβρυζε καθὼς πηγὴ κι ἀέναα κυλοῦσε
ρυάκι μελιστάλαχτο πιοτὸ χαρᾶς ὁποὺ ’ναι
καὶ μὲς στὸ στόμα ἀδιάκοπα στριφογυρνᾶ τοῦ νοῦ μου,
καὶ ἀπὸ τοῦτο ὅλη ἡ ὑγειά, ὅλη ἡ καθαροσύνη,
ἡ κάθαρση ὅλη τῶν παθῶν καὶ τῶν ἄτοπων σκέψεων
κι ἀπὸ ὅπου ἡ ἀστραπόβολη λαμποκοποῦσε ἀπάθεια
καὶ πάντα μὲ συντρόφευε –ἐσὺ ποὺ αὐτὰ διαβάζεις
πνευματικὰ στοχάσου τα καὶ μὴ μολυνθεῖς ἄθλια–
καὶ μοῦ ’δινε ἄφατη ἡδονὴ ἀπὸ τὴ συντροφιά της
καὶ πόθο γάμου ἀπέραντο γιὰ μιὰν ἕνωση ἔνθεη,
ποὺ ὡς τὴ δοκίμασα ἀπαθὴς κι ἐγὼ ἔγινα ἀμέσως
καθὼς μὲ πύρωνε ἡ ἡδονὴ καὶ μ’ ἄναβεν ὁ πόθος
κι ἀπὸ τὸ φῶς μετάλαβα κι ἔγινα φῶς κι ὁ ἴδιος
ἀπὸ ὅποιο πάθος πιὸ ψηλὰ κι ὅποια κακίαν ἔξω
Γιατὶ τῆς ἀπάθειας τὸ φῶς δὲν τὸ ἀγγίζει πάθος
καθὼς τὸν ἥλιον ἡ σκιὰ καὶ τῆς νυχτὸς τὸ σκότος.
Τέτοιος ἐνῶ ἔγινα λοιπὸν κι ἐνῶ γιὰ τέτοιος ἤμουν,
Κύριε, κάπως ἀφέθηκα θαρρώντας στὸν ἑαυτό μου
κι ἡ μέριμνα μὲ τράβηξε τῶν αἰσθητῶν πραγμάτων
καὶ βούλιαξα ὁ δυστυχὴς στὴ βιοτικὴ φροντίδα
καὶ κρυώνοντας σὰν σίδερο ἦρθα κι ἔγινα μαῦρος
κι ἀφοῦ ἔμεινα πολὺν καιρὸ σκουριὰ ἄρχισα νὰ πιάνω
κι εἶναι γι’ αὐτὸ ποὺ κράζω σου, φιλάνθρωπε, ζητώντας
καὶ πάλι νὰ καθαριστῶ καὶ στὸ παλιό μου κάλλος
νὰ ἐπιστρέψω καὶ τὸ φῶς νὰ χαρῶ τὸ δικό σου
γιὰ τώρα καὶ γιὰ πάντοτε καὶ γιὰ ὅλους τοὺς αἰῶνες.
’Αμήν.

---

29. Ὁ Συμεὼν μιλᾶ γιὰ τὴν ἀπάθεια ἐρωτικά, ἀλλὰ καθὼς ἐπισημαίνει ὁ ἴδιος μὲ πνευματικὸ ἔρωτα.

## ΜΖ'

***Περὶ νοητοῦ παραδείσου τηλαυγὴς θεωρία, καὶ περὶ τοῦ ἐν αὐτῷ ξύλου ζωῆς.***

*Εὐλογητὸς εἶ, Κύριε, εὐλογητός εἶ, μόνε,*
*εὐλογητὸς εἶ, εὔσπλαγχνε, ὑπερευλογημένε,*
*ὁ δοὺς ἐν τῇ καρδίᾳ μου τὸ φῶς τῶν ἐντολῶν σου*
*καὶ ἐμφυτεύσας ἐν ἐμοὶ τὸ τῆς ζωῆς σου ξύλον*
*καὶ δείξας με παράδεισον ἄλλον ἐν ὁρωμένοις,*
*ἐν αἰσθητοῖς μὲν νοητόν, νοητὸν δ' ἐν αἰσθήσει.*
*Συνήνωσας γὰρ τῇ ψυχῇ ἄλλο Πνεῦμά σου Θεῖον,*
*ὅπερ καὶ ἐνεσκήνωσας ἐν τοῖς ἐμοῖς ἐγκάτοις·*
*τοῦτο τὸ ξύλον τῆς ζωῆς ὄντως ὑπάρχει μόνον,*
*τοῦτο, ἐν ᾗπερ φυτευθῇ γῇ εἴτ' οὖν ψυχῇ ἀνθρώπου*
*καὶ ἐν καρδίᾳ ῥιζωθῇ, παράδεισον δεικνύει*
*ταύτην εὐθὺς λαμπρότατον, πᾶσι κεκοσμημένον*
*φυτοῖς ὡραίοις δένδροις τε καὶ καρποῖς διαφόροις,*
*πεποικιλμένον ἄνθεσι καὶ μυριπνόοις κρίνοις.*
*Ταῦτα δ' εἰσὶ ταπείνωσις καὶ χαρὰ καὶ εἰρήνη,*
*πρᾳότης καὶ συμπάθεια, πένθος, ὄμβροι δακρύων*
*καὶ ξένη τέρψις ἐν αὐτοῖς, αἴγλη τῆς χάριτός σου*
*ἅπασιν ἐπιλάμπουσα τοῖς ἐν τῷ παραδείσῳ.*
*Σὺ εἶ κρατὴρ προχέων μοι ζωῆς τὰ νάματά σου,*
*καὶ λόγους θείας γνώσεως ἀφθόνως ἐμπαρέχεις.*
*Ἐπὰν δὲ σὺ μὴ βουληθῇς, ἀλλ' ἀντανέλῃς ταῦτα,*
*ἄνους ἐγώ, ἀναίσθητος ὥσπερ λίθος τυγχάνω.*
*Ἡ σάλπιγξ ἄνευ πνεύματος οὐδέποτε ἠχήσει·*

---

3. Παρμ. 6,23. 4. Γεν. 2,9.
8. Ψαλμ. 50,12. 15. Γαλ. 5,22.
20. Α' Κορ. 12,8. 21. Ψαλμ. 50,13.

## 47

**Καταυγασμένη ἀπὸ φῶς θεωρία γιὰ τὸ νοητὸ παράδεισο, καὶ γιὰ τὸ ξύλο τῆς ζωῆς ποὺ ὑπάρχει σ' αὐτόν.**

Εὐλογημένος, Κύριε, εὐλογημένος, μόνε,
εὐλογημένος, εὔσπλαχνε, ὑπερευλογημένε,
ποὺ στὴν καρδιά μου ἔβαλες τὸ φῶς τῶν ἐντολῶν σου
καὶ μέσα μου ἐφύτευσες τὸ ξύλο τῆς ζωῆς σου
καὶ μ' ἔκανες παράδεισο ἄλλον στὰ ὅσα θωροῦμε,
νοητὸ μέσα στὰ αἰσθητὰ μὰ νοητὸ μ' αἰσθήσεις.
Μὲ τὴν ψυχή μου ἕνωσες τὸ Πνεῦμα σου τὸ θεῖο
ποὺ νὰ σκηνώσει τό 'βαλες μέσα στὰ σωθικά μου·
αὐτὸ τὸ ξύλο τῆς ζωῆς στ' ἀλήθεια εἶναι μονάχα
τοῦτο, σ' ὅποια γῆ φυτευτεῖ ἢ σὲ ψυχὴν ἀνθρώπου
καὶ σὲ καρδιὰ εἴτε ριζωθεῖ, παράδεισο τὴ δείχνει
αὐτὴ μεμιᾶς ὁλόλαμπρο, μὲ ὅλα στολισμένο
τὰ ὡραῖα φυτὰ καὶ τὰ δεντρὰ καὶ καρποὺς κάθε εἶδους,
μὲ λούλουδα ὁλοπλούμιστο καὶ κρίνα ποὺ εὐωδιάζουν.
Καὶ τοῦτα εἶναι ταπείνωση, χαρὰ μαζὶ κι εἰρήνη,
συμπάθεια καὶ πραότητα, πένθος, βροχὴ ἀπὸ δάκρυα,
τέρψη παράξενη σ' αὐτά, λάμψη τῆς χάριτός σου,
ποὺ λάμπει σ' ὅσους βρίσκονται στὸν παράδεισο μέσα.
Εἶσαι ὁ κρατήρας ποὺ τῆς ζωῆς τὰ νάματα πηγάζεις
καὶ προμηθεύεις ἄφθονα μὲ θείας γνώσης λόγια.
'Αλλὰ ὅταν δὲ θελήσεις σὺ κι αὐτὰ μᾶς τὰ στερήσεις,
νόηση δίχως κι αἴσθηση μένω καθὼς λιθάρι.
Δὲ θὰ ἠχήσει ἡ σάλπιγγα ἂν δὲν φυσήξει κάποιος,

---

13. «Οἱ καρποὶ τοῦ Πνεύματος» λέει ὁ Παῦλος. Ὁ Συμεὼν εὐρύνει τὴν ἔκφρασή του ὅπως κάνει συνήθως. Οἱ καρποὶ γίνονται καὶ φυτὰ καὶ δέντρα καὶ ἄνθη κι αὐτὰ στὴ συνέχεια (στίχοι 15,16,17) ἀναφέρονται ὡς ἀρετές.

*οὕτω κἀγώ σου ἄνευθεν ὡς ἄψυχος ὑπάρχω.*
*Δίχα ψυχῆς ἀδύνατον ἐνεργεῖν τι τὸ σῶμα·*
*οὕτως οὐ δύναται ψυχὴ δίχα τοῦ Πνεύματός σου*
*κινεῖσθαι καὶ τὰς ἐντολὰς τὰς σάς, Σῶτερ, φυλάττειν,*
*οὐδὲ ὁρᾶν σὲ δύναται οὐδὲ παρίστασθαί σοι,*
*οὐδὲ ὑμνεῖν τὴν δόξαν σου συνετῶς, ὦ Θεέ μου.*
*Διὰ τοῦτο οὖν σοι βοῶ καὶ διὰ τοῦτο κράζω·*
*Ὁ ἄνω ὢν σὺν τῷ Πατρὶ καὶ μεθ' ἡμῶν τυγχάνων*
*οὐχ, ὥς τινες λογίζονται, τῇ ἐνεργείᾳ μόνῃ,*
*οὐδ' ὡς νομίζουσι πολλοί, τῷ θελήματι μόνῳ,*
*οὐδὲ δυνάμει μόνῃ σου, ἀλλὰ καὶ τῇ οὐσίᾳ,*
*εἴπερ οὐσίαν ἐπὶ σοὶ τολμητέον τοῦ λέγειν*
*ἢ ἐννοεῖν, ἀθάνατε, ὑπερούσιε, μόνε!*
*Εἰ γὰρ ὑπάρχεις ἀληθῶς ἀνερμήνευτος ὅλως,*
*ἀόρατος, ἀπρόσιτος, ἀκατανόητός τε,*
*ἀναφής, ἀψηλάφητος, ἄληπτος ὅλως, Σῶτερ,*
*πῶς σε προσονομάσωμεν, πῶς δέ σε καὶ οὐσίαν*
*ποταπήν τε καὶ ὁποίαν τολμήσωμεν εἰπεῖν σε;*
*Ὄντως οὐδὲν τῶν πάντων γὰρ ὑπάρχεις, ὦ Θεέ μου,*
*ἀλλὰ τὰ πάντα ἔργα σὰ ἐξ οὐκ ὄντων παρήχθη·*
*μόνος δ' ὑπάρχεις ἄκτιστος, μόνος ἄναρχος, Σῶτερ,*
*Τριὰς ἁγία καὶ σεπτή, ὁ Θεὸς τῶν ἁπάντων,*
*καὶ φῶς παρέδειξας ἡμῖν δόξης σου τῆς ἀχράντου.*
*Αὐτὸ καὶ νῦν παράσχου μοι ἀδιάστατον, Σῶτερ,*
*δός μοι ἀεί σε δι' αὐτοῦ ἐνοπτρίζεσθαι, Λόγε,*
*καὶ κάλλος τὸ ἀμήχανον καλῶς κατανοεῖν σου,*
*ὅπερ ἀκατανόητον παντάπασιν ὑπάρχον*
*ὑπερεκπλήττει μου τὸν νοῦν, ἐξιστᾷ μου τὰς φρένας*
*καὶ πῦρ ἐν τῇ καρδίᾳ μου σῆς ἀγάπης ἀνάπτει!*
*Τοῦτο δ' ἀποτελούμενον εἰς φλόγα θείου πόθου*
*τρανοτέραν δεικνύει μοι τὴν δόξαν σου, Θεέ μου.*
*Ἣν προσκυνῶν αἰτοῦμαί σε, Υἱὲ Θεοῦ, παράσχου*

---

24. Ὁ ποιητὴς ἔχει αἴσθημα ὀξυμμένο γι' αὐτὸ καὶ βρίσκει τὶς ἀνάλογες ἐκφράσεις. Ἐδῶ γίνεται ὄργανο ποὺ παίζει ὁ Θεός.

34–41. Καὶ πάλι λόγος γιὰ τὸ ὅτι εἶναι ἀδύνατο στοὺς ἀνθρώπους νὰ μιλή-

ἔτσι κι ἐγὼ χωρὶς ἐσὲ ἄψυχος εἶμαι ἀλήθεια.
Χωρὶς ψυχὴ εἶναι ἀδύνατο τὸ σῶμα νὰ ἐνεργήσει,
ἔτσι εἶναι ἀδύνατο ἡ ψυχὴ τὸ Πνεῦμα σου ἂν δὲν ἔχει
νὰ κινηθεῖ, Σωτήρα μου, κάνοντας ὅ,τι ὁρίζεις·
οὔτε καὶ νὰ σὲ δεῖ μπορεῖ καὶ νὰ σοῦ παραστέκει,
οὔτε νὰ ὑμνεῖ τὴ δόξα σου μέσ' ἀπὸ τὴν ψυχή του.
Γιὰ τοῦτο σὲ παρακαλῶ, γιὰ τοῦτο σοῦ φωνάζω:
Μὲ τὸν Πατέρα εἶσαι ψηλὰ κι ὅμως μαζί μας μένεις,
ὄχι ὅπως κάποιοι σκέφτονται μὲ τὴν ἐνέργεια μόνη,
οὔτε καὶ μὲ τὸ θέλημα καθὼς πολλοὶ λέν, οὔτε
μονάχα μὲ τὴ δύναμη μὰ καὶ μὲ τὴν οὐσία,
ἂν πρέπει νὰ τολμήσομε νὰ ποῦμε 'οὐσία' γιὰ σένα
ἢ νὰ σκεφτοῦμε, ἀθάνατε, τὸ μόνο ὑπερούσιο.
Γιατί, ἂν ἀνερμήνευτος ὁλότελα εἶσαι ἀλήθεια
ἀόρατος, ἀπρόσιτος, ἀσύλληπτος στὸ νοῦ μας,
ἄγγιχτος κι ἀψηλάφητος, Σωτήρα, ἄπιαστος τέλεια,
πῶς νὰ σοῦ δῶσομε ὄνομα καὶ πῶς οὐσία κάποια,
ὅποια καὶ νά 'ναι μὰ καὶ ποιά μὲ τόλμη νὰ σὲ ποῦμε;
Ἀπὸ ὅσα ὑπάρχουν δὲν εἶσαι κανένα ἐσύ, Θεέ μου,
μὰ εἶναι τὰ πάντα ἔργα σου ἀπ' τὸ μηδὲν ποὺ βγῆκαν
καὶ εἶσαι ὁ μόνος ἄκτιστος κι ἀρχὴ χωρίς, Σωτήρα,
Τριάδα Ἁγία, σεβάσμια, καὶ ὁ Θεὸς τῶν ὅλων,
ὁποὺ φανέρωσες σ' ἐμᾶς τὴν ἄχραντή σου δόξα.
Δόσμου καὶ τώρα αὐτὸ τὸ φῶς, ἀχώριστο ἀπὸ μένα,
ἀδιάκοπα δόσμου σ' αὐτὸ νὰ σὲ κοιτάζω, Λόγε,
καὶ τέλεια νὰ κατανοῶ τὸ θαυμαστό σου κάλλος,
ὁποὺ ἀκατανόητο καθὼς ὁλότελα εἶναι
ταράζει μ' ἔκπληξη τὸ νοῦ καὶ τὸ μυαλὸ σαλεύει
καὶ στὴν καρδιά μου τὴ φωτιὰ τῆς ἰδικῆς σου ἀγάπης
ἀνάβει, ποὺ σὰν ὑψωθεῖ σὲ φλόγα θείου πόθου,
μοῦ δείχνει πιὸ τρανότερη τὴ δόξα σου, Θεέ μου.
Τὴν προσκυνῶ καὶ σοῦ ζητῶ, Γιὲ τοῦ Θεοῦ, ἄφησέ με

σουν γιὰ τὴν οὐσία τοῦ Θεοῦ.

42. Τονίζεται γι' ἄλλη μία φορὰ τὸ γεγονὸς ὅτι ὁ Θεὸς εἶναι διάφορος ἀπὸ ὅλα τὰ ὄντα.

*καὶ νῦν καὶ ἐν τῷ μέλλοντι ἀδιαδόχως ἕξειν*
*καὶ δι' αὐτῆς σε τὸν Θεὸν καθορᾶν αἰωνίως!*
*Μὴ δός μοι δόξαν, Δέσποτα, ἐν κόσμῳ τὴν ματαίαν,*
*μὴ πλοῦτον ἀπολλύμενον, μὴ τάλαντα χρυσίου,*
*μὴ θρόνου ὕψους, μὴ ἀρχὴν τῶνδε τῶν φθειρομένων!*
*Τοῖς ταπεινοῖς με σύζευξον, τοῖς πτωχοῖς τε καὶ πρᾴοις,*
*ἵνα κἀγὼ γενήσομαι καὶ ταπεινὸς καὶ πρᾷος,*
*καὶ τὴν διακονίαν μου, εἰ μὴ πρὸς τὸ συμφέρον*
*καὶ πρὸς τὴν σὴν ἀρέσκειαν καὶ τὴν σὴν θεραπείαν*
*μετέρχομαι, εὐδόκησον ἐξεωθῆναι ταύτης*
*καὶ μόνας, Δέσποτα, θρηνεῖν τὰς ἐμὰς ἁμαρτίας,*
*τῆς κρίσεώς τε μεριμνᾶν τῆς δικαίας σου μόνης,*
*καὶ πῶς ἀπολογήσομαι πολλά σε παροργίσας!*
*Ναί, ὁ ποιμὴν ὁ συμπαθής, ὁ ἀγαθὸς καὶ πρᾷος,*
*ὁ θέλων πάντας τοὺς εἰς σὲ πιστεύοντας σωθῆναι,*
*ἐλέησον, εἰσάκουσον δεήσεώς μου ταύτης·*
*μὴ ὀργισθῇς, μὴ πρόσωπον ἀπ' ἐμοῦ ἀποστρέψῃς,*
*ἀλλὰ τὸ σόν με δίδαξον θέλημα ἐκπληρῶσαι!*
*Οὐ γὰρ ζητῶ τὸ θέλημα τὸ ἐμαυτοῦ γενέσθαι,*
*ἀλλὰ τὸ σόν, ἵνα καὶ σὲ θεραπεύσω, οἰκτίρμον!*
*Ὁρκίζω σε, ἐλέησον, ὁ φύσει ἐλεήμων,*
*καὶ τὸ συμφέρον ποίησον ψυχῆς μου τῆς ἀθλίας,*
*ὅτι Θεὸς φιλάνθρωπος αὐτὸς ὑπάρχεις μόνος,*
*ἄκτιστος, ἀτελεύτητος, παντοδύναμος ὄντως,*
*πάντων ζωὴ καὶ πάντων φῶς τῶν σὲ ἀγαπησάντων*
*καὶ παρὰ σοῦ, φιλάνθρωπε, λίαν ἀγαπωμένων!*
*Οἷς με συντάξαις, Δέσποτα, καὶ δόξης σου τῆς θείας*
*ἀποτελέσαις κοινωνόν τε καὶ συγκληρονόμον·*
*σοὶ γὰρ ἡ δόξα, τῷ Πατρὶ σὺν Υἱῷ συνανάρχῳ,*
*καὶ Θείῳ πρέπει Πνεύματι εἰς αἰῶνας αἰώνων.*
*Ἀμήν.*

---

61. Ματθ. 5,3.5. 62. Ματθ. 11,29. 69. Ἰω. 10,11.
70. Α' Τιμ. 2,4. 72. Ψαλμ. 26,9.
73. Ψαλμ. 142,10. 74. Λουκᾶ 22,42.
76. Μάρκ. 5,7. 83. Α' Πέτρ. 5,1. Ρωμ. 8,13.

καὶ τώρα καὶ μελλοντικὰ νὰ τὴν κατέχω πάντα
κι ἐσένα τὸ Θεὸ ἀπ' αὐτὴν νὰ σ' ἀτενίζω αἰώνια.
Τὴ μάταιη δόξα, Δέσποτα, τοῦ κόσμου μὴ μοῦ δώσεις,
τὸν πλοῦτο ὄχι ποὺ χάνεται, χρυσὰ νομίσματα ὄχι,
ὄχι θρόνου ὕψος, μήτε ἀρχὴ ἀπὸ αὐτὲς ὅπου ξεφτίζουν.
Βάλε με μὲ τοὺς ταπεινούς, μὲ τοὺς φτωχοὺς καὶ πράους,
ὅμοια κι ἐγὼ γιὰ νὰ γινῶ καὶ ταπεινὸς καὶ πράος,
κι ἀπ' τὴ διακονία μου ἂν ὄχι ὡς μὲ συμφέρει
καὶ γιὰ δική σου ἀρέσκεια καὶ θεραπεία δική σου
σοῦ τὴν προσφέρω, εὐδόκησε ν' ἀποδιωχτῶ ἀπὸ ἐκείνη
καί, Δέσποτά μου, νὰ θρηνῶ τὶς ἁμαρτίες μου μόνο
καὶ νά 'ναι ἡ δίκαιη κρίση σου ἡ μόνη μου φροντίδα
καὶ πῶς θὰ σοῦ ἀπολογηθῶ τόσο πολὺ σὰν σ' ἔχω
θυμώσει! Ναί, ὦ βοσκὲ καλέ, ὁ πράος κι ὅλος συμπάθεια,
ποὺ θέλεις ὅλοι νὰ σωθοῦν ὅσοι σ' ἐσὲ πιστεύουν,
ἐλέησε κι εἰσάκουσε αὐτὴ τὴ δέησή μου·
μὴν ὀργιστεῖς κι' ἀπὸ ἐμὲ τὸ πρόσωπο ἀποστρέψεις,
μὰ νὰ ἐκπληρώσω μάθε με τὸ θεῖο θέλημά σου.
Δὲν ἀπαιτῶ τὸ θέλημα νὰ γίνει τὸ δικό μου,
μὰ τὸ δικό σου, εὔσπλαχνε, γιὰ νὰ σὲ ὑπηρετήσω.
Σὲ ἐξορκίζω, ἐλέησε, ὁ φυσικὰ ἐλεήμων
καὶ τὸ συμφέρον κοίταξε τῆς ἄθλιας τῆς ψυχῆς μου,
γιατὶ φιλάνθρωπος Θεὸς ἐσὺ μονάχα εἶσαι,
ἄκτιστος, παντοδύναμος κι ἀλήθεια δίχως τέλος,
ὅλων ἡ ζωὴ κι ὅλων τὸ φῶς ποὺ σ' ἔχουν ἀγαπήσει
καὶ ποὺ κι ἐσύ, φιλάνθρωπε, τοὺς ἀγαπᾶς περίσσια.
Ἀνάμεσά τους βάλε με, Κύριε, κι ἄμποτε νὰ μὲ δείξεις·
τῆς θείας σου δόξας κοινωνὸ μ' ἐσὲ συγκληρονόμο·
Ἐσένα ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ συνάναρχού σου
τοῦ Γιοῦ καὶ στ' ἅγιο Πνεῦμα σου πρέπει στοὺς αἰῶνες.
Ἀμήν.

---

58. Ἀπὸ τὸ στίχο αὐτὸν καὶ κάτω ἔχομε μιὰ ἰδιότυπη προσευχὴ τοῦ ταπεινοῦ γεμάτη ἠρεμία, γαλήνη καὶ παράδοση μ' ἐμπιστοσύνη στὸν ποιμένα τὸ συμπαθή, τὸν ἀγαθὸ καὶ πράο. Αὐτὲς τὶς ἀρετὲς σταλάζει καὶ στὴν ψυχὴ τοῦ ἀναγνώστη ἡ θερμὴ καὶ ἤρεμη αὐτὴ προσευχή.

## *ΜΗʹ*

***Ὅτι δόξα καὶ τιμή ἐστι παντὶ ἀνθρώπῳ ὑβριζομένῳ καὶ πάσχοντι κακῶς διὰ Θεοῦ ἐντολὴν ἢ ὑπὲρ αὐτῆς τῆς ἐντολῆς τοῦ Θεοῦ ἀτιμία· καὶ διάλογος εἰς τὴν ἰδίαν ψυχὴν διδάσκων τὸν ἀκένωτον πλοῦτον τοῦ Πνεύματος.***

*Δός μοι τὴν αἴσθησιν, Χριστέ, ἣν ἅπαξ ἐδωρήσω,*
*σκέπασον ταύτῃ με, Σωτήρ, κρύψον ἐντός με ὅλον*
*καὶ μὴ ἐάσῃς αἴσθησιν ἐγγίζειν μοι τοῦ κόσμου,*
*μὴ ἔνδοθεν εἰσέρχεσθαι, μὴ ὅλως με τιτρώσκειν,*
*τὸν δοῦλόν σου τὸν ταπεινόν, ὃν ἠλέησας μόνος!*
*Τῇ γὰρ μερίμνῃ τῇ καλῇ αἴφνης ἐπεισπεσοῦσα*
*ἡ αἴσθησις ἡ κοσμικὴ κακὰς ἐπιθυμίας*
*εὐθέως ἐνεποίησε ψυχῇ μου τῇ ἀθλίᾳ·*
*δόξαν γὰρ ὑποδείκνυσι, πλούτου ὑπομιμνῄσκει,*
*τοῖς βασιλεῦσί τε τῆς γῆς ἐγγίζειν ἐποτρύνει*
*ὡς εὐτυχίαν λέγουσα εἶναι τοῦτο μεγάλην.*
*Ἐκ τούτων οὖν τῶν λογισμῶν, ὥσπερ ὑπὸ ἀνέμου*
*ἀσκὸς ὀγκοῦται καὶ τὸ πῦρ ἀνάπτεται εἰς φλόγα,*
*οὕτως ἐκείνη ἡ ψυχὴ φυσωμένη ὀγκοῦται*
*καὶ διατείνεται σφοδρῶς ἐπιθυμίᾳ δόξης*
*πλούτου τε καὶ ἀνέσεως τῶν κάτω συρομένων,*
*ἐφίεται δοξάζεσθαι σὺν τοῖς δοξαζομένοις,*
*περιφανής τε φαίνεσθαι σὺν τοῖς περιφανέσι*
*καὶ πλοῦτον κτᾶσθαι σὺν αὐτοῖς τοῖς τὸν πλοῦτον κτωμένοις,*
*ἥνπερ ἐδόξασας αὐτὸς φωτί σου τῷ ἀρρήτῳ,*

1. Ἡ αἴσθηση τοῦ Χριστοῦ καὶ ἡ αἴσθηση τοῦ κόσμου. Τὸ κλείσιμο μέσα

## 48

**Εἶναι τιμὴ καὶ δόξα σὲ κάθε ἄνθρωπο ποὺ ὑβρίζεται καὶ κακοποιεῖται, ἐπειδὴ ἐκτελεῖ τὶς ἐντολὲς τοῦ Θεοῦ, ἡ ἀτιμία ποὺ ἐπισύρει ἐξαιτίας τῆς ἐκτέλεσης τῆς ἐντολῆς τοῦ Θεοῦ. Ἐπίσης διάλογος μὲ τὴν ψυχή του, ποὺ δείχνει τὸν ἀνεξάντλητο πλοῦτο τοῦ Πνεύματος.**

Δόσμου τὴν αἴσθηση, Χριστέ, ποὺ ἄλλοτε μοῦ 'χεις δώσει,
δόσμου την, Κύριε, σκέπασμα, κρύψε με ἐντός της ὅλον
καὶ νὰ μ' ἀγγίζει ἡ αἴσθηση τοῦ κόσμου μὴν ἀφήσεις
νὰ μὴν εἰσέλθει μέσα μου οὔτε κὰν νὰ μὲ λαβώσει,
τὸν δοῦλο τὸν ταπεινὸ ποὺ ἐσὺ σπλαχνίστης μόνος!
Γιατὶ στὴν ἅγια μέριμνα ἀπρόσμενα χυμώντας
ἡ αἴσθηση τοῦ κόσμου αὐτοῦ κακὲς ἐπιθυμίες
μὲ μιᾶς ἐδημιούργησε στὴν ἄθλια τὴν ψυχή μου.
Τὴ δόξα ἐμπρὸς στὰ μάτια μου φέρνει, τὰ πλούτη δείχνει,
καὶ νὰ πλησιάσω μὲ καλεῖ τῆς γῆς τοὺς βασιλιάδες,
γιατὶ μοῦ λέει πὼς εἶναι αὐτὸ ἡ πιὸ τρανὴ εὐτυχία.
Ἀπὸ τοὺς λογισμοὺς αὐτοὺς ὅπως ἀπ' τὸν ἀέρα
τὸ ἀσκὶ φουσκώνει κι ἡ φωτιὰ πετάει τὴ φλόγα ἐπάνω,
ἔτσι κι ἐκείνη ἡ ψυχὴ φουσκώνει, παίρνει ἀέρα
ἀπὸ τὸν πόθο τὸ σφοδρὸ τῆς δόξας πάει νὰ σπάσει,
τοῦ πλούτου καὶ τῆς ἄνεσης γιὰ ὅσα στὴ γῆ κυλιοῦνται·
ἐπιθυμεῖ νὰ δοξαστεῖ μὲ ὅσους τὴ δόξαν ἔχουν,
νὰ φαίνεται περίλαμπρη μ' ὅσους περίλαμπροι εἶναι,
καὶ πλοῦτο ν' ἀποχτάει μαζὶ μ' ὅσους τὰ πλούτη ἔχουν,
ποὺ ὅμως ἐσὺ τὴ δόξασες μὲ τὸ ἄρρητο τὸ φῶς σου,

---

στὴν αἴσθηση τοῦ Χριστοῦ ἀποτελεῖ ἐξασφάλιση ἀπὸ τὴν αἴσθηση τοῦ κόσμου.

*ἥνπερ αὐτὸς ἐστόλισας δόξῃ σου τῇ ἀφράστῳ,*
*ἥνπερ αὐτὸς παρέδειξας λαμπρότητά σου θείαν.*
*Ἡ αἴσθησις αἰχμάλωτον τὸν νοῦν αὐτῆς λαβοῦσα*
*ὑποδεικνύει βασιλεῖς, ὑπομιμνήσκει δόξης*
*καὶ πλοῦτον ὑποδείκνυσι τὸν τοῦ παρόντος βίου,*
*ὀργᾶν πρὸς ταῦτά τε ποιεῖ τῇ ἐνθυμήσει μόνῃ.*
*Ὢ σκότους, ὢ πωρώσεως, ὢ λογισμῶν ματαίων,*
*προθέσεώς τε ῥυπαρᾶς καὶ ἀναισθήτου γνώμης,*
*ὅτι λιπὼν τὰ ἄρρητα καὶ ἄφθαρτα τοῦ βλέπειν*
*τὰ ἐπὶ γῆς λογίζομαι καὶ ταῦτα ἐνθυμοῦμαι!*
*Οὐ τελευτήσει βασιλεύς, οὐχὶ παρέλθει δόξα,*
*οὐ πλοῦτος σκορπισθήσεται ὥσπερ χνοῦς ὑπ' ἀνέμου;*
*Οὐχὶ διαφθαρήσεται τὰ σώματα ἐν τάφοις*
*καὶ ἄλλοι κυριεύσουσι τῶν ἐν τῇ γῇ χρημάτων*
*καὶ μετ' ἐκείνους ἕτεροι καὶ ἀπ' ἐκείνων ἄλλοι;*
*Καὶ τίνος, λέγε μοι, ψυχή, ὁ πλοῦτος ἐγεγόνει,*
*τίς δὲ ἐν κόσμῳ ἴσχυσε μικρὸν κερδῆσαι πρᾶγμα,*
*ἵν' ὥσπερ ζῶν τε καὶ θανὼν μετ' αὐτοῦ τοῦτο λάβῃ;*
*Πάντως οὐδένα οὐδαμῶς δεῖξαί μοι εὐπορήσεις,*
*εἰ μὴ τοὺς ἐλεήμονας, τοὺς μηδὲν κτησαμένους,*
*ἀλλὰ τὰ πάντα ἐν χερσὶ τῶν πενήτων διδόντας.*
*Ἐκεῖνοι γὰρ καὶ ἔχουσιν ἀσφαλῶς τὰ δοθέντα,*
*ἀφ' οὗπερ καὶ δεδώκασιν εἰς χεῖρας τοῦ Δεσπότου·*
*οἱ δ' ἄλλοι πάντες ὡς πτωχοὶ καὶ πτωχῶν πάντων χείροι*
*ὑπάρχουσιν, οἱ ἔχοντες ἀποκείμενον πλοῦτον·*
*γυμνοὶ γὰρ ὥσπερ πτώματα ῥίπτονται ἐν τοῖς τάφοις*
*καὶ τῶν παρόντων ἄθλιοι καὶ τῶν μελλόντων ξένοι.*
*Τί οὖν, ψυχή μου, ἐν αὐτοῖς καλὸν ὁρῶσα τέρπῃ;*
*Ποῖον δὲ τούτων ἄξιον κρίνεις ἐπιθυμεῖσθαι;*
*Πάντως οὐκ ἔχεις τι εἰπεῖν, πάντως οὐκ ἀποκρίνῃ.*

---

32. Σοφ. Σολ. 5,14. 38. Ψαλμ. 48,18.
45. Λουκᾶ 19,20.

ποὺ ὅμως ἐσὺ τὴ στόλισες μὲ τὴν ἄφραστη δόξα,
ποὺ ὅμως ἐσὺ τὴ φώτισες μὲ τὸ θεϊκό σου φέγγος.
Ἡ αἴσθηση σὰν ἔπιασε τὸ νοῦ αἰχμάλωτό της
τοῦ φέρνει μπρός του βασιλεῖς, τὴ δόξα τοῦ θυμίζει
καὶ τῆς παρούσας τῆς ζωῆς ὅλα τὰ πλούτη δείχνει,
νὰ ὁρμᾶ τὸν κάνει πρὸς αὐτὰ μὲ τὴ φαντασία μόνο.
Σκότος βαθὺ καὶ πώρωση καὶ λογισμοί μου μάταιοι
κι ἀκάθαρτή μου πρόθεση κι ἀνόητή μου γνώμη!
Τ' ἀνείπωτα καὶ τ' ἄφθαρτα ἀφήνοντας νὰ βλέπω
τὰ γήινα μόνο σκέφτομαι καὶ βάζω αὐτὰ στὸ νοῦ μου.
Δὲ θὰ πεθάνει ὁ βασιλιάς, δὲ θὰ περάσει ἡ δόξα,
τὰ πλούτη δὲ θὰ σκορπιστοῦν σὰν σκόνη ἀπ' τὸν ἀέρα;
Τὰ σώματα στὰ μνήματα δὲ θὰ διαλυθοῦνε
καὶ δὲ θὰ γίνουν κύριοι ἄλλοι στῆς γῆς τὰ πλούτη
καὶ ἄλλοι πάλι ὕστερα καὶ μετ' αὐτοὺς καὶ ἄλλοι;
Ψυχή μου, ποιός ἀπόχτησε αὐτὰ τὰ πλούτη, πές μου,
καὶ ποιός στὸν κόσμο μπόρεσε κάτι τι ν' ἀποχτήσει,
ποὺ ζώντας καὶ πεθαίνοντας μαζί του νὰ τὸ πάρει;
Δὲ θὰ μπορέσεις πουθενὰ μήτε ἕνα νὰ μοῦ δείξεις,
παρὰ μονάχα ὅσοι ἐλεοῦν ποὺ τίποτα δὲν ἔχουν,
ἀλλὰ τὰ πάντα στῶν φτωχῶν τὰ χέρια τά 'χουν δώσει.
Αὐτοὶ κατέχουν σίγουρα τὰ ὅσα ἔχουν δοσμένα,
ἀπὸ ὅταν τὰ παρέδωσαν στὰ χέρια τοῦ Κυρίου,
ἐνῶ ὅλοι οἱ ἄλλοι σὰν φτωχοὶ κι ἀπὸ φτωχοὺς πιὸ κάτω
εἶναι ὅσοι ἔχουν στὰ σπίτια τους πλούτη πολλὰ σωριάσει·
γυμνοὶ στὸν τάφο ρίχνονται ὅπως τὰ πτώματα ὅλα,
γιὰ τὰ παρόντα θλιβεροὶ κι ἀπὸ ὅσα μέλλουν ξένοι.
Ποιό καλὸ βλέπεις σὲ αὐτὰ καὶ χαίρεσαι, ψυχή μου,
ἀπ' ὅλα τοῦτα ἄξιο ποιό κρίνεις νὰ ἐπιθυμήσεις;
Δὲν ἔχεις βέβαια τί νὰ πεῖς καὶ τί νὰ μοῦ ἀπαντήσεις.

---

29–30. Ὅπως λέει στοὺς πιὸ κάτω στίχους ἡ ἐγκατάλειψη τῶν ἄφθαρτων ἀγαθῶν καὶ ἡ στροφὴ στὰ ἐπίγεια εἶναι τὸ τραγικὸ λάθος, ἐπειδὴ ἀκριβῶς τὰ δεύτερα εἶναι φθαρτὰ καὶ παροδικά.

*Οὐαὶ τοῖς πλοῦτον ἔχουσιν ἐκτεθησαυρισμένον,*
*οὐαὶ τοῖς δόξαν θέλουσι λαμβάνειν ἐξ ἀνθρώπων,*
*οὐαὶ τοῖς παρενείρουσιν ἑαυτοὺς τοῖς πλουσίοις*
*καὶ μὴ τὴν δόξαν τοῦ Θεοῦ καὶ τὸν ἐκείνου πλοῦτον*
*καὶ τὸ συνεῖναι μετ' αὐτοῦ μόνον ἐπιθυμοῦσιν,*
*ὅτι ὁ κόσμος μάταιος, τὰ δ' ἐν τῷ κόσμῳ πάντα*
*ματαιοτήτων ἔσονται, τὰ πάντα ματαιότης.*
*Διὸ καὶ παρελεύσονται, Θεὸς δὲ ἔσται μόνος*
*αἰώνιος καὶ ἄφθαρτος εἰς ἀεὶ διαμένων,*
*καὶ σὺν αὐτῷ δὲ ἔσονται οἱ νῦν αὐτὸν ζητοῦντες,*
*οἱ μόνον ἀγαπήσαντες ἐκεῖνον ἀντὶ πάντων.*
*Οὐαὶ δὲ τότε τοῖς νυνὶ τὸν κόσμον ἀγαπῶσιν.*
*ὅτι κατακριθήσονται ἐν αὐτῷ εἰς αἰῶνας!*
*Οὐαί, ψυχή, τοῖς θέλουσι τὴν δόξαν τῶν ἀνθρώπων,*
*ὅτι τῆς δόξης τοῦ Θεοῦ τότε ἀποστεροῦνται!*
*Οὐαί, ψυχή, τοῖς ἔχουσι τὸν πλοῦτον συνηγμένον,*
*ὅτι ἐπιθυμήσουσιν ἐκεῖ τυχεῖν ρανίδος!*
*Οὐαί, ψυχή, τοῖς ἔχουσιν ἐπ' ἄνθρωπον ἐλπίδα,*
*ὅτι αὐτὸς τεθνήξεται καὶ σὺν αὐτῷ ἐλπίδες,*
*καὶ τότε εὑρεθήσονται μὴ ἔχοντες ἐλπίδα!*
*Οὐαί, ψυχή, τοῖς ἔχουσιν ἀνάπαυσιν ἐνταῦθα,*
*ὅτι ἐκεῖθεν ἕξουσιν αἰώνιον τὴν θλῖψιν!*
*Εἰπέ, ψυχή μου, τί λυπῇ, τί ζητεῖς τῶν ἐν βίῳ,*
*εἰπέ μοι, καὶ διδάξω σε ἑνὸς ἑκάστου χρείαν*
*καὶ μάθε καὶ διδάχθητι τὸ καλὸν ἐν ἑκάστῳ!*
*Θέλεις, εἰπέ, δοξάζεσθαι, θέλεις καὶ ἐπαινεῖσθαι;*
*Ἄκουσον τοίνυν, τί τιμή, τί δὲ καὶ ἀτιμία·*
*τιμὴ τὸ πάντας μὲν τιμᾶν, τὸν Θεὸν δὲ πρὸ πάντων*
*καὶ τὰς ἐκείνου ἐντολὰς ἐπικτᾶσθαι ὡς πλοῦτον,*

---

52. Ἰω. 5,41–44. 57. Ἐκκλ. 1,2. 59. Α' Τιμ. 1,17.
62. Α' Ἰω. 2,15. 63. Α' Κορ. 11,32. 64. Ἰω. 12,43.
65. Ρωμ. 3,23. 67. Λουκᾶ 16,24. 68. Ἱερ. 17,5.

50–57. Στοὺς στίχους αὐτοὺς ἀναπτύσσει τοὺς λόγους τοῦ Χριστοῦ πρῶτα γιὰ τοὺς πλουσίους κι ἔπειτα τοῦ Ἐκκλησιαστῆ.

Ἀλί, σ' ἐκείνους ποὺ ἔχουνε πλούτη θησαυρισμένα,
ἀλί, σ' αὐτοὺς ποὺ ἐπιζητοῦν τὴ δόξα τῶν ἀνθρώπων,
ἀλί, σ' ὅσους βάζουν τὸν ἑαυτό τους μὲ τοὺς πλούσιους
καὶ μόνο δὲν ἐπιθυμοῦν νά 'ναι πάντα μαζί του,
νάχουν τὴ δόξα τοῦ Θεοῦ καὶ τοῦ Θεοῦ τὸν πλοῦτο,
γιατὶ εἶναι ὁ κόσμος μάταιος κι ὅσα μέσα στὸν κόσμο
ὑπάρχουν ματαιότητες, τὰ πάντα ματαιότης.
Γι' αὐτὸ καὶ θὰ περάσουνε κι ὁ Θεὸς θὰ μείνει μόνο
αἰώνιος περαμένοντας καὶ ἄφθαρτος στὸν αἰώνα
καὶ στὸ πλευρό του θά 'ναι αὐτοὶ ποὺ τὸν γυρεύουν τῶρα
αὐτοὶ ποὺ τὸν ἀγάπησαν πιὸ πολὺ ἀπ' ὅ,τι ἄλλο.
Καὶ τότε ἀλὶ στοὺς τωρινοὺς τὸν κόσμο ποὺ ἀγαποῦνε,
γιατὶ θὰ καταδικαστοῦν μαζί του στὸν αἰώνα.
Ἀλί, ψυχή, σ' ὅσους ποθοῦν τὴ δόξα τῶν ἀνθρώπων,
γιατὶ τὴ δόξα τοῦ Θεοῦ ἀποστεροῦνται τότε.
Ψυχή μου, ἀλί, γιὰ ὅσους φυλοῦν τὰ πλούτη κλειδωμένα,
γιατὶ θὰ ἀναζητήσουνε σταγόνα ἐκεῖ νὰ βροῦνε!
Ὠιμένα, γιὰ ὅσους ἔχουνε σ' ἀνθρώπους τὴν ἐλπίδα,
πεθαίνουν οἱ ἄνθρωποι, ψυχή, κι οἱ ἐλπίδες μας μαζί τους
καὶ τότε θὰ βρεθοῦνε πιὰ γυμνοὶ ἀπὸ κάθε ἐλπίδα.
Ψυχή μου, ἀλί, γιὰ ὅσους ἐδῶ ἀνάπαυση ἀπολαῦσαν,
γιατὶ θὲ νὰ τοὺς τρώει ἐκεῖ ἡ ἀτέλειωτη ἡ θλίψη.
Πές μου, ψυχή, τί σὲ λυπεῖ, τί στὴ ζωὴ γυρεύεις,
ρώτα καὶ θὰ σοῦ μάθω ἐγὼ τί χρειάζεται καθένας
καὶ μάθε καὶ διδάξου ἐσὺ τί ἔχει καλὸ καθένας.
Πές μου, τὴ δοξα ἀναζητεῖς, τὸν ἔπαινο γυρεύεις;
Ἄκου λοιπὸν τί 'ναι ἡ τιμὴ καὶ τί ἡ ἀτιμία.
Τιμὴ εἶναι ὅλους νὰ τιμᾶς καὶ τὸ Θεὸ πιὸ ἀπ' ὅλους
καὶ ν' ἀποχτᾶς σὰν πλοῦτο σου τὶς ἐντολὲς Ἐκείνου,

---

71–72. Βέβαια δὲν παρατίθεται ἐδῶ ἡ παραβολὴ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου, ἀλλὰ εἶναι ἔντονος στὴν ἀκοὴ ὁ λόγος «δὲν ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου» (Λουκᾶ 16,25).

74. Παρακάτω ἀποκαθιστᾶ στὸ ὀρθὸ νόημά τους τὶς ἔνοιες τῆς τιμῆς καὶ τοῦ πλούτου.

*ὑβρίζεσθαί τε δι' αὐτάς, δι' αὐτὰς λοιδορεῖσθαι*
*καὶ δι' αὐτὰς ὀνειδισμοὺς ὑποφέρειν παντοίους.*
*Ὅταν γὰρ πράγματί τινι, ψυχή, ἐπιχειρήσῃς,*
*ἵνα τιμήσῃς τὸν Θεόν, ἵνα αὐτὸν δοξάσῃς*
*καὶ διὰ τοῦτο ὑβρισθῇς καὶ ἐξουδενωθήσῃ,*
*τότε τιμῆς ἐπέτυχες καὶ δόξης τῆς ἑστώσης,*
*ὅτι ἡ δόξα τοῦ Θεοῦ ἐπί σε πάντως ἥξει.*
*Τότε σε καὶ οἱ ἄγγελοι ἐπαινέσουσι πάντες,*
*ὅτι ἐτίμησας Θεόν, ὃν ὑμνοῦσιν ἐκεῖνοι.*
*Θέλεις, ψυχή μου, κτήσασθαι ἱματισμὸν καὶ πλοῦτον;*
*Ἄκουσον, ἄρτι δείξω σοι τὸν αἰώνιον πλοῦτον·*
*δάκρυσον, μετανόησον, καταφρόνησον πάντων,*
*γενοῦ πτωχὴ τῷ πνεύματι, γενοῦ καὶ τῇ καρδίᾳ,*
*γενοῦ ἀκτήμων χρήμασι, γενοῦ τοῦ κόσμου ξένη,*
*γενοῦ τῶν θελημάτων σου ἐχθρὰ τῶν ἐναντίων*
*καὶ μόνου τοῦ θελήματος γενοῦ τοῦ σοῦ Δεσπότου*
*καὶ ἀκολούθησον αὐτοῦ τοῖς ἴχνεσιν εὐτόνως!*
*Καὶ τότε σχολαιότερον βαδίσας ὁ Δεσπότης*
*θέλων καταληφθήσεται ὑπὸ σοῦ τῆς ἀθλίας·*
*αὐτὸν δ' ἰδοῦσα βόησον καὶ κραύγασον μεγάλως,*
*αὐτὸς δ' ἐπιστραφήσεται ὄμματι τῷ ἱλέῳ*
*καὶ βλέψει καὶ παράσχει σοι μικρὸν αὐτὸν ἰδέσθαι*
*καὶ πάλιν καταλείψει σε κρυβεὶς ἐξ ὀφθαλμῶν σου.*
*Τότε θρηνήσεις, τάλαινα, τότε κλαύσεις ἐμπόνως,*
*τότε αἰτήσεις θάνατον μὴ φέρουσα τὸν πόνον,*
*μὴ στέγουσα τὸν χωρισμὸν τοῦ γλυκέος Δεσπότου.*
*Αὐτὸς ἐξαποροῦσαν δὲ ὁ ἀγαθὸς ἰδών σε*
*καὶ σφοδρῶς ἐπιμένουσαν τῷ κλαυθμῷ καὶ τῇ λύπῃ*
*πάλιν αἴφνης φανήσεται, πάλιν σε καταυγάσει,*
*πάλιν καθυποδείξει σοι τὸν ἀκένωτον πλοῦτον,*
*τὴν δόξαν τὴν ἀμάραντον τοῦ πατρικοῦ προσώπου,*
*καὶ εὐφρανεῖ σε ὡς τὸ πρὶν καὶ χαρᾶς σε ἐμπλήσει*

86. Ἡσ. 60,1. 92. Ματθ. 5,3.

καὶ προσβολὲς νὰ δέχεσαι γι' αὐτὲς καὶ κατηγόριες
καὶ χλευασμοὺς κάθε λογῆς γι' αὐτοὺς νὰ ὑποφέρεις.
Ὅταν, ψυχή μου, μιὰ στιγμὴ καταπιαστεῖς μ' ἕνα ἔργο
ποὺ θά 'ναι προσφορὰ ἀπὸ σὲ στὸ Θεὸ τιμῆς καὶ δόξας
καὶ σὲ προσβάλλουν γι' αὐτὸ καὶ σὲ ἐξευτελίσουν
πέτυχες τότε καὶ τιμὴ καὶ δόξα ποὺ δὲν φεύγουν,
γιατὶ ἡ δόξα τοῦ Θεοῦ θαρθεῖ γοργὰ σ' ἐσένα.
Καὶ τότε πιὰ καὶ οἱ ἄγγελοι θὰ σ' ἐπαινέσουν ὅλοι,
ποὺ πρόσφερες τιμὴ στὸ Θεὸ ποὺ ἀνυμνοῦν κι ἐκεῖνοι.
Θέλεις, ψυχή, φορέματα καὶ πλούτη ν' ἀποκτήσεις;
Ἄκουσε τώρα νὰ σοῦ πῶ τὸν πλοῦτο τὸν αἰώνιο·
Κλάψε καὶ μετανόησε, παράτησε τὰ πάντα,
γίνε φτωχὴ στὸ φρόνημα, φτωχὴ καὶ στὴν καρδιά σου,
γίνε φτωχὴ σὲ κτήματα, γίνε στὸν κόσμο ξένη,
καὶ γίνε στὰ θελήματα ἐχθρικὴ τ' ἀντίθετά σου,
καὶ μόνο στοῦ Δεσπότη σου τὸ θέλημα ὑποτάξου,
καὶ σταθερὰ ἀκολούθησε τ' ἀχνάρια τῶν ποδιῶν του.
Κι ἀφοῦ βαδίσει πιὸ ἀργὰ πιὰ τότε ὁ Δεσπότης
θ' ἀφήσει θέλοντας ἐσὺ ἡ ἄθλια νὰ τὸν προλάβεις.
Κι ὅταν τὸν δεῖς βάλε φωνὴ ποὺ ν' ἀντηχήσει ὣς πέρα
καὶ τότε θὰ γυρίσει αὐτὸς τὰ ἥμερά του μάτια,
θὰ σὲ κοιτάξει ἀφήνοντας κι ἐσὺ νὰ τὸν δεῖς λίγο
καὶ πάλι θ' ἀπομακρυνθεῖ καὶ θὰ χαθεῖ ἀπὸ ἐμπρός σου.
Τότε θὰ κλάψεις, δύστυχη, πονώντας θὰ θρηνήσεις,
τὸ θάνατο, μὴ ἀντέχοντας τὸν πόνο, θὰ καλέσεις,
τὸ χωρισμὸ ἀπὸ τὸ γλυκὺ Δεσπότη μὴ βαστώντας.
Κι ὁ ἀγαθὸς ὅταν σὲ δεῖ σ' αὐτὴ τὴν ἄθλια θέση
καὶ νὰ ἐπιμένεις σταθερὰ στὸ κλάμα καὶ στὴ λύπη,
αἰφνίδια θὰ ξαναφανεῖ νὰ σὲ ξαναφωτίσει,
πάλι τὸν ἀνεξάντλητο πλοῦτο του θὰ σοῦ δείξει,
τὴ δόξα τὴν ἀμάραντη τῆς ὄψης τοῦ Πατέρα,
καὶ θὰ σ' εὐφράνει ὅπως καὶ πρὶν χαρὰ γεμίζοντάς σε

96. Α' Πέτρ. 2,21. 98. Φιλ. 3,12. 110. Β' Κορ. 3,7.

*καὶ οὕτω καταλείψει σε τῆς χαρᾶς πεπλησμένην.*
*Κατὰ μικρὸν δὲ ἡ χαρὰ τοῖς ἐκ τοῦ κόσμου λόγοις*
*καὶ λογισμοῖς ἐκλείψει σε καὶ προσέσται σοι λύπη,*
*καὶ οὕτω πάλιν ὡς τὸ πρὶν ἔσῃ σφοδρῶς θρηνοῦσα*
*καὶ κοκυτῷ κραυγάζουσα κἀκεῖνον ἐκζητοῦσα,*
*τὸν εὐφροσύνης πάροχον, τὸν τῆς χαρᾶς δοτῆρα,*
*τὸν πλοῦτον τὸν ἱστάμενον καὶ ἀεὶ ὄντως ὄντα.*
*Οὕτω σου τὴν προαίρεσιν δοκιμάζοντος βλέπε,*
*μὴ ἀποκάμῃς, ὦ ψυχή, μὴ στραφῇς εἰς τοὐπίσω,*
*μὴ εἴπῃς· Μέχρι πότε μοι ἄληπτος οὕτως ἔσται;*
*μὴ εἴπῃς· Τί φαινόμενος εὐθὺς κρύπτεται πάλιν*
*καὶ ἕως πότε κόπους μοι οὐκ ἐλεεῖ παρέχειν;*
*μὴ εἴπῃς· Πῶς δὲ δύναμαι κοπιᾶν μέχρι τέλους;*
*καὶ κατοκνήσῃς, ὦ ψυχή, ἐκζητεῖν τὸν Δεσπότην,*
*ἀλλ' ὡς πρὸς θάνατον σαυτὴν ἅπαξ, ψυχή, ἐκδοῦσα*
*μὴ ψηλαφήσῃς ἄνεσιν, μὴ ἐκζητήσῃς δόξαν,*
*μηδὲ τρυφὴν τοῦ σώματος, μὴ συγγενῶν φιλίαν,*
*μὴ περιβλέψῃ δεξιᾷ, μὴ εὐωνύμῳ ὅλως,*
*ἀλλ' ὡς ἐνήρξω, μᾶλλον δὲ θερμοτέρως δραμοῦσα*
*σπεῦσον ἀεὶ καταλαβεῖν, δράξασθαι τοῦ Δεσπότου!*
*Κἂν μυριάκις ἄφαντος, τοσαυτάκις φανής σοι*
*γένηται καὶ ὁ ἄληπτος οὕτως ἔσται ληπτός σοι,*
*μυριοντάκις, μᾶλλον δὲ ἕως πνέεις ὅλως,*
*προθυμοτέρως ζήτησον καὶ πρὸς ἐκεῖνον δράμε!*
*Καὶ γὰρ οὐ καταλείψει σε, οὐκ ἐπιλήσεταί σου,*
*κατὰ μικρὸν δὲ μάλιστα ἐπὶ πλεῖον φανεῖται*
*καὶ συχνοτέρως σοι, ψυχή, συνέσται ὁ Δεσπότης*
*καὶ καθαρθεῖσαν τέλεον τοῦ φωτὸς τῇ ἐλλάμψει*
*ὅλος αὐτὸς ἐλεύσεται, αὐτὸς ἐγκατοικήσει,*
*αὐτὸς καὶ ἔσται μετὰ σοῦ ὁ τὸν κόσμον ποιήσας,*
*καὶ πλοῦτον ἕξεις ἀληθῆ ὃν ὁ κόσμος οὐκ ἔχει,*

---

120. Λουκᾶ 17,31.
131. Φιλ. 3,13.
141. Πράξ. 17,24.

καὶ θὰ σ' ἀφήσει φεύγοντας ἀπὸ χαρὰ γεμάτο.
Μὰ λίγο λίγο τὴ χαρὰ θὰ διώξουνε τοῦ κόσμου
τὰ λόγια καὶ οἱ λογισμοὶ καὶ θὲ νὰ σοῦρθει ἡ λύπη
καὶ πάλι ὅμοια ὡς καὶ πρὶν γοεροὺς θ' ἀρχίσεις θρήνους,
θὰ κράζεις μ' ἀναφιλητὰ καὶ θὰ καλεῖς Ἐκεῖνον,
πού 'ναι εὐφροσύνης πρόξενος καὶ τῆς χαρᾶς δοτήρας,
ὁ πλοῦτος ὁ ἀδαπάνητος καὶ ποὺ στ' ἀλήθεια μένει.
Νὰ δοκιμάζει βλέποντας ἔτσι τὴν πρόθεσή σου
μὴν ἀποκάμεις, ὦ ψυχή, καὶ μὴ γυρίσεις πίσω,
μὴν πεῖς· Ὡς πότε ἀσύλληπτος ἔτσι θὰ μοῦ ξεφεύγεις;
μὴν πεῖς· Πῶς ἐνῶ φαίνεται, κρύβεται πάλι ἀμέσως
κι ὡς πότε ἀνελέητος θὰ μὲ φορτώνεις κόπους;
Μὴν πεῖς· Πῶς θὰ μπορέσω ἐγὼ ὡς τὸ τέλος νὰ ὑποφέρω;
καὶ νὰ ζητεῖς τὸν Κύριο δειλιάσεις, ὦ ψυχή μου,
ἀλλὰ σὰ νά 'χεις πιὰ δοθεῖ στὸ θάνατο, ψυχή μου,
μὴν ψάξεις γιὰ ξεκούραση καὶ μὴ ζητήσεις δόξα,
ἀπόλαυση σωματικὴ καὶ συγγενῶν ἀγάπη,
μὴ ρίξεις βλέμματα δεξιὰ κι ἀριστερὰ καθόλου,
μὰ βιάσου ὅπως ἄρχισες καὶ πιὸ θερμὰ ἀκόμα
γιὰ νὰ προλάβεις τρέχα ἐμπρὸς τὸν Κύριο νὰ φτάσεις.
Κι ἂν ἄφαντος μύριες φορὲς γίνει καὶ μύριες πάλι
φανερωθεῖ κι ὁ ἀσύλληπτος ἔτσι πιαστεῖ ἀπὸ σένα,
μύριες φορὲς καὶ πιὸ καλὰ ὅσο πνοὴ σοῦ μένει
ζήτα τον προθυμότερα καὶ πρὸς Ἐκεῖνον τρέχα.
Δὲ θὰ σ' ἀφήσει βέβαια κι οὔτε θὰ σὲ ξεχάσει
καὶ λίγο λίγο νὰ σοῦ πῶ θὰ σοῦ φανεῖ πιὸ τέλεια
καὶ πιὸ συχνὰ ὁ Κύριος, ψυχή, θά 'ναι μαζί σου·
κι ἀφοῦ πιὰ τέλεια καθαρθεῖς μὲ τοῦ φωτὸς τὴ λάμψη,
ἀκέραιος θά 'ρθει πιὰ σ' ἐσὲ νὰ κατοικήσει ἐντός σου
καὶ θά 'ναι αὐτὸς μαζὶ μ' ἐσὲ τὸν κόσμο ποὺ ἔχει πλάσει
καὶ θά 'χεις πλούτη ἀληθινὰ ποὺ δὲν τὰ ἔχει ὁ κόσμος,

120. Τονίζεται ἡ ἀνάγκη τῆς ἐπιμονῆς στὴν κατάκτηση τοῦ Χριστοῦ.

*ἀλλ᾽ οὐρανὸς καὶ οἱ ἐκεῖ ἐναπογεγραμμένοι.*
*Εἰ οὕτω σοι γενήσεται, εἰπέ, τί πλέον θέλεις;*
*Εἰπέ, ψυχὴ ἀχάριστε, εἰπέ, ψυχὴ ἀγνῶμον,*
*εἰπέ, ψυχή μου ταπεινή, τί τούτων μεῖζον ἔστιν*
*ἐν οὐρανοῖς εἴτ᾽ ἐν τῇ γῇ, ἵν᾽ ἐκεῖνο ζητήσῃς;*
*Τοῦ οὐρανοῦ ὁ ποιητὴς καὶ τῆς γῆς ὁ Δεσπότης*
*καὶ πάντων τῶν ἐν οὐρανῷ καὶ πάντων τῶν ἐν κόσμῳ*
*κτίστης, κριτὴς καὶ βασιλεὺς αὐτὸς ὑπάρχων μόνος*
*ἐν σοὶ ὑπάρχει κατοικῶν, ὅλος δεικνύμενός σοι,*
*ὅλος ἐλλάμπων σε φωτὶ καὶ κάλλος ὑποφαίνων*
*τὸ τοῦ προσώπου, καὶ αὐτὸν ἐκτυπώτερον βλέπειν*
*παρέχων σοι καὶ κοινωνὸν δόξης σε τῆς ἰδίας*
*ἀπεργαζόμενος. Εἰπέ, τί τούτου μεῖζον ἄλλο;*
*–Πάντως οὐδέν, μοι προσερεῖς–. Ἐγὼ δὲ πάλιν λέγω·*
*Τοιαύτης δόξης, ὦ ψυχή, σὺ καταξιωθεῖσα*
*τί ἔτι κέχηνας πρὸς γῆν, τί δὲ θέλγῃ τοῖς ὧδε,*
*τί τοῖς φθαρτοῖς προστέτηκας τὰ ἄφθαρτα λαβοῦσα,*
*τί τοῖς παροῦσι πρόσκεισαι τὰ μέλλοντα εὑροῦσα;*
*Ἐκεῖνα σπούδασον, ψυχή, διηνεκῶς κεκτῆσθαι,*
*ἐκείνοις ὅλην σεαυτὴν προσκόλλησον, ψυχή μου,*
*ἵνα καὶ μετὰ θάνατον ἐν αὐτοῖς εὑρεθήσῃ*
*τοῖς αἰωνίοις ἀγαθοῖς, οἷς ἐντεῦθεν ἐκτήσω,*
*καὶ σὺν αὐτοῖς τῷ ποιητῇ παραστῇς καὶ Δεσπότῃ*
*εὐφραινομένη σὺν αὐτῷ εἰς αἰῶνας αἰώνων.*
*Ἀμήν.*

ἀλλὰ μονάχα ὁ οὐρανὸς κι ὅσοι εἶναι ἐκεῖ γραμμένοι.
῞Αν κάτι τέτοιο σοῦ συμβεῖ, τί θέλεις παραπάνω;
Πές μου, ἀχάριστη ψυχή, χωρὶς εὐγνωμοσύνη,
πές μου, ψυχή μου ταπεινή, τί εἶναι ἀπ' αὐτὰ πιό μέγα
στοὺς οὐρανοὺς εἴτε στὴ γῆ, κι ἐκεῖνο νά γυρέψεις;
Ὁ ποιητὴς τῶν οὐρανῶν καὶ τῆς γῆς ὁ Δεσπότης,
ὅσων εἶναι στὸν οὐρανὸ κι ὅσων στὴ γῆ εἶναι ὁ κτίστης
μά καὶ ὁ κριτὴς κι ὁ βασιλιὰς ὄντας αὐτὸς μονάχα,
νάτος ποὺ ἐντός σου κατοικεῖ κι ἀκέριος δείχνεταί σου,
ἀκέριος μὲ τὴ λάμψη του σὲ φέγγει καὶ τὸ κάλλος
σοῦ δείχνει τοῦ προσώπου του καὶ πιὸ ἔντονα σὲ κάνει
νά τὸν θωρεῖς καὶ κοινωνὸ τῆς ἴδιας του τῆς δόξας
σὲ δείχνει, μεγαλύτερο ποιό εἶν' ἀπὸ τοῦτο ἄλλο;
Τίποτε δὲ θ' ἀποκριθεῖς καὶ θὰ ξαναρωτήσω.
῞Αν ἀξιωθεῖς ἐσύ, ψυχή, τόσο μεγάλη δόξα,
πῶς σὲ θαμπώνει ἀκόμα ἡ γῆ καὶ σὲ τραβοῦν τὰ γήινα,
κι ἐνῶ ἔλαβες τὰ ἄφθαρτα γιά τὰ φθαρτὰ ὑποφέρεις,
πῶς στά παρόντα κόλλησες, τὰ μέλλοντα ἐνῶ βρῆκες;
Ἐκεῖνα φρόντιζε, ψυχή, συνέχεια ν' ἀποχτήσεις,
τὸν ἑαυτό σου ὁλόκληρο δέσε μ' αὐτά, ψυχή μου,
ἀνάμεσά τους νὰ βρεθεῖς μετὰ τὸ θάνατό μου
στὰ αἰώνια μέσα τ' ἀγαθὰ ποὺ ἐδῶ ἔχεις ἀποχτήσει,
καὶ στὸν ποιητὴ νὰ παραστεῖς μ' αὐτὰ καὶ στὸ Δεσπότη
χαρὰ μεστὴ μαζι μ' αὐτὸν στοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

143. Ἑβρ. 12,23.
154. Α΄ Πέτρ. 5,1.
163. Φιλ. 3,9.

## ΜΘ'

**Ὅτι οὐκ ἔστιν, ὅτε καὶ διὰ τῆς εἰς τὸν πλησίον ἐπιμελείας καὶ διορθώσεως συγκατασπᾶσθαι τὸν διδάσκαλον εἰς τὴν ἐνοῦσαν ἐκείνῳ τοῦ πάθους ἀσθένειαν.**

*Ἐλέησόν με, Κύριε, ἐλέησόν με, μόνε,*
*ὁ ἐκ νηπίας με, Σωτήρ, σκεπάσας ἡλικίας,*
*ὁ πάμπολλά μοι πταίσαντι, ἐν ἐπιγνώσει ὄντι,*
*οἰκείᾳ ἀγαθότητι ἅπαντα συμπαθήσας,*
*ὁ κόσμου με ρυσάμενος τοῦ δεινοῦ καὶ ματαίου*
*καὶ συγγενῶν καὶ φίλων τε καὶ ἡδονῶν ἀτόπων*
*κἀνταῦθα ἀξιώσας με ὡς ἐν ὄρει καθίσαι*
*καὶ δείξας μοι τὴν δόξαν σου τὴν θαυμαστήν, Θεέ μου,*
*καὶ Πνεύματος ἐμπλήσας με τοῦ Θείου σου, Χριστέ μου,*
*καὶ φωτισμοῦ πνευματικοῦ ὅλον με ἐμφορήσας!*
*Αὐτὸς ἀμεταμέλητον τὴν χάριν σου, Θεέ μου,*
*παράσχου μοι τῷ δούλῳ σου εἰς τέλος ὁλοκλήρως!*
*Μὴ ἀντανέλῃς, Δέσποτα, μὴ ἀποστρέψῃς, κτίστα,*
*μηδὲ παρίδῃς ἅπαξ με πρὸ προσώπου σου στήσας*
*καὶ κατατάξας ἐν τοῖς σοῖς δούλοις με καὶ σφραγίσας*
*σφραγῖδι σου τῆς χάριτος σόν με ἐπονομάσας!*
*Μὴ πάλιν ἀπορρίψῃς με, μὴ πάλιν ἀποκρύψῃς*
*τὸ φῶς τὸ τοῦ προσώπου σου, κἀμὲ καλύψῃ σκότος*
*καὶ καταπίῃ ἄβυσσος καὶ σύσχῃ οὐρανός με,*
*ὃν ὑπεράνωθεν αὐτοῦ ἀνήγαγες, Σωτήρ μου,*
*καὶ σὺν ἀγγέλοις, μᾶλλον δὲ σὺν σοὶ τῷ πάντων κτίστῃ*

---

7. Ματθ. 17,1. 8. Ἐξ. 33,18.
13. Ψαλμ. 50,13.

## 49

**Πολλὲς φορὲς κατὰ τὴν ἐπιμέλειά του γιὰ τὴ διόρθωση τοῦ πλησίον του ὁ δάσκαλος παρασύρεται ἀπὸ τὴν ἀσθένεια τοῦ πάθους ποὺ ὑπάρχει στὸν πλησίον.**

Δεῖξε μου ἔλεος, Κύριε, δεῖξε μου ἔλεος, μόνε,
ποὺ ἀπὸ μικρὸ μὲ σκέπασες, Χριστέ, μὲ τά φτερά σου,
καὶ τ' ἄπειρα ποὺ ἁμάρτησα, ὅπως καλὰ γνωρίζω,
ἐσὺ μοῦ τὰ συμπάθησες ὅλα ἀπὸ καλοσύνη·
ἀπὸ τὸν κόμο μ' ἔσωσες τὸ φοβερὸ καὶ μάταιο,
τοὺς φίλους καὶ τοὺς συγγενεῖς, τὶς αἰσχρὲς ἀπολαύσεις·
μ' ἀξίωσες ἐπάνω ἐδῶ σὰν σὲ ὄρος νά καθίσω,
ἀφοῦ τὴ δόξα μοῦ 'δειξες τὴ θαυμαστή, Θεέ μου,
κι ἀπὸ τὸ θεῖο τὸ Πνεῦμα σου μὲ γέμισες, Χριστέ μου,
μὲ φωτισμὸ πνευματικὸ τὸ εἶναι μου πλημμυρώντας!
Ἐσὺ κι ἀμεταμέλητη τὴ χάρη σου, Θεέ μου,
δῶσε σ' ἐμὲ τὸ δοῦλο σου κι ὁλόκληρη ὣς τὸ τέλος.
Δέσποτα, μὴν ἀποσυρθεῖς, μὴ φύγεις ἀπὸ μένα,
μὴ δεῖς ἀλλοῦ, σὰν μ' ἔστησες ἀπέναντί σου, κτίστη,
μ' ἔβαλες μὲ τοὺς δούλους σου μαζὶ σφραγίζοντάς με
μὲ τὴ σφραγίδα σου, Χριστέ, καλώντας με δικό σου.
Μὴ μ' ἀπορρίψεις πάλι πιά, μὴν κρύψεις ἀπὸ μένα
τοῦ ἅγιου προσώπου σου τὸ φῶς καὶ μὲ σκεπάσει σκότος
καὶ μὲ ρουφήξει ἡ ἄβυσσος κι ὁ οὐρανὸς μὲ πνίξει,
ὅπου ψηλότερα ἀπ' αὐτὸν μ' ἀνέβασες, Σωτήρα,
κι ἄξιο μὲ τοὺς ἀγγέλους σου μ' ἔκανες ἢ μ' ἐσένα

---

19. Ψαλμ. 68,15.

7. Πρόκειται φυσικὰ γιὰ τὸ Θαβώρ, τὸ ὄρος τῆς Μεταμόρφωσης.

*συνεῖναι κατηξίωσας καὶ συναγάλλεσθαί σοι*
*καὶ βλέπειν τὴν ἀσύγκριτον τοῦ σοῦ προσώπου δόξαν*
*τοῦ ἀπροσίτου τε φωτὸς εἰς κόρον ἀπολαύειν*
*καὶ χαίρειν καὶ εὐφραίνεσθαι ἄρρητον εὐφροσύνην*
*τῇ συνουσίᾳ, Δέσποτα, τῆς σῆς ἀφράστου αἴγλης.*
*Κατατρυφῶν δὲ τοῦ φωτὸς ἐκείνου τοῦ ἀρρήτου*
*ἐσκίρτων, ἔχαιρον σὺν σοὶ τῷ ποιητῇ καὶ πλάστῃ,*
*ἀμήχανον κατανοῶν κάλλος τοῦ σοῦ προσώπου.*
*Ἐπεὶ δὲ πάλιν πρὸς τὴν γῆν κατήγαγον τὸν νοῦν μου,*
*πεφωτισμένος ὢν ἐν σοί, οὐκ ἔβλεπον τὸν κόσμον*
*οὐδὲ τὰ ὄντα πράγματα, Δέσποτα, ἐν τῷ κόσμῳ,*
*ἀλλ' ὑπεράνω τῶν παθῶν καὶ μεριμνῶν ὑπῆρχον*
*καὶ πράγμασι στροβούμενος καὶ τὰ κακὰ ἐλέγχων.*
*Οὐκ ἐκοινώνουν μὲν τὸ πρὶν κακίαις ἀνθρωπίναις·*
*ὡς δ' ἐγχρονίσας ἐν αὐτοῖς τὰ ἄλλων προεθέμην*
*καὶ φιλονείκοις, Δέσποτα, συνυπήχθην ἀνδράσιν,*
*ἐλπίδι διορθώσεως μετέσχον τῆς κακίας*
*καὶ σκότους, οἴμοι, τῶν παθῶν μετέλαβον ἀφρόνως*
*καὶ κρατηθεὶς ὑπὸ θηρῶν ἀγρίων κινδυνεύω.*
*Ἄλλους ἐκσπᾶσαι θέλων γὰρ λύμης γε τῆς ἐκείνων*
*αὐτὸς πρῶτον κατάβρωμα γέγονα τοῖς θηρίοις*
*Ἀλλὰ προφθάσας οἴκτειρον, ἀλλὰ ταχύνας ῥῦσαι*
*τὸν διὰ σέ, φιλάνθρωπε, ἐν τούτοις ἐμπεσόντα!*
*Κατὰ τὴν σὴν γὰρ ἐντολὴν τέθεικα, ἐλεήμων,*
*ψυχὴν τὴν παναθλίαν μου ὑπὲρ τῶν ἀδελφῶν μου·*
*εἰ οὖν ἐτρώθην, δύνασαι ἰάσασθαί με, Σῶτερ,*
*εἰ ἐκρατήθην παρ' ἐχθρῶν, αἰχμάλωτος ὁ τάλας,*
*ἀλλὰ αὐτὸς ὡς δυνατὸς καὶ ἰσχυρὸς εἰς ἅπαν*
*ἰσχύεις ἐκλυτρώσασθαι θελήματί σου μόνῳ·*
*εἰ καὶ θηρίων στόμασι καὶ χερσὶ κατελήφθην,*
*ἀλλὰ φανέντος θνήξονται εὐθύς, ἐγὼ δὲ ζήσω.*

24. Α' Τιμ. 6,16. 42. Ἰεζ. 34,5.
46. Α' Ἰω. 3,16. 53. Ἐξ. 34,6.

μᾶλλον τὸν κτίστη τοῦ παντὸς νὰ ζῶ ἀναγαλλιώντας,
νὰ βλέπω τὴν ἀσύγκριτη τοῦ προσώπου σου δόξα,
τ' ἀπρόσιτο ἀπολαύοντας φῶς σου νὰ μὴ χορταίνω,
χαρὰ νὰ νιώθω ἀνείπωτη κι ἀνέκφραστη εὐφροσύνη,
πλέοντας στὴν ἀπερίγραπτη τὴν αἴγλη σου, Σωτήρα.
Κι ἀπολαμβάνοντας τὸ φῶς τὸ ἀνείπωτο ἐκεῖνο
σκιρτοῦσα κι ἔχαιρα μ' ἐσὲ τὸν πλάστη καὶ ποιητή μου,
νοώντας τὸ ἀνυπέρβλητο τοῦ πρόσωπού σου κάλλος.
Μὰ ὅταν πάλι πρὸς τὴ γῆ κατέβηκε ὁ νοῦς μου
ἀπὸ τὸ φῶς σου λάμποντας δὲν ἔβλεπα τὸν κόσμο,
οὔτε ὅσα ὑπῆρχαν πράγματα, Δέσποτα, μὲς στὸν κόσμο,
ἀλλὰ στεκόμουν πιὸ ψηλὰ ἀπὸ μέριμνες καὶ πάθη
καὶ μ' ἔσερναν τὰ πράγματα μὰ ἔλεγχα τὶς κακίες.
Ἤμουν πιὸ πρὶν ἀμέτοχος ἀπὸ κακίες ἀνθρώπων·
ζώντας ὅμως πολὺ μ' αὐτοὺς ἄλλων ἀνέλαβα ἔργο
καί, ὦ Κύριε, ἀναμίχθηκα μὲ φιλόνεικους ἄνδρες,
μ' ἐλπίδα νὰ διορθωθοῦν μπλέχτηκα στὴν κακία,
μέσα στὸ σκότος τῶν παθῶν βούλιαξα δίχως γνώση
καὶ κινδυνεύω αἰχμάλωτος θηρίων αἱμοβόρων.
Ἀπ' τὴ βρωμιά τους θέλοντας νὰ ἀποσπάσω ἄλλους,
ὁ ἴδιος πρῶτος ἔγινα τροφὴ στ' ἄγρια θηρία.
Πρόφτασε καὶ σπλαχνίσου με καὶ βιάσου νὰ μὲ σώσεις,
εὔσπλαχνε, ποὺ γιὰ χάρη σου μὲ τούτους ἔχω μπλέξει.
Γιατί, ὦ ἐλεήμων, ἔδωσα κατὰ τὴν ἐντολή σου
τὴν παναθλία μου ψυχὴ χάρη τῶν ἀδελφῶν μου.
Σωτήρα μου, ἂν λαβώθηκα, μπορεῖς νὰ μὲ γιατρέψεις
κι ἂν οἱ ἐχθροὶ μὲ πιάσανε σὰν ἄθλιο αἰχμάλωτό τους,
ὅμως σὰν παντοδύναμος καὶ ἰσχυρὸς ποὺ εἶσαι
νὰ μὲ λυτρώσεις δύνασαι νὰ τὸ θελήσεις μόνο·
Κι ἂν σὲ θηρίων πιάστηκα τὸ στόμα καὶ στὰ χέρια,
θὰ σβήσουνε μόλις φανεῖς εὐθὺς κι ἐγὼ θὰ ζήσω.

41–42. Εἶναι καὶ αὐτὸς πραγματικὸς κίνδυνος, στὸν ὁποῖο ἀναφέρεται ὁ ὕμνος.

*Ναί, ὁ πολὺς ἐν οἰκτιρμοῖς, ἄφατος ἐν ἐλέει,*
*ἐλέησον, οἰκτείρησον ἐμὲ τὸν πεπτωκότα!*
*Κατῆλθον ἐν τῷ φρέατι ρύσασθαι τὸν πλησίον*
*καὶ συγκατέπεσα κἀγώ, δικαιοκρίτα Σῶτερ·*
*μή με ἐάσῃς κείμενον εἰς τέλος ἐν τῷ βόθρῳ!*
*Ναί, οἶδα ὡς προσέταξας, πανοικτίρμων Θεέ μου,*
*ὅτι χρὴ πάντως ρύεσθαι τὸν ἀδελφὸν θανάτου*
*καὶ ἁμαρτίας δήγματος, ἀλλ' οὐ δι' ἁμαρτίας*
*συναπολέσθαι μετ' αὐτοῦ – ὃ πέπονθα ὁ τάλας*
*καὶ ρᾳθυμήσας πέπτωκα ἐμαυτῷ γε θαρρήσας –,*
*ἀλλὰ κἀκεῖνον ρύεσθαι καὶ ἐμαυτὸν ὡσαύτως,*
*εἰ δὲ μή, μένειν ἄνωθεν καὶ θρηνεῖν τὸν πεσόντα*
*καὶ φεύγειν, ὅση δύναμις, τὸ πεσεῖν σὺν ἐκείνῳ.*
*Ἀλλ' οὖν καὶ νῦν ἀνάστησον, ἀνάγαγε τοῦ χάους*
*καὶ στῆσον ἐπὶ πέτραν με, Χριστέ, τῶν ἐντολῶν σου*
*καὶ δεῖξον πάλιν μοι τὸ φῶς, ὃ οὐ χωρεῖ ὁ κόσμος,*
*ἀλλ' ἔξω κόσμου καὶ φωτὸς ὁρατοῦ καὶ ἀέρος*
*τοῦ αἰσθητοῦ καὶ οὐρανοῦ αἰσθητῶν τε ἁπάντων*
*ἀποτελεῖ γε τὸν αὐτό, Σῶτέρ μου, καθορῶντα·*
*εἴτε χωρὶς τοῦ σώματος, εἴτε σὺν τούτῳ ὅλως,*
*μὴ ἐπιστάμενος, Θεέ, κατὰ τὴν τότε ὥραν,*
*δοκῶ δέ, ὥσπερ ἄϋλος φωστὴρ ὑπάρχων τότε*
*τῷ κάλλει τε τοῦ νοητοῦ λαμπόμενος ἡλίου,*
*τὸ ἑαυτοῦ οὐ καθορᾶν ἰσχύει φῶς αἰσθήσει,*
*ἐκεῖνον μόνον δὲ ὁρᾷ τὸν ἄδυτον φωστῆρα*
*ἀμήχανον κατανοῶν κάλλος αὐτοῦ τῆς δόξης,*
*καὶ ἐκπληττόμενος σφοδρῶς καταμαθεῖν οὐκ ἔχει,*
*οὔτε κατανοήσασθαι τὸν θεωρίας τρόπον,*
*τὸ πῶς ἢ ποῦ ὁ πανταχοῦ ἀνερμηνεύτως πέλων*
*ὁρᾶται, περιγράφεται θέλων ἐν τοῖς ἁγίοις.*
*Τοῦτο δὲ ἴσμεν ἅπαντες τῶν τοιούτων οἱ μύσται,*

---

67. Ἐξ. 33,21.
72. Β' Κορ. 12,3.

Ναί, οἱ οἰκτιρμοί σου ἀμέτρητοι κι ἄφατο τὸ ἔλεος,
ἐλέησον καὶ σπλαχνίσου με ἐμένα ποὺ ἔχω πέσει.
Μὲς στὸ πηγάδι γλίστρησα τὸ διπλανὸ νὰ σώσω
καὶ κάτω βρέθηκα κι ἐγώ, Σωτήρα δικαιοκρίτη.
Ὡς τὰ στερνὰ νὰ κείτομαι στὸ λάκκο μὴν ἀφήσεις.
Ναί, ξέρω καθὼς πρόσταξες, πανεύσπλαχνε Θεέ μου,
τὸν ἀδελφὸ ἀπ' τὸ θάνατο νὰ σώζομε πὼς πρέπει
κι ἀπὸ ἁμαρτίας τὸ δάγκωμα, ἀλλὰ ὄχι μὲ ἁμαρτία
μαζί του νά χαθῶ κι ἐγὼ –μ' αὐτὸ ἔχω πάθει ὁ δόλιος,
καὶ ραθυμώντας ἔπεσα θαρρώντας στὸν ἑαυτό μου–
νὰ σώσω ἐκεῖνον ἔπρεπε ἀλλὰ κι ἐμὲ τὸν ἴδιο·
ἀλλιῶς ἐπάνω ἂς ἔμενα τὸν ποὺ ἔπεσε νὰ κλαίω
κι ὅσο μποροῦσα ἂς ξέφευγα μαζὶ μ' αὐτὸν νὰ πέσω.
Μὰ σήκωσέ με τώρα πιά, βγάλε με ἀπὸ τὸ χάος,
πάνω στὴν πέτρα στῆσε με, Χριστέ, τῶν ἐντολῶν σου
καὶ ξαναδεῖξε μου τὸ φῶς, ποὺ δὲ χωράει ὁ κόσμος,
μὰ ἔξω ἀπ' τὸν κόσμο τὸ ὁρατὸ τὸ φῶς καὶ τὸν αἰθέρα
τὸν αἰσθητό, τὸν οὐρανὸ καὶ τὰ αἰσθητὰ ὅλα ἀντάμα
βγάζει, Σωτήρα μου, αὐτὸν ποὺ μπορεῖ καὶ τὸ βλέπει.
Κι ἂν βγαίνει μὲ τὸ σῶμα του εἴτε μὲ δίχως τοῦτο
δὲν τὸ γνωρίζει, Κύριε, κατὰ τὴν ὥρα ἐκείνη,
ἀλλὰ θαρρῶ σὰν ἄυλο λαμπρὸ ἀστέρι τότε,
ποὺ λάμπει μὲ τὴν ὀμορφιὰ τοῦ νοητοῦ ἡλίου,
ἀδυνατεῖ ἀληθινὰ νὰ δεῖ τὸ φῶς του τὸ ἴδιο
καὶ μόνο τὸ ἀβασίλευτον ἄστρο θωρεῖ ἐκεῖνο,
νοώντας τ' ἀνυπέρβλητο τῆς δόξας του τὸ κάλλος
κι ἀπ' τὴ σφοδρὴ κατάπληξη ἀδυνατεῖ νὰ μάθει
ἀκόμα καὶ ν' ἀντιληφθεῖ τῆς θεωρίας τὸν τρόπο,
πῶς ἢ ποῦ ὁ ἀνεξήγητα σὲ κάθε τόπο ὑπάρχων
βλέπεται, περιορίζεται θέλοντας στοὺς ἁγίους.
Μὰ ὅλοι οἱ γνῶστες ξέρομε αὐτῶν τῶν μυστηρίων,

78. Ἀμήχανο εἶναι τὸ κάλλος τῆς δόξας του, δηλαδὴ δὲν μπορεῖ νὰ τὸ ἀντικρίσει ὁ ἄνθρωπος καὶ νὰ τὸ οἰκειωθεῖ, ἐμβάλλει σ' ἀμηχανία.

*ὅτι τοῦ κόσμου ἔξωθεν τότε ἐν ἀληθείᾳ*
*γινόμεθα καὶ μένομεν, ἄχρις αὐτὸ ὁρῶμεν,*
*καὶ πάλιν εὑρισκόμεθα ἐν σώματι καὶ κόσμῳ.*
*Μεμνημένοι δὲ τῆς χαρᾶς καὶ τοῦ φωτὸς ἐκείνου*
*καὶ τῆς γλυκείας ἡδονῆς θρηνοῦμεν καὶ πενθοῦμεν,*
*ὥσπερ παιδίον νήπιον καθορῶν τὴν μητέρα*
*καὶ μεμνημένον γάλακτος γλυκασμοῦ κλαυθμυρίζει,*
*ἕως ἐκείνου δράξηται καὶ εἰς κόρον θηλάσῃ.*
*Τοῦτο αἰτούμεθα καὶ νῦν, τοῦτό σε δυσωποῦμεν,*
*τοῦτο προσπίπτομεν λαβεῖν ἀναφαίρετον, Σῶτερ,*
*ὅπως καὶ νῦν τρεφώμεθα, πανοικτίρμον, ἐκ τούτου*
*τοῦ ἄρτου τοῦ ἐξ οὐρανοῦ νοητῶς κατιόντος*
*καὶ πᾶσι τοῖς μετέχουσι ζωῆς μεταδιδόντος,*
*καὶ ἀπιόντος καὶ πρὸς σὲ τὴν πορείαν ποιοῦντες*
*συνοδοιπόρον ἕξωμεν, βοηθόν τε καὶ ρύστην*
*καὶ σὺν αὐτῷ καὶ δι' αὐτοῦ προσαχθῶμέν σοι, Σῶτερ,*
*καὶ ἐν τῇ κρίσει τῇ φρικτῇ τὰς ἡμῶν ἁμαρτίας*
*αὐτὸ σκεπάσῃ, Δέσποτα, τοῦ μὴ ἐκκαληφθῆναι*
*μηδὲ φανῆναι ἅπασιν ἀγγέλοις καὶ ἀνθρώποις,*
*ἀλλὰ καὶ ἱμάτιον ἡμῖν γένηται λαμπροφόρον*
*καὶ δόξα καὶ διάδημα εἰς αἰῶνας αἰώνων.*
*Ἀμήν.*

---

95. Ἰω. 6,31 ἑ.

ὅτι στ' ἀλήθεια βγαίνομε ἔξω ἀπ' τὸν κόσμο τότε
κι ἔξω ἀπ' τὸν κόσμο μένομε ὅσο ποὺ τὸ θωροῦμε
κι ἔπειτα ξαναρχόμαστε στὸ σῶμα καὶ στὸν κόσμο.
Κι ἔχοντας τὴ χαρὰ στὸ νοῦ ὡς καὶ τὸ φῶς ἐκεῖνο
καὶ τὴ γλυκύτατη ἡδονή, θρηνοῦμε καὶ πενθοῦμε,
καθὼς παιδάκι νήπιο τὴ μάννα του ποὺ βλέπει
καὶ κλαίει τὸ γάλα τὸ γλυκὸ καθὼς στὸ νοῦ του φέρνει,
ὡσότου ἀρπάξει τὸ μαστὸ κι ἀχόρταγα τὸ θηλάσει.
Αὐτὸ τώρα γυρεύομε καὶ σὲ παρακαλοῦμε,
Σωτήρα, σοῦ προσπέφτομε καὶ δῶστο μας γιὰ πάντα
καὶ τώρα νὰ ἔχομε τροφή, πανεύσπλαχνε, ἀπὸ τοῦτον
τὸν ἄρτο ποὺ ἄπ' τὸν οὐρανὸ νοητὰ κατεβαίνει
καὶ σ' ὅλους ποὺ τὸν κοινωνοῦν ζωὴ τοὺς μεταδίνει
καὶ φεύγοντας καὶ πρὸς ἐσὲ βαδίζοντας, Θεέ μου,
συνοδοιπόρο νὰ 'χομε, βοηθό μας καὶ σωτήρα,
μαζὶ καὶ μὲ τὴ χάρη του σ' ἐσὲ νὰ ὁδηγηθοῦμε
κι ἔτσι στὴν κρίση τὴ φρικτὴ ἐκεῖνο νὰ σκεπάσει
τὶς ἁμαρτίες μας, Δέσποτα, νὰ μὴ ξεσκεπαστοῦνε
κι οὔτε σὲ ὅλους νὰ φανοῦν ἀγγέλους καὶ ἀνθρώπους,
ἀλλὰ καὶ ἱμάτιο γιὰ μᾶς ἀστραφτερὸ νὰ γίνει
καὶ δόξα καὶ διάδημα στοὺς αἰῶνες τῶν αἰώνων.
'Αμήν.

---

95. Τὰ τίμια δῶρα εἶναι ἡ ζωὴ τοῦ πιστοῦ, ὅπως τὸ γάλα τροφὴ καὶ ζωὴ τῶν παιδιῶν. Συντηροῦν καὶ συνοδεύουν τὸ Χριστιανὸ τώρα καὶ στὴν ἐκδημία του.

## Ν'

### *Περὶ θεωρίας Θεοῦ καὶ θείων πραγμάτων καὶ ἁγίου Πνεύματος παραδόξου ἐνεργείας· καὶ περὶ τῶν ἰδίων τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος· καὶ ὅτι ὁ μὴ φθάσας εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν οὐδὲν ὠφεληθήσεται, κἂν ἐκτὸς γένηται τῶν τοῦ ᾅδου κολάσεων.*

*Τί τὸ ἐν ἐμοὶ παρὰ σοῦ εἰργασμένον,*
*ὦ τῶν πάντων αἴτιε Θεὲ καὶ μέδον;*
*Τί γὰρ καὶ εἴπω, τί δ' ἄρα ἐννοήσω;*
*Μέγα μὲν ἐμοὶ τὸ ὁρώμενον θαῦμα,*
*ἄγνωστον δ' ἐστὶ καὶ ἀόρατον πᾶσι.–*
*Ποῖον τοῦτο, λέξον μοι; –Πιστῶς ἐξείπω·*
*Σκότει καὶ σκιᾷ, αἰσθητοῖς καὶ αἰσθήσει,*
*κτίσει ἐνύλῳ, αἵματι καὶ σαρκί τε*
*κρατοῦμαι, συμπέφυρμαι, Σῶτερ, ὁ τάλας.*
*Ἐν τούτοις δ' ὄντα δυστυχῶς καὶ ἀθλίως*
*ἔκπληξις συνέχει με θέλοντα φράσαι·*
*βλέπω νοερῶς· ποῦ, τί ἢ πῶς οὐκ οἶδα.*
*Τὸ γὰρ πῶς ἀνέκφραστόν ἐστιν εἰς ἅπαν,*
*τὸ δὲ ποῦ γνωστὸν καὶ ἄγνωστον δοκεῖ μοι·*
*γνωστὸν μέν, ὅτι ἐν ἐμοὶ καθορᾶται*
*καὶ μακρόθεν δείκνυται αὐτό γε πάλιν,*
*ἄγνωστον δ' ὅμως ὡς κἀμὲ συναπάγον*
*ἐν τῷ μηδαμοῦ μηδαμῶς ὅλως τόπῳ*

---

22. Ἐφ. 1,11.

1. Τὸ ποίημα ἀρχίζει ἀναλογικὰ μὲ τὴν ἔκφραση τῆς ἀπορίας τοῦ ποιητῆ

**Περὶ τῆς θεωρίας τοῦ Θεοῦ καὶ τῶν θείων πραγμάτων, τῆς παράδοξης ἐνέργειας τοῦ ἁγίου Πνεύματος καὶ τῶν γνωρισμάτων τῆς ἁγίας καὶ ὁμοούσιας Τριάδας. Ἀκόμα ὅτι, ὅποιος δὲν μπόρεσε νὰ εἰσέλθει στὴ βασιλεία τῶν οὐρανῶν, δέ θά ὠφεληθεῖ καθόλου ἀκόμα κι ἂν ἀπαλλαγεῖ ἀπό τά βασανιστήρια τοῦ ἅδη.**

Τί εἶναι τὸ πράγμα ποὺ ἔκανες σ' ἐμένα,
ὦ αἰτία τῶν πάντων, Θεὲ καὶ βασιλιά μου;
Τί τάχα νὰ σοῦ πῶ καὶ τί νά ἐννοήσω;
Σ' ἐμένα ὅ,τι θωρῶ μεγάλο θαῦμα
ἐνῶ ἄγνωστο εἶναι, ἀόρατο στοὺς πάντες.
Ποιό εἶναι τοῦτο; Θὰ στὸ πῶ μ' ἀκρίβεια.
Σὲ σκότος καὶ σὲ σκιὰ καὶ σ' αἰσθητὸ κι αἰσθήσεις,
σ' ἔνυλη κτίση, σὲ αἷμα καὶ σὲ σάρκα
κρατιέμαι κι ἔχω ἀναμιχτεῖ, Σωτήρα, ὁ δόλιος.
Κι ἐνῶ σὲ τοῦτα βρίσκομαι δυστυχὴς κι ἄθλιος
θέλω νὰ πῶ μὰ ἡ ἔκπληξη μὲ δένει.
Βλέπω νοερά· μὰ ποῦ, τί, πῶς δὲν ξέρω.
Τὸ πῶς ὁλότελα εἶναι ἀνέκφραστο,
τὸ ποῦ γνωστό μοῦ φαίνεται κι ἄγνωστο πάλι·
γνωστὸ γιατὶ σὲ μένα μέσα ἀφήνει νὰ τὸ βλέπω,
ἀλλὰ καὶ μακριὰ φαίνεται τὸ ἴδιο πάλι,
μὰ ἄγνωστο, ἀφοῦ κι ἐμὲ παίρνει μαζί του
σὲ τόπο ποὺ καθόλου πουθενὰ δὲν εἶναι

---

γιὰ τὸ τί εἶναι ὁ Θεὸς καὶ τί ταραχὴ δημιουργεῖ στὸ πνεῦμα του ὁ ἀπεριόριστος Θεὸς ποὺ χωρεῖ ὁλόκληρος σὲ κάθε πλάσμα. Ὣς τὸ στίχο 88 δίνεται ἀπάντηση σ' αὐτὰ τὰ ἐρωτήματα.

*καὶ τῶν αἰσθητῶν λήθην μοι ἐμπαρέχον*
*καὶ τῶν ὑλικῶν πάντων καὶ βλεπομένων*
*ἔξω με γυμνὸν καὶ σώματος ἐξάγον.*
*Τί οὖν ἐστι τὸ ἐνεργοῦν μοι ταῦτα,*
*ὅπερ καὶ βλέπειν εἶπον; εἰπεῖ οὐκ ἔχω.*
*Ὅμως ἄκουε καὶ συνήσεις τὸ πρᾶγμα·*
*ἔστιν οὖν ἀκράτητον τοῖς πᾶσι πάντῃ,*
*ἔστι καὶ ληπτὸν καὶ μεθεκτὸν ἀξίοις,*
*μεταδοτικόν, συνημμένον ἀλήπτως,*
*ἡνωμένον τε καθαροῖς ἀσυγχύτως,*
*ἀνακεκραμμένον τε ἀμίκτῳ μίξει*
*ὅλον ὅλοις γε τοῖς ἀμέμπτως βιοῦσι.*
*Τοῦτο ἐν ἐμοὶ δίκην λαμπάδος φαίνει,*
*μᾶλλον δὲ πρῶτον εἰς οὐρανοὺς ὁρᾶται*
*καὶ τῶν οὐρανῶν ἀμέτρως ὑπεράνω,*
*ἀμυδρῶς πάνυ ἀοράτως ὁρᾶται.*
*Ὅτε δὲ ἐγὼ ἐμπόνως ἐκζητήσω*
*καὶ ἐπιμόνως αἰτήσομαι τοῦ λάμψαι,*
*ἢ τρανότερον ἐκεῖσε καθορᾶται*
*κἀμὲ τῶν κάτω χωρίζει καὶ συνάπτει*
*τῇ ἐκείνου λαμπρότητι ἀρρήτως,*
*ἢ ἐντός μου δείκνυται ἀθρόον ὅλον,*
*φῶς σφαιροειδές, γαληνόν τε καὶ θεῖον,*
*ἄμορφον, ἀνείδεον μορφῇ ἀμόρφῳ,*
*ὁρώμενόν τε καὶ λαλοῦν πρός με ταῦτα·*
*Τί εἰς οὐρανοὺς εἶναι με περιγράφεις*
*κἀκεῖ τε ζητεῖς καὶ κατοικεῖν νομίζεις;*
*Τί με ἐπὶ γῆς εἶναι ὑπολαμβάνεις*
*καὶ μετὰ πάντων συνεῖναι διαγγέλλεις*
*καὶ πανταχοῦ με νομοθετεῖς ὑπάρχειν;*
*Τὸ οὖν πανταχοῦ μέγεθός μοι προσάπτει,*

---

41. Ὑπάρχει ἐδῶ μιὰ ἀπήχηση ἀπὸ τὴ διδασκαλία τοῦ προσωκρατικοῦ φι-

καὶ ποὺ μοῦ προκαλεῖ τῶν αἰσθητῶν τὴ λήθη
κι ἀπ' ὅλα τὰ ὑλικὰ κι ὅσα θωροῦμε
ἔξω γυμνὸ μὲ βγάζει κι ἀπ' τὸ σῶμα.
Ποιό εἶναι αὐτὸ ὁποὺ ἐνεργεῖ μέσα μου τοῦτα
καὶ ποὺ εἶπα πὼς τὸ βλέπω; Τί νὰ πῶ δὲν ξέρω.
Ἄκουσε ὅμως καὶ τὸ πράγμα θὰ ἐννοήσεις.
Εἶναι λοιπὸν ἀκράτητο ἀπ' ὅλα τὰ ὄντα,
ἀλλὰ μπορεῖ νὰ τὸ συλλάβουν, καὶ νὰ τὸ μετέχουν
οἱ ἄξιοι· μεταδίδεται κι εἶναι δεμένο
μὲ δίχως νὰ κρατιέται ἀσύγχυτα ἑνωμένο,
μὲ ὅσους καθαροὺς σμιγμένο δίχως σμίξη.
ἀκέριο μ' ὅλους ὅσοι ἄμεμπτα ζοῦνε.
Ἐντός μου τοῦτο σὰ λαμπάδα φέγγει
καὶ κάλλιο, ἐκεῖ στὰ οὐράνια λάμπει
κι ἀμέτρητα ἀπ' τὸν οὐρανὸ πιὸ πάνω,
πολὺ ἀμυδρὰ κι ἀόρατα ὁρατὸ εἶναι.
Μὰ ὅταν τ' ἀναζητήσω ἐγὼ μὲ πόνο
καὶ τοῦ ζητήσω ἐπίμονα νὰ λάμψει
ἢ καθαρότερα ὁρατὸ γίνεται ἐκεῖ πάνω
κι ἀπὸ τὰ κάτω μὲ χωρίζει καὶ μ' ἑνώνει
μ' ἄρρητο τρόπο μὲ τὴ λάμψη ἐκείνου
ἢ μέσα μου ξεσπᾶ ὅλο μαγεμένο,
φῶς σφαιρικό, θεϊκὸ κι ὅλο γαλήνη,
ἀμορφοποίητο, μὲ ἄμορφη μορφὴ καὶ δίχως εἶδος,
σ' ἐμένα φαίνεται καὶ μοῦ ἀπευθύνει τοῦτα:
Γιατί μὲ περιορίζεις πὼς στοὺς οὐρανοὺς ὑπάρχω
κι ἐκεῖ πὼς κατοικῶ μ' ἀναζητεῖς θαρρώντας;
Γιατί στὴ γῆ νομίζεις πὼς ὑπάρχω
καὶ μ' ὅλους ὅτι βρίσκομαι μαζὶ κηρύττεις
καὶ πῶς νομοθετεῖς πὼς 'πανταχοῦ' ὑπάρχω;
Αὐτὸ τὸ 'πανταχοῦ' μέγεθος μοῦ ἀποδίδει,

---

λοσόφου Παρμενίδη γιὰ τὸ ὄν, ποὺ τὸ χαρακτηρίζει 'οὖλον (ὅλον), ἀτρεμὲς (γαλανόν), εὐκύκλου σφαίρης ἐναλίγκειον (σφαιροειδές).

*ἀμέγεθες δὲ τὸ παράπαν ὑπάρχω·*
*ὑπερμεγέθη γνῶθι γάρ μου τὴν φύσιν!*
*Τὸ δ' ἐπὶ τῆς γῆς περιγραφὴν ἐμφαίνει,*
*πάντως δ' ἀπερίγραπτος καθάπαξ πέλω.*
*Τὸ δὲ λέγειν σε συνεῖναί με τοῖς πᾶσιν,*
*ἄγνοιαν σαυτοῦ δήλην ποιεῖς τοῖς πᾶσι·*
*συνεῖναι γάρ με τοῖς ἁγίοις ἀκούεις*
*αὐτὸν ὅλον με οὐσίᾳ, ἐν αἰσθήσει*
*θεωρίᾳ τε, ἀλλὰ καὶ μετουσίᾳ,*
*σὺν τῷ Πατρί μου καὶ Πνεύματι τῷ θείῳ*
*καὶ ἐπαναπαύεσθαι σαφῶς ἐν τούτοις.*
*Εἰ οὖν καθ' ἕνα εἴπῃς ἡμᾶς συνεῖναι,*
*πολλοὺς ποιήσεις εἰς πολλοὺς μερισθέντας·*
*εἰ ἕνα φράσῃς, πῶς ὁ εἷς καὶ καθ' ἕνα,*
*μᾶλλον δὲ ὁ εἷς πῶς καὶ ἄνω καὶ κάτω,*
*μετὰ δὲ πάντων πῶς ὁ αὐτὸς συνέσται;*
*Τὸ πᾶν ὁ πληρῶν πῶς ἐν ἑνὶ οἰκήσει,*
*ὁ ὢν ἐν ἑνὶ πῶς καὶ τὸ πᾶν πληρώσει;*
*Ἄκουε μυστήρια Θεοῦ ἀφράστου,*
*ἄφραστα, παράδοξα καὶ πάντῃ ξένα·*
*ἔστι μὲν Θεὸς ἀληθῶς, ὄντως ἔστι*
*– τοῦτο εὐσεβεῖς πάντες ὁμολογοῦσιν –,*
*οὐδὲν δέ ἐστιν, ὧν ἡμεῖς ὅλως ἴσμεν,*
*ἀλλ' οὐδ' ἐξ ὧν ἄγγελοι ἴσασιν ἔστι,*
*κἀν τούτῳ οὐδὲν ὁ Θεός ἐστι, λέγω,*
*τῶν πάντων οὐδὲν ὡς τῶν ἁπάντων κτίστης,*
*ἀλλ' ὑπὲρ τὸ πᾶν. Τίς γὰρ ἂν εἴποι*
*τί ἐστι Θεός, ἵνα καὶ Ἔστιν, εἴπῃ,*
*τόδε τυχὸν ἢ τόδε; Ἀγνοῶ ὅλως*
*ὁποῖος, ὁπόσος, ποταπὸς ἢ πηλίκος·*
*ὁ οὖν ἀγνοῶν ἐγὼ Θεόν, ὁποῖος*
*μορφήν, εἶδός τε, τὸ μέγεθος, τὸ κάλλος,*

μά ἐγὼ μὲ δίχως μέγεθος, ὁλότελα εἶμαι.
Μάθε πέρα ἀπὸ μέγεθος ἡ φύση μου εἶναι,
ἐνῶ ὅσα εἶναι στὴ γῆ περιορισμὸ δηλώνουν,
κι ἐγὼ ἀπεριόριστος τέλεια τυχαίνω.
Κι αὐτὸ ποὺ λὲς πὼς εἶμαι σ' ὅλα μέσα
τὴν ἄγνοιά σου σ' ὅλους φανερώνει.
Ἀκοῦς ὅτι μαζὶ μὲ τοὺς ἁγίους εἶμαι,
ἐγὼ ὁ ἴδιος, ὁ ἀκέριος, κατ' οὐσίαν,
μ' αἴσθηση ναὶ καὶ θεωρία ἀλλὰ καὶ μετουσία
μαζὶ μὲ τὸν Πατέρα, καὶ τὸ θεῖο τὸ Πνεῦμα
καὶ πὼς ξεκάθαρα σ' αὐτοὺς εἶναι ἡ ἀνάπαυσή μου.
Ἂν πεῖς λοιπὸν πὼς μὲ καθέναν συνυπάρχομε
θά μᾶς κάνεις πολλοὺς σὲ πολλοὺς μοιρασμένους,
ἂν ἕνα πεῖς, πῶς ἕνας στὸν καθένα θά 'ναι
καὶ μάλλον πῶς πάνω καὶ κάτω ὁ ἕνας
καὶ πῶς μ' ὅλους μαζὶ ὁ ἴδιος θὰ εἶναι;
Τὸ πᾶν ὁποὺ γεμίζει πῶς θὰ μείνει σ' ἕνα
κι ὁ πού 'ναι σ' ἕνα πῶς τὸ πᾶν θὲ νὰ γεμίσει;
Ἄκουσε τὰ μυστήρια τοῦ Θεοῦ τοῦ ἀφράστου,
ἄφραστα καὶ παράδοξα καὶ τέλεια ξένα.
Ὑπάρχει Θεὸς στ' ἀλήθεια, πράγματι ὑπάρχει
–τοῦτο ὅλοι οἱ εὐσεβεῖς τ' ὁμολογοῦνε–
μὰ τίποτα ἀπὸ ὅσα ἐμεῖς γνωρίζομε δὲν εἶναι,
οὔτε κι ἀπ' ὅσα οἱ ἄγγελοι γνωρίζουν εἶναι.
Κι ἔτσι ὁ Θεὸς τίποτα λέω δὲν εἶναι
τίποτε ἀπ' ὅλα ἀφοῦ εἶναι ὁ κτίστης ὅλων,
ἀλλὰ πάνω ἀπ' τὸ σύμπαν. Ποιός θὰ ἔλεγε
τί εἶναι ὁ Θεός, ὥστε νὰ πεῖ πὼς εἶναι
τοῦτο ἴσως εἴτε τοῦτο; Ἀγνοῶ τέλεια
ποιός εἶναι, πόσος, τί λογῆς καὶ πόσου χρόνου.
Ἐγὼ λοιπὸν ποὺ τὸ Θεὸ ἀγνοῶ ποιός εἶναι
στὴ μορφή, στὸ εἶδος, στὸ κάλλος, στὴ μεγαλοσύνη,

60. Ἠσ. 57,25. Ἐφ. 4,10.

*πῶς ἑρμηνεύσω τὰς αὐτοῦ ἐνεργείας,*
*πῶς μὲν ὁρᾶται ἀόρατος ὢν πᾶσι,*
*πῶς δὲ σύνεστι τῇ κτιστῇ πάσῃ φύσει,*
*πῶς ἐγκατοικεῖ ἐν πᾶσι τοῖς ἁγίοις,*
*πῶς πληροῖ τὸ πᾶν καὶ οὐδαμοῦ πληροῦται,*
*πῶς ὑπὲρ τὸ πᾶν καὶ πανταχοῦ ὑπάρχει,*
*ταῦτα γὰρ οὐδεὶς ὅλως εἰπεῖν ἰσχύσει.*
*Ἀλλ', ὦ ἀνθρώπων ὃν οὐδεὶς ὅλως εἶδεν,*
*ὦ παμβασιλεῦ, ὑπερεύσπλαγχνε μόνε,*
*εὐχαριστῶ σοι ἐξ ὅλης μου καρδίας,*
*ὅτι οὐ παρεῖδες με ἐν σκότει κάτω*
*κείμενον, ἀλλ' ἧψω μου χειρί σου θείᾳ,*
*ἣν ἰδὼν ἐγὼ ἀνέστην εὐθὺς χαίρων·*
*ἔλαμπε καὶ γὰρ φαιδρότερον ἡλίου.*
*Ἔσπευσα κρατῆσαί γε ταύτην, ὁ τάλας,*
*καὶ ἠφαντώθη εὐθὺς ἐξ ὀφθαλμῶν μου,*
*καὶ πάλιν ὅλος ἐγενόμην ἐν σκότει.*
*Ἔπεσα πρὸς τοὔδαφος πενθῶν καὶ κλαίων,*
*κυλινδούμενος καὶ στενάζων ἐμπόνως,*
*ποθῶν ἰδεῖν σου πάλιν τὴν θείαν χεῖρα.*
*Ἥπλωσας αὐτήν, ὤφθη μοι τρανοτέρως*
*καὶ περιπλακεὶς κατεφίλησα ταύτην*
*– ὢ χρηστότητος καὶ πολλῆς εὐσπλαγχνίας·*
*χεῖρα δέδωκεν ἀσπάσασθαι ὁ κτίστης*
*τὴν συνέχουσαν τὰ σύμπαντα τῷ σθένει,*
*ὢ χαρίσματος, ὢ δωρεᾶς ἀφράστου! –,*
*πάλιν τε ταύτην συνέστειλεν ὁ πλάστης*
*πάντως δοκιμάζων μου τὴν προθυμίαν,*
*εἰ ποθῶ ταύτην καὶ τὸν ταύτης δοτῆρα,*

---

86. Ἐφ. 4,10. 89. Α' Τιμ. 6,16. 91. Ἰω. 11,14.
92. Ἠσ. 42,7. 93. Ματθ. 8,3. 97. Πράξ. 1,9.

πῶς τὶς ἐνέργειές του θά 'ρθω νὰ ἑρμηνεύσω,
πῶς γίνεσαι ὁρατός, ἀόρατος ἀφοῦ εἶναι σ' ὅλους,
πῶς μ' ὅλη τὴν κτιστὴ πηγαίνει φύση,
πῶς μέσα σ' ὅλους τοὺς ἁγίους κατοικία κάνει,
τὸ σύμπαν πῶς γεμίζει καὶ καθόλου ὁ ἴδιος δὲ γεμίζει,
πῶς πάνω ἀπὸ τὸ πᾶν μὰ καὶ παντοῦ ὑπάρχει,
αὐτὰ κανεὶς καθόλου νὰ τὰ πεῖ δὲ θὰ μπορέσει.
Μά, ὦ ἐσύ, ποὺ ἀπ' τοὺς ἀνθρώπους δὲ σ' εἶδε κανένας,
ὦ παντοβασιλιά, πανεύσπλαχνε ἐσὺ μόνε,
σ' εὐχαριστῶ μὲ ὅλη τὴν καρδιά μου,
γιατὶ δὲ μ' ἄφησες κάτω στό σκότος
νὰ κείτομαι, ἀλλὰ μ' ἄγγιξε τὸ θεῖο σου χέρι,
ποὺ εὐθὺς ὁλόχαρος σηκώθηκα σὰν τὸ εἶδα·
γιατὶ ἔλαμπε πιὸ φωτεινὸ ἀπ' τὸν ἥλιο.
Καὶ βιάστηκα ὁ ταλαίπωρος νὰ τὸ κρατήσω,
μὰ εὐθὺς ἀπὸ τὰ μάτια μου ἔγινε ἄφαντο
καὶ μὲς στὸ σκότος πάλι βρέθηκα ὅλος.
Πέφτω στὸ χῶμα κλαίοντας καὶ πενθώντας,
κυλιέμαι ἐδῶ κι ἐκεῖ στενάζοντας μὲ πόνο,
πάλι τὸ θεῖο χέρι σου νὰ δῶ ποθώντας.
Μοῦ τὸ ἅπλωσες καὶ τὸ εἶδα καθαρότερα,
τὸ ἀγκάλιασα φιλήματα γεμίζοντάς το
–ὦ καλοσύνη κι ἄπειρη εὐσπλαχνία·
τὸ χέρι του μοῦ δίνει ν' ἀσπαστῶ ὁ κτίστης
ποὺ συγκρατεῖ τὸ σύμπαν μὲ τὴ δύναμή του,
ὦ χάρισμα καὶ ὦ δωρεὰ ἀνεκλάλητή!–
καὶ πάλι τὸ ἀποτράβηξεν ὁ πλάστης,
τὴν προθυμία μου δοκιμάζοντας μὲ κάθε τρόπο
τὴ δωρεὰ ἂν ποθῶ κι ἐκεῖνον ποὺ τὴν ἔδωσε,

91. Σὲ ἀναπάντητα ἐρωτήματα ὁ Συμεὼν ἀντιτάσσει τὴν εὐχαριστία του στὸ Θεό, ἐπειδὴ δὲν 'παρεῖδε' τὴ ζωή του στὸ σκότος, ἀλλὰ τὸν 'ἄγγιζε μὲ τὸ θεῖο χέρι του' καὶ ἐκθέτει τὸ ζῆλο του νὰ φανεῖ ἀντάξιος τῆς προσοχῆς τοῦ Θεοῦ.

89–152. Ὅλο αὐτὸ τὸ τμῆμα διατρέχεται ἀπὸ χαρά, γλυκύτητα καὶ ἄφραστη ἡδονή.

*εἰ καταφρονῶ πάντων καὶ προτιμῶμαι*
*ταύτην καὶ μένω ἐν τῇ ταύτης ἀγάπῃ.*
*Ἔλιπον εὐθὺς κόσμον καὶ τὰ τοῦ κόσμου,*
*ἔμυσα πάσας ὁμοῦ καὶ τὰς αἰσθήσεις,*
*ὀφθαλμούς, ὦτα, ρίνα, στόμα καὶ χείλη,*
*πᾶσιν ἔθανον συγγενέσι καὶ φίλοις,*
*ναί, ὡς ἀληθῶς ἔθανον τῇ θελήσει,*
*καὶ μόνην ἐζήτησα Θεοῦ τὴν χεῖρα·*
*ἰδοῦσα δ' αὕτη οὕτως ποιήσαντά με,*
*ἥψατο λάθρα χειρός, ἐκράτησέ μου*
*καὶ ὡδήγει με μέσον τοῦ σκότους ὄντα.*
*Ἠισθανόμην οὖν καὶ χαίρων ἠκολούθουν,*
*ἔτρεχον σφοδρῶς ἐν νυκτὶ καὶ ἡμέρᾳ,*
*εὐτόνως ἐβάδιζον σὺν προθυμίᾳ,*
*βαδίζων δ' αὖθις ἀκίνητος ὑπῆρχον*
*καὶ τότε μᾶλλον προέκοπτον τοῖς πρόσω,*
*ὢ μυστηρίων, ὢ ἄθλων, ὢ βραβείων!*
*Οὕτω τρέχοντα τοῦ σταδίου ἐν μέσῳ*
*πέφθακεν ἡ χεὶρ ἀπορρήτως ἐκείνη,*
*τοῦ ἐμοῦ πρεσβεύσαντος πατρὸς ἁγίου,*
*καὶ τῆς ταλαίνης ἥψατο καφαλῆς μου*
*καὶ δέδωκέ μοι τὸν στέφανον τῆς νίκης,*
*αὕτη δὲ μᾶλλον στέφανος γέγονέ μοι,*
*καὶ ταύτην βλέπων ἄφραστον εὐφροσύνην,*
*ἄφραστον χαράν, ἄφραστον θυμηδίαν*
*εἶχον –πῶς γὰρ οὔ;– κόσμον ὅλον νικήσας*
*καὶ τὸν τοῦ κόσμου ἄρχοντα καταισχύνας*
*ἀπὸ χειρός τε τοῦ Θεοῦ στέφος θεῖον,*
*μᾶλλον δὲ αὐτὴν τοῦ τῶν ὅλων Δεσπότου*
*λαβὼν –ὢ θαῦμα!– ἀντὶ στεφάνου χεῖρα,*
*ἣ ἐκλάμπουσα ἑωρᾶτο ἀΰλως,*

---

112. Ἰω. 15,9. 121. Ψαλμ. 138,10.
128. Α' Κορ. 9,24.

τὰ πάντα ἂν τὰ περιφρονῶ κι ἂν πρῶτα βάζω
τὸ χέρι αὐτὸ κι ἂν μένω στὴν ἀγάπη του
τὸν κόσμο εὐθὺς κι ὅλα τοῦ κόσμου ἀφήνω
καὶ σφάλισα μαζὶ ὅλες τὶς αἰσθήσεις,
μάτια κι αὐτιὰ καὶ μύτη, στόμα, χείλια,
γιὰ ὅλους νεκρώθηκα τοὺς συγγενεῖς καὶ φίλους·
ναί, ἀληθινὰ νεκρώθηκα στὸ θέλημά μου
καὶ ζήτησα μονάχα τοῦ Θεοῦ τὸ χέρι·
καὶ βλέποντας αὐτὸ τί μοῦ 'χει κάνει
τὸ χέρι μου ἄγγιξε κρυφὰ καὶ τὸ κρατάει
καὶ μ' ὁδηγεῖ μὲς στὸ σκοτάδι ποὺ ἤμουν
τὸ 'νιωθα ἐγὼ καὶ χαίροντας ἀκολουθοῦσα,
ἔτρεχα μ' ὅλη μου τὴ δύναμη νύχτα καὶ μέρα,
βάδιζα σταθερὰ μὲ κάθε προθυμία·
καὶ πάλι ἀκίνητος στεκόμουν ἐνῶ βάδιζα
καὶ τότε προχωροῦσα περισσότερο.
Ὢ τί μυστήρια, τί ἄθλοι, τί βραβεῖα!
Κι ἐνῶ στὴ μέση ὡς ἔτρεχα ἔτσι τοῦ σταδίου
μὲ φτάνει ἀνεξήγητα τὸ χέρι ἐκεῖνο
τοῦ ἁγίου πατέρα ποὺ μεσίτευσε γιὰ μένα
καὶ τὸ ταλαίπωρο ἄγγιξε κεφάλι μου
καὶ μοῦ ἔδωσε τὸ στέφανο τῆς νίκης
ἢ κάλλιο ἐκεῖνο ἔγινε στεφάνι μου
κι αὐτὸ θωρώντας ἄφραστη εὐφροσύνη
ἀνείπωτη χαρὰ κι ἀνείπωτη ἀναγάλλια
ἔνιωθα –πῶς ὄχι;– ἀφοῦ τὸν κόσμον ὅλο εἶχα νικήσει
κι ἀφοῦ τὸν ἄρχοντα τοῦ κόσμου εἶχα ντροπιάσει,
στεφάνι ἀπ' τοῦ Θεοῦ τὸ χέρι θεϊκὸ
καὶ κάλλιο παίρνοντας τῶν ὅλων τοῦ Δεσπότη
ἀντὶ στεφάνι τὸ ἴδιο του τὸ χέρι– ὢ θαῦμα–
ποὺ φαίνονταν λάμψη ἄυλη νὰ σκορπίζει

136. Α' Ἰω. 5,4.5.
137. Ἰω. 12,31.

*ἀδιαλείπτως ἐμοὶ καὶ ἀνεσπέρως.*
*Αὕτη μοι μαζὸς προετείνετο ὥσπερ*
*καὶ θηλάζειν μοι γάλακτος ἀφθαρσίας*
*ὡς υἱῷ Θεοῦ πλουσίως ἐχορήγει,*
*ὦ γλυκύτητος, ὦ ἡδονῆς ἀφράστου!*
*Αὕτη καὶ ποτήριον πόματος θείου*
*καὶ ἀθανάτου ρείθρου ἐγένετό μοι.*
*Ἐξ οὗ μετασχὼν καὶ τροφῆς ἐνεπλήσθην*
*τῆς οὐρανίου, ἥνπερ ἄγγελοι μόνοι*
*τρέφονται καὶ ἄφθαρτοι διατηροῦνται,*
*φῶτα τοῦ πρώτου δεύτερα τῇ μεθέξει.*
*Οὕτω καὶ ἡμεῖς θείας καὶ ἀπορρήτου*
*φύσεως γεγόναμεν κοινωνοὶ πάντες,*
*τέκνα τοῦ Πατρός, ἀδελφοὶ τοῦ Χριστοῦ δέ,*
*Πνεύματι βαπτισθέντες, τῷ Παναγίῳ·*
*πάντως δ' οὐ πάντες ἐπέγνωμεν τὴν χάριν,*
*οὐ τὴν ἔλλαμψιν, οὐ μέθεξιν, οὐδ' ὅτι*
*οὕτως ἐγεννήθημεν, μόλις δὲ τοῦτο*
*τῶν χιλίων εἷς εἴτε καὶ τῶν μυρίων*
*ἐν τῇ μυστικῇ ἐπέγνω θεωρίᾳ.*
*Οἱ δ' ἄλλοι πάντες ἀμβλωθρίδια τέκνα*
*τὸν γεννήσαντα ἑαυτοὺς ἀγνοοῦντες·*
*ὡς γὰρ οἱ νεκροὶ ὕδατι βαπτισθέντες*
*εἴτε καὶ πυρὶ οὐκ αἰσθάνονται ὅλως,*
*οὕτως οὐδ' οὗτοι νεκροὶ τῇ ἀπιστίᾳ*
*καὶ τῶν ἐντολῶν πέλοντες τῇ ἀργίᾳ*
*ἐλλιπεῖς οὐκ ἴσασιν, ὡς πεπόνθασι*
*τέρας φοβερόν, πίστιν πεπλανημένην,*
*δοκεῖν ἑαυτὸν υἱὸν τοῦ Θεοῦ εἶναι*
*καὶ μὴ γνωρίζειν τὸν ἴδιον Πατέρα.*

---

150. Σοφ. Σολ. 16,20. 153. Β' Πέτρ. 1,4.
155. Ματθ. 5,45. Α' Κορ. 9,5. 156. Ματθ. 3,11. Πράξ. 1,5,

χωρὶς στιγμὴ νὰ σταματᾶ γιά μένα καὶ νὰ βασιλεύει
καθὼς μαστὸς τὸ χέρι αὐτὸ μοῦ προτεινόταν
καὶ νὰ θηλάζω τῆς ἀφθαρσίας τὸ γάλα
μοῦ 'δινε πλούσια γιὸς τοῦ Θεοῦ ὡς νὰ ἤμουν·
ὢ ἀνείπωτη ἡδονή, ὢ γλυκύτητα!
Αὐτὸ ποτήρι καὶ μὲ θεϊκὸ πιοτὸ
μοῦ ἔγινε καὶ νάμα ἀθάνατο.
Κοινώνησα ἀπ' αὐτὸ καὶ τὴν τροφὴ
χόρτασα τὴν οὐράνια ποὺ τὴν τρῶνε
οἱ ἄγγελοι μόνο κι ἄφθαρτοι κρατιοῦνται,
ποὺ φῶτα δεύτερα εἶναι μὲ τὴ μέθεξη τοῦ πρώτου.
Ἔτσι κι ἐμεῖς τῆς θείας κι ἀπόρρητης
φύσης κοινωνοὶ ὅλοι ἔχομε γίνει,
τέκνα τοῦ Πατέρα, τοῦ Χριστοῦ ἀδελφοί,
στὸ Πνεῦμα τὸ πανάγιο βαφτισμένοι.
Ὡστόσο δὲν τὴ νιώσαμε τὴ χάρη σου ὅλοι,
οὔτε τὸ φωτισμὸ κι οὔτε τὴ μέθεξη, οὔτε
πὼς ἔτσι γεννηθήκαμε καὶ τοῦτο μόλις
ἕνας στοὺς χίλιους εἴτε ἕνας στοὺς δέκα
χιλιάδες ἔνιωσε στὴ μυστικὴ θεωρία τὴ χάρη.
Παιδιὰ ὅλοι οἱ ἄλλοι νεκρογεννημένα
ποὺ Ἐκεῖνον ποὺ μᾶς γέννησε ἀγνοοῦμε·
Γιατὶ ὅπως οἱ νεκροὶ ποὺ στὸ νερὸ βουτᾶνε
εἴτε καὶ στὴ φωτιὰ καμιὰ αἴσθηση δὲν ἔχουν,
ἔτσι κι αὐτοὶ νεκροὶ ἀπ' τὴν ἀπιστία
κι ἀπ' τὴν ἀδράνεια στῶν ἐντολῶν τὴν πράξη
ἀτελεῖς, δὲν αἰσθάνονται πὼς ἔχουν πάθει
πάθημα φοβερό, σφαλερὴ πίστη,
νὰ λένε ὅτι εἶναι γιὸς τοῦ Θεοῦ, ἀλλὰ ὅμως
νὰ μὴ γνωρίζουνε τὸν ἴδιο του Πατέρα.

---

150. Ἀρέσκεται σ' αὐτὴ τὴν ἰδέα ὁ Συμεὼν ποὺ ἔρχεται ἀπὸ πιὸ παλιά· ὁ Θεὸς εἶναι τὸ πρῶτο φῶς καὶ οἱ ἄγγελοι ἀναδεικνύονται μὲ τὴ μέθεξη τοῦ Θεοῦ φῶτα δεύτερα.

*Εἰ οὖν πίστει τοῦτον σὺ γνωρίζειν λέγεις*
*καὶ πίστει υἱὸς Θεοῦ εἶναι νομίζεις,*
*ἔστω καὶ ἡ σάρκωσις τοῦ Θεοῦ πίστει,*
*– καὶ μὴ ἔργῳ φῇς ἄνθρωπον γεγονέναι*
*μηδὲ αἰσθητῶς αὐτὸν ἀποτεχθῆναι.*
*Εἰ δὲ γέγονεν υἱὸς ὄντως ἀνθρώπου,*
*υἱόν σε ποιεῖ τοῦ Θεοῦ πάντως ἔργῳ·*
*εἰ οὐ γέγονεν ἐν φαντασίᾳ σῶμα,*
*οὐδ' ἡμεῖς πάντως ἐν ἐπινοίᾳ πνεῦμα,*
*ἀλλ' ὡς ὑπῆρξε σὰρξ ἀληθῶς ὁ Λόγος,*
*οὕτω καὶ ἡμᾶς μεταμορφοῖ ἀρρήτως*
*καὶ τέκνα ποιεῖ Θεοῦ ἐν ἀληθείᾳ.*
*Ἄτρεπτος θεότητι μείνας ὁ Λόγος*
*ἄνθρωπος ἐγένετο σαρκὸς προσλήψει,*
*ἄτρεπτον τὸν ἄνθρωπον σαρκὶ ψυχῇ τε*
*τηρήσας πεποίηκε θεόν με ὅλον,*
*προσέλαβέ μου τὴν κατάκριτον σάρκα*
*καὶ θεότητα ὅλην ἐνέδυσέ με,*
*καὶ γὰρ βαπτισθεὶς Χριστὸν ἐνεδυσάμην*
*οὐχὶ αἰσθητῶς, νοητῶς δέ γε πάντως.*
*Καὶ πῶς οὐ θεὸς χάριτί τε καὶ θέσει*
*αἰσθήσει καὶ γνώσει γε καὶ θεωρίᾳ*
*ὁ τὸν τοῦ Θεοῦ Υἱὸν ἐνδεδυμένος;*
*Εἰ ἀγνοίᾳ γέγονεν ὁ Θεὸς Λόγος*
*ἄνθρωπος, κἀμὲ ἐν ἀγνοίᾳ γενέσθαι*
*θεὸν ὡς εἰκὸς ὑπονοεῖσθαι πρέπον.*
*Εἰ δ' ἐν γνώσει, πράξει τε καὶ θεωρίᾳ*
*Θεὸς ἄνθρωπος ἐχρημάτισεν ὅλος,*
*ὅλον με θεὸν τῇ Θεοῦ κοινωνίᾳ*
*ἐν αἰσθήσει καὶ γνώσει, οὐχὶ οὐσίᾳ, μετουσίᾳ δὲ*
*γενέσθαι πάντως χρὴ φρονεῖν ὀρθοδόξως.*

---

181. Ἰω. 1,14.  190. Γαλ. 3,27.

201. «ἐν αἰσθήσει καὶ γνώσει, οὐχὶ οὐσίᾳ, μετουσίᾳ δέ». Ἡ κοινωνία τι

῍Αν ἰσχυρίζεσαι λοιπὸν πὼς ἀπὸ πίστη τὸν ξέρεις
κι ἀπὸ πίστη δέχεσαι πὼς εἶναι γιὸς τοῦ Θεοῦ,
δέξου ἀπὸ πίστη καὶ τὴ σάρκωση τοῦ Θεοῦ.
κι ἄνθρωπος νὰ μὴ λὲς πραγματικὸς πὼς εἶναι
μήτε πὼς ἔχει γέννηση αἰσθητὴ δεχτεῖ.
Κι ἂν πράγματι ἔγινε υἱὸς ἀνθρώπου,
τότε πραγματικὰ τοῦ Θεοῦ γιὸ σ' ἔχει κάνει.
Σῶμα ἂν στὴ φαντασία μας δὲν ἔχει γίνει
καὶ μήτε κατὰ τὴν ἰδέα μας ἐμεῖς πνεῦμα,
ἀλλὰ ὅπως σάρκα ἀληθινὰ ἔγινε ὁ Λόγος
ἔτσι κι ἐμᾶς ἀνείπωτα μᾶς μεταβάλλει
καὶ τέκνα ἀληθινὰ τοῦ Θεοῦ μᾶς κάνει.
Στὴ θεότητά του ὁ Λόγος ἔμενε ἀμετάβλητος
κι ἔγινε μὲ τὴν πρόσληψη τῆς σάρκας ἄνθρωπος
κι ἀφήνοντας τὸν ἄνθρωπο ἀμετάβλητο στὴ σάρκα
καὶ στὴν ψυχὴ μ' ἔκανε Θεὸν ἀκέριο,
τὴ σάρκα τὴν κατάκριτή μου καταδέχτηκε
καὶ μ' ὅλη τὴ θεότητά του μ' ἔντυσε,
γιατὶ στὸ βάπτισμά μου τὸ Χριστὸν ἐντύθηκα,
ὄχι αἰσθητά, μὰ βέβαια πνευματικά.
Καὶ πῶς δὲν εἶναι κατὰ χάρη θεὸς καὶ κατὰ θέση
στὴν αἴσθηση, τὴ γνώση καὶ τὴ θεωρία,
ὅποιος τὸν γιὸ τοῦ Θεοῦ ἔχει φορέσει;
῍Αν ἀγνοώντας ἔγινε ὁ Θεὸς–Λόγος
ἄνθρωπος, πρέπει φυσικὰ νὰ ὑπονοήσομε
ὅτι κι ἐγὼ ἀγνοώντας ἔγινα θεός.
᾿Αλλ' ἂν μὲ γνώση, πράξη καὶ θεωρία
ἄνθρωπος τέλειος ἔγινε ὁ Θεός,
κι ἐγὼ ὅλος θεὸς μὲ τοῦ Θεοῦ τὴν κοινωνία,
μ' αἴσθηση, γνώση, στὴν οὐσία ὄχι ἀλλὰ μὲ μετουσία,
πρέπει ὀρθόδοξα νὰ πιστεύομε πὼς ἔχω γίνει.

Θεοῦ ἀπὸ τὸν πιστὸ μπορεῖ νὰ εἶναι συνειδητὴ καὶ μ' ἐπίγνωση, γίνεται ὅμως μὲ μετουσία καὶ ὄχι οὐσία. Δὲν ξεχνᾶ τὴν ἀντίθεσή του μὲ τοὺς ὑποστηρικτὲς τῆς ἀντίθετη ἄποψης.

*Ὥσπερ ἐγεννήθη γὰρ Θεὸς ἀτρέπτως*
*ἄνθρωπος ἐν σώματι καὶ πᾶσιν ὤφθη,*
*οὕτως ἀφράστως, πνευματικῶς γεννᾷ με*
*καὶ ἄνθρωπον μένοντα θεὸν ποιεῖ με·*
*καὶ ὥσπερ ὁρώμενος σαρκὶ ἐκεῖνος*
*τὸ Θεὸς εἶναι ἠγνοεῖτο τοῖς ὄχλοις,*
*οὕτω καὶ ἡμεῖς, οἷον ἦμεν, τοῖς πᾶσιν*
*– ὢ θαῦμα! – βλεπόμενοι ἄνθρωποι πάντως*
*τό, ὅπερ γεγόναμεν χάριτι θείᾳ,*
*οὐ πεφύκαμεν τοῖς πολλοῖς καθορᾶσθαι.*
*Μόνοις δ' οἷς ὄμμα ψυχῆς κεκαθαρμένον*
*πρόσεστι, φαινόμεθα ὡς ἐν διόπτρᾳ,*
*τοῖς δ' ἀκαθάρτοις ὁ Θεός, οὐδ' ἡμεῖς γε*
*οὔθ' ὁρώμεθα οὔθ' ὅλως γεγενῆσθαι*
*τοιοῦτοί ποτε πιστευόμεθα πάντως.*
*Ἄπιστοι καὶ γὰρ οἱ τῇ πίστει καὶ μόνῃ*
*προσεπερειδόμενοι χωρὶς τῶν ἔργων·*
*εἰ δ' οὐκ ἄπιστοι, τέως νεκροὶ εἰς ἅπαν,*
*ὥσπερ ὁ θεῖος ἀπεφήνατο Παῦλος.*
*Μὴ ἀπιστήσῃς, ἐμοὶ δὲ λέγε καὶ σοφῶς ἀποκρίνου!*
*Ποῖον ἐκ τούτων προτιμήσεις τῶν δύο·*
*νεκράν γε πίστιν ἔργων ἐστερημένην*
*ἢ ἀπιστίαν τῆς πίστεως ἐν ἔργοις; –*
*Πάντως ἐρεῖς μοι· Τίς τῶν ἔργων ἡ χάρις*
*πίστεως δίχα τῆς ὀρθῆς καὶ τελείας; –*
*Κἀγώ σοι πάλιν ἀντιφθέγξομαι· Τί δὲ*
*ὄφελος τῆς πίστεως τῶν ἔργων δίχα;*
*Εἰ οὖν τά, ἅπερ προειρήκαμεν, γνῶναι*
*βούλει τε θεὸς κατὰ χάριν γενέσθαι*

---

214. Πιὸ συνηθισμένη εἶναι ἡ ἔκφραση «ὡς ἐν κατόπτρῳ» καὶ νομίζω πιὸ ταιριαστὴ στὴν περίπτωση. Ἡ διόπτρα εἶναι ἕνα ὄργανο γιὰ παρατήρηση μακρινῶν πραγμάτων ἀληθινῶν· στὸ κάτοπτρο ἔχομε εἴδωλα, ἑπομένως τὰ κατοπτριζόμενα ἔχουν κάποια ἀβεβαιότητα ποὺ ἴσως ἀπαιτεῖται ἐδῶ.

Γιατὶ ὅπως ὁ Θεὸς χωρὶς τροπὴ ἐγεννήθη
καὶ σ' ὅλους φάνηκε ἄνθρωπος μὲ σῶμα,
ἔτσι ἄφραστα μὲ γέννησε πνευματικὰ
καὶ θεὸ μὲ κάνει μόλο ποὺ ἄνθρωπος μένω.
Κι ὅπως καθὼς τὸν ἔβλεπαν μὲ σάρκα Ἐκεῖνον
ὅτι ἦταν Θεὸς οἱ ὄχλοι τὸ ἀγνοοῦσαν,
ἔτσι κι ἐμεῖς, ὅ,τι ἤμασταν, ἐνῶ οἱ πάντες
σὰν ἀνθρώπους –ὢ θαῦμα– βέβαια μᾶς κοιτοῦσαν
ὅ,τι εἴχαμε μὲ θεία χάρη γίνει
δὲν ἦταν φυσικὸ οἱ πολλοὶ νὰ μᾶς θωροῦνε.
Ἀλλὰ μονάχα ὅσοι εἶχαν καθαρμένα μάτια
μᾶς ἔβλεπαν σὰν μέσα ἀπὸ διόπτρα,
ἐνῶ οἱ ἀκάθαρτοι οὔτε τὸ Θεὸ κοιτοῦσαν
οὔτε κι ἐμεῖς καθόλου ὅτι εἴχαμε γίνει
θεοὶ καὶ βέβαια οὔτε ποὺ πίστευαν ποτέ τους.
Ἄπιστοι βέβαια εἶναι στὴν πίστη μόνο
ὅσοι στηρίζονται μὲ δίχως τὰ ἔργα
κι ἂν ἄπιστοι ὄχι, τέλεια νεκροὶ θά 'ναι,
καθὼς ἔχει κηρύξει ὁ θεῖος Παῦλος
Μὴ δυσπιστεῖς, μὰ λέγε καὶ σοφὰ ἀποκρίσου!
Ποιό ἀπὸ τὰ δύο αὐτὰ θὰ προτιμήσεις;
πίστη νεκρὴ ποὺ εἶναι ὀρφανὴ ἀπὸ ἔργα
ἢ ἀπιστία γόνιμη σὲ πίστης ἔργα;
Θὰ μοῦ πεῖς, εἶμαι βέβαιος· Ποιά εἶν' ἡ χάρη
τῶν ἔργων δίχως πίστη ὀρθὴ καὶ τέλεια;
Κι ἐγὼ πάλι θὰ σοῦ ἀπαντήσω· Ποιό 'ναι
τ' ὄφελος ἀπὸ πίστη δίχως τὰ ἔργα;
Ἂν ὅσα λοιπὸν εἴπαμε ὡς τὰ τώρα, θέλεις
νὰ τὰ μάθεις καὶ θεὸς νὰ γίνεις κατὰ χάρη,

---

219. Ἰακ. 2,17–18. 224–225. Ἰακ. 2,18.

223 κ.έ. Ὁ Συμεὼν διευρύνει τὸ θέμα τῆς δύναμης τῶν ἔργων καὶ τῆς δύναμης τῆς πίστης γιὰ τὴ σωτηρία καὶ ταυτόχρονα τὸ βάζει μέσα στὰ πλαίσια τοῦ μυστικοῦ

*οὐ λόγῳ, οὐ δοκήσει, οὐκ ἐπινοίᾳ,*
*οὐ μόνῃ πίστει ἐστερημένῃ ἔργου,*
*ἀλλὰ πείρᾳ, πράγματι καὶ θεωρίᾳ*
*νεορᾷ καὶ γνώσει τε μυστικωτάτῃ,*
*πρᾶξον ἅτινα ὁ Σωτήρ σοι προστάττει*
*– κἀκεῖνος ταῦτα διὰ σὲ καθυπέστη –,*
*καὶ τότε ἴδεις φῶς λαμπρότατον φάναν,*
*ἀέρι ψυχῆς πάμπαν λελευκασμένῳ,*
*ἀΰλως τὴν ἄϋλον σαφῶς οὐσίαν*
*ὅλην δι' ὅλου ὄντος διϊκνουμένην,*
*ἐκ ταύτης δ' ὅλον ὡς ἐν ὅλῳ τὸ σῶμα*
*οὔσης καὶ αὐτῆς ψυχῆς τῆς ἀσωμάτου,*
*καὶ λάμψει τὸ σῶμα σου ὡς ἡ ψυχή σου,*
*ἡ ψυχὴ δ' αὖθις ὡς ἡ λάμψασα χάρις*
*ἔσεται ἀστράπτουσα, Θεὸς καθάπερ.*
*Εἰ δ' ἀποκνήσεις μιμήσασθαι τοῦ κτίστου*
*τὴν ταπείνωσιν, τὰ πάθη καὶ τὰς ὕβρεις*
*καὶ ὑποστῆναι ταῦτα οὐ καταδέξῃ,*
*εἴτε νοερῶς, αἰσθητῶς δέ γε μᾶλλον,*
*ἐναπελείφθης –ὢ τῆς ἀβελτηρίας!–*
*ἐν ζόφῳ καὶ ταρτάρῳ τοῦ σοῦ σαρκίου,*
*ὃ φθορά ἐστι –τί γὰρ ὑπάρχει ἄλλο,*
*εἰ μὴ θάνατος ἐν ἀθανάτῳ σκεύει;–*
*ἐγκεκλεισμένος μενοῦνγε εἰς αἰῶνας,*
*πάντων ἀγαθῶν τῶν ἐν φωτὶ καὐτοῦ δὲ*
*τοῦ φωτὸς στερισκόμενος! –Οὔπω γὰρ λέγω*
*τό γε καὶ πυρὶ καὶ βρυγμῷ τῶν ὀδόντων,*
*κλαυθμῷ τε καὶ σκώληκι παραδοθῆναι,*
*ἀλλ' ὡς ἐν πίθῳ τῷ σώματι οἰκῆσαι*
*μετὰ τὴν ἀνάστασιν ὡς καὶ πρὸ τούτου,*

252. Β' Πέτρ. 2,4. 258. Λουκᾶ 13,21.
259. Μάρκ.9,48.

ὄχι στὸ λόγο εἴτε στὴ φαντασία ἢ στὴν ἰδέα
ὄχι μὲ πίστη μόνον ὀρφανὴ ἀπὸ ἔργα,
μὰ πείρα κάνοντάς τη, πράξη καὶ θεωρία
νοερὴ καὶ γνώση μυστικὴ κι ἀπόκρυφη,
ἐκεῖνα πράξε ποὺ ὁ Σωτήρας σὲ προστάζει
– κι ἐκεῖνος ἔπαθε γιὰ χάρη σου τὰ ἴδια –
καὶ τότε φῶς λαμπρότατο θὰ δεῖς νὰ λάμψει
στῆς ψυχῆς σου τὸν οὐρανὸ τὸν τέλεια καθαρμένο,
ἄυλα τὴν ἄυλη καθάρια οὐσία
ἀκέρια νὰ τὸν διασχίζει ἀπ' ἄκρη σ' ἄκρη.
Ἔπειτα ἀκέριο σου τὸ σῶμα, ἀφοῦ σὲ ἀκέριο
ὑπάρχει μέσα κι ἡ ἀσώματη ψυχὴ ἡ ἴδια
κι αὐτὸ θὰ ἀστράψει ὅπως κι ἡ ψυχή σου,
κι ἡ ψυχὴ πάλι ὅμοια μὲ τὴ χάρη ποὺ ἔλαμψε
θὲ ν' ἀστραποβολήσει ὁλότελα σὰ θεός.
Μ' ἂν τὴν ταπείνωση νὰ μιμηθεῖς τοῦ κτίστη
ἀδιαφορήσεις καὶ τὰ πάθη καὶ τὶς ὕβρεις
τὶς ἴδιες νὰ ὑποφέρεις δὲν καταδεχτεῖς ·
εἴτε νοερὰ καὶ μᾶλλον αἰσθητὰ εἶναι τὸ ἀκριβέστερο
ἔμεινες ἐγκαταλειμμένος –ὢ ἡ ἀνοησία σου!–
στὸ ζόφο καὶ στὰ τάρταρα τῆς φτωχοσάρκας σου
ποὺ 'ναι μόνο φθορὰ –καὶ τί ἄλλο ὑπάρχει
ἂν ὄχι θάνατος μέσα σὲ σκεῦος πού 'ναι ἀθάνατο;–
καλὰ σ' αὐτὴ κλεισμένος στοὺς αἰῶνες,
ἀπὸ ὅλα στερημένος τ' ἀγαθὰ ποὺ ἔχει τὸ φῶς
μὰ κι ἀπ' τὸ ἴδιο αὐτὸ τὸ φῶς. Καὶ δὲ σοῦ λέγω
ἀκόμα στὴ φωτιὰ καὶ στῶν δοντιῶν τὸ χτύπημα
πῶς θὰ παραδοθεῖς, στὰ κλάματα καὶ στὰ σκουλήκια,
μὰ πῶς θὰ κατοικήσεις μὲς στὸ σῶμα, ὅπως σὲ πιθάρι,
ἔπειτ' ἀπ' τὴν ἀνάσταση, ὅπως καὶ πρωτύτερα,

---

260. Εἶναι δυνατὸ ἡ ψυχὴ νὰ μείνει κλεισμένη μέσα στὸ σῶμα καὶ νὰ μὴ βλέπει τὴ θεία δόξα καὶ μετὰ θάνατο. Ἐξηγεῖ πῶς. Αὐτοὶ ποὺ βλέπουν τὴ θεία δόξα στὴν ἄλλη ζωὴ πρέπει νὰ τὴ δοῦν ἀπὸ αὐτὴν ἐδῶ τὴ ζωὴ (βλ. καὶ Ὕμνο 1).

*καὶ μηδαμόθεν ἔξωθεν ἀποβλέπειν*
*μηδὲ φῶς ἐντὸς εἰσδέχεσθαι παράπαν,*
*ἀλλ' οὕτω κεῖσθαι τῶν ἐνταῦθα ἡδέων*
*πάντων στερισκόμενον καὶ τῶν μελλόντων,*
*καθὼς προεῖπον. –Λέγε οὖν ὁ ἀκούων,*
*ὁ λέγων· Οὐ βούλομαι τῆς βασιλείας*
*τῆς ἀκηράτου ἔνδον τούτου γενέσθαι*
*οὐδ' ἀπολαύειν τῶν ἀγαθῶν ἐκείνων,*
*ἀλλ' ἔξω μόνον τῆς κολάσεως εἶναι*
*καὶ πεῖραν πυρὸς μὴ λαβεῖν με κἂν ὅλως.–*
*Τί σοι ὄφελος γενομένῳ, ὡς εἶπον;*
*'Απόκρινέ μοι, σοφώτατε, καὶ λέγε!*
*Ἆρα λογίσῃ τιμωρίαν ἑτέραν*
*εἶναι μείζονα ἢ γενήσεσθαι ὅλως;*
*Ἄπαγε, καὶ γὰρ ὡς μόνος ἐν βασάνοις*
*τότε καὶ εἶναι καὶ κολάζεσθαι φήσεις;*
*Εἰ γὰρ καὶ εἴποις πνευματικὸν τὸ σῶμα*
*τότε ἀπολήψεσθαι, καὶ πῶς ὡς πίθῳ*
*ἐναποκλεισθήσεται ψυχὴ ἐν τούτῳ;*
*Ὥσπερ ὁ σπόρος σπείρεται κατὰ γένος*
*– σίτου σοι λέγω καὶ κριθῆς καὶ τῶν ἄλλων –*
*καὶ κατὰ γένος αὖθις ἀναβλαστάνει,*
*οὕτω καὶ τὰ σώματα τῶν γε θνησκόντων*
*πίπτουσιν εἰς γῆν, οἷα τύχωσιν εἶναι.*
*Αἱ οὖν ἐξ αὐτῶν ψυχαὶ διαζευχθεῖσαι*
*ἐν τῇ μελλούσῃ τῶν νεκρῶν ἀναστάσει,*
*τούτων ἑκάστη κατ' ἀξίαν εὑρίσκει*
*τὸ κατάλυμα φωτὸς ἢ σκότους πλῆρες*
*Αἱ μὲν καθαραὶ καὶ φωτὸς μετασχοῦσαι*
*καὶ ἀνάψασαι τὰς ἑαυτῶν λαμπάδας*
*ἔσονται πάντως ἐν φωτὶ ἀνεσπέρῳ,*

---

278. Α' Κορ. 15,44. 285–286. Α' Κορ. 15,42–44.

κι ἔξω ἀπὸ πουθενὰ δὲ θὰ μπορεῖς νὰ δεῖς,
οὔτε καθόλου φῶς νὰ δέχεσαι μὲς στὸ πιθάρι,
ἀλλὰ νὰ κείτεσαι ἔτσι ἀπὸ τὰ εὐχάριστα τῆς ζωῆς
ἀπὸ ὅλα στερημένος κι ἀπὸ τὰ μελλοντικά,
ὅπως σοῦ ἔχω πεῖ. Κι ἀπάντησέ μου ἐσὺ ποὺ ἀκοῦς
καὶ λές· Στὴ βασιλεία του τὴν ἀκήρατη
νὰ βρεθῶ μέσα δὲν ἐπιθυμῶ μὰ κι οὔτε
τ' ἀγαθὰ ἐκεῖνα ν' ἀπολαύσω, ἀλλὰ μόνο
νὰ παραμείνω ἀπὸ τὴν κόλαση ἔξω
καὶ τί 'ν' αὐτὴ ἡ φωτιὰ κὰν νὰ μὴ δοκιμάσω.
Κι ἂν ἀπ' αὐτὴν ἔξω βρεθεῖς ποιό σου τὸ κέρδος,
ὅπως σοῦ εἶπα; Ἀπάντησε, σοφότατέ μου.
Θὰ σοῦ περάσει τάχα ἰδέα κὰν πὼς εἶναι
ἢ πὼς θὰ ὑπάρξει τιμωρία βαρύτερη ἄλλη;
Μὴ φτάσει νὰ γινεῖ. Γιατὶ θὰ ἰσχυριστεῖς τότε
πὼς εἶσαι μόνος στὰ βασανιστήρια καὶ στὴν κόλαση;
Κι ἂν πεῖς ὅτι πνευματικὸ θὰ ἔχεις λάβει
τότε σῶμα, μὰ πῶς σὰν μέσα στὸ πιθάρι,
μέσα σ' αὐτὸ θὰ σφαλιστεῖ καλὰ ἡ ψυχή σου;
Ἄκου καὶ μάθε πῶς θὰ γίνει τοῦτο!
Ὅπως ὁ γεωργὸς σπέρνει τὸ σπόρο κατὰ τὸ εἶδος του
–σιτάρι ἐννοῶ, κριθάρι κι ὅλα τὰ ἄλλα–
καὶ κατὰ τὸ εἶδος πάλι ἐκεῖνα ξεφυτρώνουν,
ἔτσι εἶναι καὶ τὰ σώματα ὅποιων πεθαίνουν,
πέφτουν στὴ γῆ, ὅποια τύχει νά 'ναι.
Χωρισμένες λοιπὸν ἀπ' αὐτὰ οἱ ψυχὲς
στῶν νεκρῶν τὴν ἀνάσταση ποὺ μέλλεται
κατὰ τὴν ὅποια ἀξία της κάθε μιὰ βρίσκει
ἀπὸ φῶς τὴ σκηνή της γεμάτη ἢ ἀπὸ σκότος.
Ὅσες καθαρὲς ποὺ τὸ φῶς ἔχουν κοινωνήσει
καὶ τὶς λαμπάδες τους ἔχουν ἀνάψει,
θὰ βρεθοῦν βέβαια μὲς στὸ φῶς τὸ ἀνέσπερο·

292. Ματθ. 25,7.

*αἱ δ' ἀκάθαρτοι καὶ τυφλὰ τῆς καρδίας*
*ἔχουσαι τὰ ὄμματα καὶ σκότους πλήρεις,*
*πῶς ἄρα θεάσονται φέγγος τὸ θεῖον;*
*Εἴπῃς οὐδαμῶς· τούτων οὖν, εἰπέ μοι,*
*τίς δεομένων μετὰ πότμον ἀκούσει*
*καὶ διανοίξει ὀφθαλμοὺς τούτων, οἴμοι,*
*τῶν ἑκουσίως βλέψαι μὴ βουληθέντων*
*μηδὲ ἀνάψαι τὴν ψυχικὴν λαμπάδα;*
*Σκότος οὖν ἐκδέξεται ἀφεγγὲς τούτους.*
*Τὰ σώματα δέ, ὡς εἴπομεν, ἐπίσης*
*φθείρονται καὶ σήπονται, καὶ τῶν ἁγίων,*
*ἀλλ' ἐγείρονται, οἷα ταῦτα ἐσπάρη*
*σῖτος καθαρός, σῖτος ἡγιασμένος,*
*τοῦ ἁγίου Πνεύματος ἅγια σκεύη·*
*ὡς ὑπάρξαντα καθαρώτατα πάνυ*
*ἐξεγείρονται αὖθις δεδοξασμένα,*
*λάμποντα, ἀστράπτοντα ὡς φῶς τὸ θεῖον.*
*Τούτοις ἐνοικήσασαι ψυχαὶ ἁγίων*
*ὑπέρ γε τὸν ἥλιον λάμψουσι τότε*
*καὶ γενήσονται ὅμοιοι τοῦ Δεσπότου,*
*οὗτινος ἐτήρησαν τοὺς θείους νόμους.*
*Τῶν δ' ἁμαρτωλῶν ἐξανίστανται αὖθις,*
*οἷα καὶ αὐτὰ ἐν τῇ γῇ κατεσπάρη*
*βορβορώδη, δύσοσμα, σαπρίας πλήρη,*
*σκεύη βέβηλα, ζιζάνια κακίας,*
*πάνυ ζοφώδη ὡς τὰ τοῦ σκότους ἔργα*
*πράξαντα καὶ ὄργανα κακῶν παντοίων*
*χρηματίσαντα τοῦ πονηροῦ σπορέως·*
*ἐξανίστανται δ' ἀθάνατα καὶ ταῦτα*
*καὶ πνευματικά, πλὴν ἐοικότα σκότει.*
*Τούτοις οὖν ψυχαὶ ἄθλιαι ἑνωθεῖσαι,*
*ζοφώδεις αὗται καὶ ἀκάθαρτοι οὖσαι,*
*ὅμοιοι γενήσονται τῷ διαβόλῳ*
*ὡς τὰ ἐκείνου μιμησάμενοι ἔργα*

---

307. Ἀριθμ. 18,3.
312. Ματθ. 13,43. 318. Ματθ. 13,25 ἑ.
319. Ρωμ. 13,12. 326. Ἰω. 8,44.

οἱ ἀκάθαρτες ὅμως ποὺ τυφλὰ ἔχουν
τὰ μάτια τῆς καρδιᾶς, γεμάτες σκότος,
πῶς θ' ἀντικρίσουν τάχατε τὸ θεῖο φέγγος;
Θὰ πεῖς καθόλου. Μὰ τὶς δεήσεις τους γιὰ πές μου
μετὰ τὸ θάνατό τους ποιός θ' ἀκούσει,
κι, ἀλίμονο, τὰ μάτια τους θ' ἀνοίξει,
αὐτῶν ποὺ ἀπὸ μόνοι τους δὲ θέλησαν νὰ δοῦνε
οὔτε ν' ἀνάψουν τὴ λαμπάδα τῆς ψυχῆς τους;
Αὐτοὺς λοιπὸν θὰ τοὺς δεχτεῖ ἄφεγγο σκοτάδι.
Καὶ τὰ σώματα ὅπως εἴπαμε ἐπίσης,
φθείρονται καὶ σαπίζουνε καὶ τῶν ἁγίων
ἀλλὰ τέτοια σηκώνονται ποὺ ἔχουν σπαρεῖ,
σιτάρι καθαρό, σιτάρι ἁγιασμένο,
τοῦ Πνεύματος τοῦ ἁγίου ἅγια σκεύη.
Ἐπειδὴ ὁλοκάθαρα εἶχαν ζήσει
ξανὰ τώρα σηκώνονται γεμάτα δόξα
καὶ λάμπουνε κι ἀστράφτουν σὰν τὸ φῶς τὸ θεῖο.
Σ' αὐτὰ μέσα οἱ ψυχὲς τῶν ἁγίων κατοικώντας
θὰ λάμψουν τότε πέρα ἀπὸ ὅ,τι ὁ ἥλιος
κι ὅμοιοι θὰ γίνουνε μὲ τὸ Δεσπότη,
ἐκείνου ποὺ φυλάξανε τοὺς θείους τοὺς νόμους.
Σηκώνονται καὶ τῶν ἁμαρτωλῶν τὰ σώματα
τέτοια κι αὐτὰ ποὺ εἶχαν σπαρεῖ στὴ γῆ
γεμάτα βόρβορο καὶ δυσοσμία καὶ σήψη,
βέβηλα σκεύη ἀκάθαρτα, κακίας ζιζάνια,
ζόφο γεμάτα, τῆς κακίας καθὼς τὰ ἔργα
ἔχουνε πράξει κι ὄργανα ὅλων τῶν κακῶν
τοῦ πονηροῦ σπορέα ἔχουν χρηματίσει.
καὶ σηκώνονται ἀθάνατα καὶ τοῦτα
κι ἐνῶ ἀπὸ πνεῦμα εἶναι μοιάζουν μὲ τὸ σκότος.
Μὲ τοῦτα οἱ ἄθλιες ψυχὲς σὰν ἑνωθοῦν,
ζοφερὲς κι αὐτὲς κι ἀκάθαρτες ὡς εἶναι
θὰ γίνουν μὲ τὸ διάβολο ὅμοιες,
ἀφοῦ ἔχουν μιμηθεῖ τὰ ἔργα ἐκείνου

*καὶ τὰς ἐκείνου τηρήσασαι προστάξεις,*
*μεθ' οὗ καὶ ταχθήσονται πυρὶ ἀσβέστῳ,*
*τῷ σκότει καὶ ταρτάρῳ παραπεμφθεῖσαι,*
*μᾶλλον δὲ αὗται κατὰ ἀναλογίαν*
*καταχθήσονται τοῦ βάρους, κατ' ἀξίαν*
*τῶν ἁμαρτιῶν, ὧν ἕκαστος βαστάζει*
*κἀκεῖ διάξει εἰς αἰῶνας αἰώνων.*
*Οἱ δὲ ἅγιοι, ὥσπερ εἴπομεν, πάλιν*
*τῶν ἀρετῶν ἕκαστος πτεροῖς ἀρθέντες*
*εἰς ἀπάντησιν καὶ οὗτοι τοῦ Δεσπότου*
*ἀναβήσονται, ἕκαστος κατ' ἀξίαν·*
*ὡς ἑαυτόν τις προευτρέπισε πάντως*
*ἐγγύθεν ἢ πόρρωθεν ἔσται τοῦ κτίστου,*
*συνέσται τ' αὐτῷ εἰς ἀπείρους αἰῶνας*
*σκιρτῶν καὶ τερπόμενος ἄληκτον τέρψιν.*
*Ἀμήν.*

---

329. Ματθ. 3,13. 330. Β' Πέτρ. 2,4.
337. Α' Θεσσ. 4,17.

καὶ τήρησαν τὶς προσταγὲς ἐκείνου
καὶ μαζί του στὸ ἄσβηστο τὸ φῶς θὰ πᾶνε
στὰ τάρταρα καὶ στὸ σκοτάδι πεταμένες
ἢ κάλλιο, ἀνάλογα μὲ τ' ὅποιο ἔχουν
βάρος θὰ ὁδηγηθοῦν κατὰ τὸ μέτρο
τῶν ἁμαρτιῶν καθένας ποὺ σηκώνει
κι ἐκεῖ θὰ ζήσει στοὺς αἰῶνες τῶν αἰώνων.
Ἐνῶ, ὅπως εἴπαμε, οἱ ἅγιοι πάλι
μὲ τὰ φτερὰ τῶν ἀρετῶν τους φτερουγίζοντας
μὲ προϋπάντηση καὶ τοῦτοι τοῦ Δεσπότη
θ' ἀνέβουνε καθένας κατὰ τὴν ἀξία του.
Ὅπως τὸν ἑαυτό του ἔχει κανένας προετοιμάσει
κοντύτερα ἢ μακρύτερα θά 'ναι ἀπ' τὸν κτίστη,
καὶ μαζί του στοὺς ἄπειρους αἰῶνες θὰ εἶναι
σκιρτώντας καὶ μ' ἀτέλειωτη τέρψη θὰ τέρπεται.
Ἀμήν.

## ΝΑ

**Ὅτι τοῦ Πνεύματος λάμποντος ἐν ἡμῖν τοῦ ἁγίου πάντα τὰ τῶν παθῶν φυγαδεύονται ὡς ὑπὸ τοῦ φωτὸς τὸ σκότος· συστέλλοντος δὲ αὐτοῦ τὰς ἀκτῖνας, ὑπὸ τούτων καὶ τῶν πονηρῶν βαλλόμεθα λογισμῶν.**

*Τό φῶς σου περιλάμπον με ζωογονεῖ, Χριστέ μου,*
*τὸ γὰρ ὁρᾶν σε ζώωσις, ἀνάστασίς τε πέλει.*
*Τὸ πῶς εἰπεῖν οὐκ ἔχω σου φωτὸς τὰς ἐνεργείας,*
*πλὴν τοῦτο ἔργῳ ἔγνωκα καὶ γινώσκω, Θεέ μου,*
*ὅτι κἂν νόσῳ, Δέσποτα, κἂν θλίψεσι κἂν λύπαις*
*κἂν ἐν δεσμοῖς κἂν ἐν λιμῷ κἂν φυλακῇ κρατῶμαι,*
*κἂν δεινοτέροις ἀλγεινοῖς συνέχωμαι, Χριστέ μου,*
*τὸ φῶς σου λάμψαν ἅπαντα ὡς σκότος ἀπελαύνει,*
*καὶ ἐν ἀνέσει καὶ φωτὶ καὶ φωτὸς ἀπολαύσει*
*αἴφνης ποιεῖ με γίνεσθαι τὸ Πνεῦμά σου τὸ Θεῖον.*
*Τὰς θλίψεις ἔγνων ὡς καπνόν, τοὺς λογισμοὺς ὡς σκότος*
*ὡς βέλη τε τοὺς πειρασμούς, τὰς μερίμνας ὡς ζόφον,*
*ὡς δὲ θηρία τὰ πάθη χρηματίζοντα, Λόγε,*
*ἐξ ὧν με ἠλευθέρωσας, ἐξ ὧν ἐρρύσω πάλαι,*
*κατὰ μικρὸν ἐκλάμψας σου φῶς ἐν ἐμοὶ τὸ θεῖον,*
*καὶ νῦν ἐν μέσῳ τούτων ὄντα με, Χριστέ, Θεέ μου,*
*διαφυλάττεις ἄτρωτον, σκέπων με τῷ φωτί σου.*
*Ἐπεὶ δὲ πταίω πάμπολλα, καθ' ὥραν ἁμαρτάνων,*
*ἐπεὶ δὲ κατεπαίρομαι, ἐπεί σε παροργίζω,*
*δέομαι τῆς εὐσπλάγχνου σου παιδεύσεως, Χριστέ μου,*
*ἣν καὶ σφοδρῶς αἰσθάνομαι ἐν ἐμοὶ γενομένην*
*τοῦ ἀπροσίτου, Δέσποτα, καὶ παμφαοῦς καὶ θείου,*

**῞Οτι, ὅταν λάμπει μέσα μας τὸ ἅγιο Πνεῦμα, ὅλα τὰ πάθη τρέπονται σὲ φυγὴ ὅπως τὸ σκότος ἀπὸ τὸ φῶς, ἐνῶ ὅταν αὐτὸ μαζεύει τὶς ἀκτίνες του, δεχόμαστε τὶς προσβολὲς τῶν παθῶν καὶ τῶν πονηρῶν λογισμῶν.**

Τό φῶς σου ποὺ μὲ πλημμυρᾶ μὲ ζωογονεῖ, Χριστέ μου,
τὸ νὰ σὲ βλέπω εἶναι ζωὴ κι ἀνάσταση ἐπίσης.
Τρόπο δὲν ἔχω νὰ σοῦ πῶ τὰ ἔργα τοῦ φωτός σου,
μὰ ἕνα στὴν πράξη τό 'μαθα καὶ τὸ μαθαίνω, Θεέ μου,
πῶς καὶ στὴ νόσο, Δέσποτα, στὶς θλίψεις καὶ στὶς λύπες,
σὲ φυλακὴ εἴτε σὲ λιμὸ κι ἢ σὲ δεσμὰ κρατιέμαι
κι ἂν σὲ δεινότερα κακὰ παιδεύομαι, Χριστέ μου,
ὅλα τὸ φῶς σου λάμποντας σὰ σκότος τὰ σκορπίζει
κι ἄξαφνα μὲς στὴν ἄνεση τὸ Πνεῦμα σου τὸ Θεῖο,
στὸ φῶς καὶ στὴν ἀπόλαυση τοῦ θείου φωτὸς μὲ ρίχνει.
Νιώθω τὶς θλίψεις σὰν καπνό, τοὺς λογισμοὺς σὰν σκότος,
καὶ σὰν βέλος τοὺς πειρασμούς, τὶς μέριμνες σὰν ζόφο,
καὶ σὰν θηρία ἄγρια νά 'ναι τὰ πάθη, Λόγε,
κι ἀπ' αὐτὰ μ' ἐλευθέρωσες καὶ μ' ἔχεις τώρα σώσει,
τὸ φῶς τὸ θεῖο σου ρίχνοντας σ' ἐμένα λίγο–λίγο,
κι ἐνῶ στὴ δίνη τους, Χριστέ, βρίσκομαι, τώρα, Θεέ μου,
σὺ μὲ φυλάγεις ἄτρωτο, σκέποντας μὲ τὸ φῶς σου.
Κι ἀφοῦ ἁμαρτίες ἔχω πολλὲς σφάλλοντας κάθε ὥρα
κι ἀφοῦ ἔχω ἔπαρση πολλὴ κι ὁλοένα σὲ θυμώνω,
παρακαλῶ, φιλάνθρωπε Χριστέ, νὰ μὲ παιδέψεις,
πράγμα ποὺ νιώθω ὀδυνηρὰ νὰ γίνεται σ' ἐμένα,
ὅταν τὸ θεῖο ὑποχωρεῖ τὸ φῶς σου ποὺ μὲ σκέπει.

*ὑποχωρήσει τοῦ θείου φωτὸς τοῦ σκέποντός με.
Ὡς γὰρ ἡλίου δύναντος νὺξ γίνεται καὶ σκότος
καὶ ἐξίασιν ἅπαντα πρὸς βρῶσιν τὰ θηρία,
οὕτως ἀποσκεπάζον με, ὦ Θεέ μου, τὸ φῶς σου,
εὐθὺς τοῦ βίου σκότος με θάλασσα λογισμῶν τε
περικαλύπτει καὶ παθῶν θηρία κατεσθίει,
καὶ βέλεσι τιτρώσκομαι τῶν λογισμῶν ἁπάντων.
Ἐπὰν δὲ πάλιν σπλαγχνισθῇς, ἐπὰν κατελεήσῃς,
ἐπὰν ἐπακροάσῃ τε τῶν γοερῶν μου θρήνων
καὶ στεναγμοὺς ἐνωτισθῇς καὶ δάκρυα προσδέξῃ
καὶ ἐπὶ τὴν ταπείνωσιν ἐπιβλέψαι θελήσῃς
ἐμοῦ τοῦ ἁμαρτήσαντος ἀσύγγνωστα, Χριστέ μου,
ἀπὸ μακρόθεν ὡς ἀστὴρ ἀνατέλλων ὁρᾶσαι,
πλατύνεσαι κατὰ μικρὸν οὐκ αὐτὸς τοῦτο πάσχων,
ἀλλὰ τὸν νοῦν τοῦ δούλου διανοίγων τοῦ βλέπειν.
Μειζόνως ὥσπερ ἥλιος κατ᾽ ὀλίγον ὁρᾶσαι,
καὶ γὰρ τοῦ σκότους φεύγοντος καὶ ἀφανιζομένου
ἔρχεσθαί σε λογίζομαι, τὸν πανταχοῦ παρόντα·
ὅτε δὲ ὅλον, ὡς τὸ πρίν, περικυκλώσῃς, Σῶτερ,
ὅτε ὅλον σκεπάσῃς με, ὅλον με περιλάβῃς,
ἐλευθεροῦμαι τῶν κακῶν, λυτροῦμαι καὶ τοὺς σκότους
καὶ πειρασμῶν καὶ τῶν παθῶν καὶ λογισμῶν ἁπάντων,
πληροῦμαι γὰρ χρηστότητος, πληροῦμαι εὐφροσύνης
καὶ καταπίμπλαμαι χαρᾶς ἀφάτου θυμηδίας,
ὁρῶν φρικτὰ μυστήρια, ὁρῶν θαύματα ξένα,
ὁρῶν ἃ οὐ τεθέαται ὀφθαλμὸς οὐδὲ βλέψαι
ἀνθρώπου ἐξισχύσειεν, ἀλλ᾽ οὐδὲ οὖς ἀκοῦσαι,
ἐπὶ καρδίαν δὲ βροτῶν οὐκ ἀνέβη οὐδ᾽ ὅλως,
καὶ καταπλήττομαι σφοδρῶς, ἐξίσταμαι ἐν τούτοις
καὶ πάντων τῶν ἐπὶ τῆς γῆς ὅλως ἀλλοτριοῦμαι
ἀκαταπαύστοις ἐν φωναῖς ἀνυμνῶν σε, Θεέ μου,*

---

24. Βλ. Ψαλμ. 104,19–21. 33. Λουκᾶ 1,48. 35. Ἀριθμ. 24,17.
37. Λουκᾶ 24,45. Ματθ.17,2. 48. Βλ. Α΄ Κορ.2,9.

Ὡς μὲ τὴ δύση τοῦ ἡλιοῦ νύχτα ἔρχεται καὶ σκότος
καὶ γιὰ κυνήγι ἀπ' τὶς φωλιὲς βγαίνουνε τὰ θηρία,
ἔτσι τὸ φῶς ἀκάλυπτο ὅταν μ' ἀφήνει, Θεέ μου,
ἡ θάλασσα τῶν λογισμῶν κι εὐθὺς τοῦ βίου τὸ σκότος
μὲ πνίγουνε καὶ τῶν παθῶν τ' ἀγρίμια μὲ σπαράζουν
καὶ κάθε εἶδος λογισμῶν τὰ βέλη μὲ πληγώνουν.
Μ' ἂν δείξεις πάλι ἔλεος, ἂν δείξεις εὐσπλαχνία,
κι ὅταν ἀφουγκραστεῖς ξανὰ τοὺς γοερούς μου θρήνους
κι ἀκροαστεῖς τοὺς στεναγμούς, δεχτεῖς τὰ δάκρυά μου
καὶ βλέμμα στὴν ταπείνωση νὰ ρίξεις ἂν θελήσεις,
ἐμένα ποὺ ἀσυγχώρητα, Χριστέ μου, ἔχω ἁμαρτήσει,
ἀπὸ μακριὰ διακρίνεσαι σὰν ἄστρο π' ἀνατέλλει,
κι ὁλοένα μεγαλώνοντας, γιὰ σὲ δὲν εἶναι ἀλήθεια,
μὰ ἀνοίγεις μόνο νὰ θωρεῖ τοῦ δούλου σου τὸ πνεῦμα.
Καὶ πιὸ μεγάλος φαίνεσαι σὰν ἥλιος λίγο–λίγο,
γιατὶ τὸ σκότος σὰν χαθεῖ κι ἀφανιστεῖ τελείως
σκέφτομαι ἐσὺ πῶς ἔρχεσαι, ὁ παρὼν σὲ κάθε μέρος.
Κι ὅταν ὁλόκληρο, ὅπως πρίν, μὲ κατακλύσεις, Θεέ μου,
καὶ γύρω γύρω ὁλόκληρο σὰν μὲ περισκεπάσεις
λυτρώνομαι ἀπὸ τὰ κακά, λυτρώνομαι ἀπ' τὸ σκότος,
τὰ πάθη καὶ τοὺς πειρασμοὺς καὶ τοὺς λογισμοὺς ὅλους·
γεμίζω ἀπὸ γλυκύτητα, κι ἀπὸ χαρὰ γεμίζω
κι ἀπὸ εὐφροσύνη πλημμυρῶ, ψυχῆς ἄφατη γλύκα,
φρικτὰ μυστήρια βλέποντας καὶ θαύματα θωρώντας,
ποὺ βλέποντας δὲν ἔχει δεῖ ποτὲ ἀνθρώπου μάτι
κι οὔτε καὶ κάποτε θὰ δεῖ κι οὔτε κι αὐτὶ θ' ἀκούσει
κι οὔτε ἀνεβῆκαν σὲ θνητοῦ καρδιὰ καθόλου ἀνθρώπου.
Καὶ νιώθω ἔκπληξη σφοδρὴ καὶ ἔκσταση μὲ ὅλα τοῦτα
κι ἀπ' ὅσα βρίσκονται στὴ γῆ γίνομαι ἀπ' ὅλα ξένος
καὶ μ' ἀκατάπαυστες φωνὲς σὲ ἀνυμνῶ, Θεέ μου,

36. Ὁ Χριστὸς εἶναι πάντοτε ὁ ἴδιος, οὔτε αὐξάνεται οὔτε μειώνεται· ἀνοίγει ἢ στενεύει ὁ νοῦς τοῦ ἀνθρώπου.

40. Κι ἐδῶ γίνεται ἄλλη μιὰ διόρθωση. Πῶς ἔρχεται ἀφοῦ εἶναι πανταχοῦ παρών;

*κατανοῶν ἐν ἐμαυτῷ ἀλλοίωσιν τὴν ξένην*
*καὶ τρόπον ἀντιλήψεως χειρὸς παντοδυνάμου,*
*πῶς λάμψει μόνου σου φωτὸς καὶ τῇ ἐπιφανείᾳ*
*πᾶσαν λύπην ἐδίωξας, ἐξήρπασας τοῦ κόσμου*
*καὶ ἑνωθείς μοι μυστικῶς εἰς οὐρανὸν εὐθύς με*
*ἀποκατέστησας ἐκεῖ, ἔνθα οὐκ ἔστι λύπη,*
*οὐ στεναγμός, οὐ δάκρυον, οὐκ ὄφις δάκνων πτέρναν,*
*καὶ ἔδειξας ἀκάματον, ἀταλαίπωρον τρίβον*
*τὴν ἐναντίαν, τὴν στενήν, τὴν δύσβατον ἀνθρώποις*
*ἤ, ἀληθέστερον εἰπεῖν, ἄβατον πᾶσιν οὖσαν.*
*Τίς γάρ ποτε ἐξίσχυσεν ἢ τίς ποτε ἰσχύσει*
*ἀνθρώπων εἰς τὸν οὐρανὸν ἐν σώματι γενέσθαι*
*ἢ καὶ χωρὶς τοῦ σώματος, ποίοις πτεροῖς πετάσας;*
*Ἠλίας ἅρματι πυρὸς ἐπήρθη καὶ πρὸ τούτου*
*Ἐνώχ, ἀλλ' οὐκ εἰς οὐρανούς, ἐν ἑτέρῳ δὲ τόπῳ,*
*οὐχὶ αὐτὸς ἀφ' ἑαυτοῦ, πλὴν ὅμως μετετέθη.*
*Τί δὲ πρὸς τὰ γινόμενα ἐν ἡμῖν εἰσι ταῦτα;*
*Πῶς ὅλως ἔσται σύγκρισις σκιᾶς καὶ ἀληθείας,*
*ἢ πνεύματος λειτουργικοῦ καὶ δουλικοῦ, εἰπέ μοι,*
*πρὸς Πνεῦμα τὸ δεσποτικὸν καὶ παντουργὸν καὶ θεῖον,*
*τὸ στερεοῦν καὶ δυναμοῦν πᾶσαν κτιστὴν οὐσίαν;*
*Τὰ μὲν γὰρ ἄλλα ποίημα, ποιητὴς δ' αὐτὸ μόνον,*
*ὡς τοῦ Πατρὸς ἀχώριστον καὶ τοῦ Υἱοῦ ὡσαύτως.*
*Θεὸς τὰ τρία, εἷς Θεὸς ἡ Τριὰς καὶ γὰρ ἔστιν·*
*αὕτη τὸ πᾶν οὐσίωσεν, ἔκτισεν αὕτη πάντα,*
*αὕτη τὸν Λόγον καὶ Υἱὸν τοῦ Πατρὸς ἐν τῷ κόσμῳ*
*κατὰ τὴν σάρκα ἔκτισεν εἰς ἡμῶν σωτηρίαν,*
*ἀχώριστον τοῦ τε Πατρὸς καὶ τοῦ Πνεύματος ὄντα.*
*Σαρκοῦται δὲ τοῦ Πνεύματος ὄντως τῇ ἐπελεύσει*
*καὶ γίνεται ὅπερ οὐκ ἦν, ἄνθρωπος ὅμοιός μοι,*

---

55. Σοφ. Σολ. 11,17. 59. Ἀποκ. 21,4.
60. Γεν. 3,15· 49,17. 61. Ματθ. 7,14.
65. Β' Κορ. 12,3. 67. Δ' Βασ. 2,1 ἑ.
68. Γεν. 5,24. 69. Ἑβρ. 11,5. 72. Ἑβρ. 1,14. 83. Ἑβρ. 4,15.

ἀλλοίωση παράδοξη ὡς μέσα μου συμβαίνει
καὶ νιώθω παντοδύναμο χέρι νὰ μὲ κρατάει,
πῶς μοναχὰ ποὺ ἔλαμψε καὶ φάνηκε τὸ φῶς σου
ἔδιωξες κάθε λύπη μου, μ' ἅρπαξες ἀπ' τὸν κόσμο,
καὶ ἐνωμένος μυστικὰ μ' ἐμένα στὰ οὐράνια
εὐθὺς μ' ἀποκατάστησες, ἀπ' ὅπου ἀπουσιάζουν
δάκρυα, λύπες, στεναγμοί, δαγκωματιὰ ἀπ' τὸ φίδι,
καὶ μοῦ 'δειξες ξεκούραστο καὶ ὁμαλὸ τὸ δρόμο
πού 'ταν κενὸς κι ἀντίθετος καὶ δύσβατος στὸν κόσμο
ἢ – καὶ τὸ πιὸ ἀληθινὸ – ἀπάτητος ἀπ' ὅλους.
Γιατὶ ποιός μπόρεσε ποτὲ καὶ ποιός θὲ νὰ μπορέσει
ἄνθρωπος μὲ τὸ σῶμα του στὸν οὐρανὸ νὰ φτάσει
ἢ καὶ χωρὶς τὸ σῶμα του, μὲ ποιά φτερὰ πετώντας;
Μὲ τὸ ἅρμα ὁ Ἠλίας τὸ πύρινο ὑψώθη καὶ πιὸ πρῶτα
ὁ Ἐνώχ, ὄχι στὸν οὐρανὸ μὰ σὲ ἄλλο κάποιο τόπο·
καὶ πάλι πῆγε πρὸς τὰ ἐκεῖ ὄχι ἀπὸ μοναχός του.
Μὰ ἐμπρὸς σὲ ὅσα γίνονται μέσα μας τί 'ναι τοῦτα;
Πῶς νὰ σταθεῖ μιὰ σύγκριση τῆς σκιᾶς μὲ τὴν ἀλήθεια,
ἢ πνεῦμα ποὺ ὑπηρετεῖ σὰ δοῦλος, μπρὸς στὸ Πνεῦμα,
τὸ θεῖο καὶ τὸ κυρίαρχο καὶ ποὺ ἔπλασε τὰ πάντα,
καὶ ποὺ στεριώνει ὅποια κτιστὴ οὐσία καὶ δυναμώνει;
Εἶναι ὅλα τὰ ἄλλα κτίσματα κι αὐτὸ μονάχα κτίστης,
ἀπ' τὸν Πατέρα ἀχώριστο κι ἀπὸ τὸ Γιὸ ἐξίσου,
Θεὸς τὰ τρία, γιατὶ Θεὸς ἕνας εἶναι ἡ Τριάδα·
ἔδωσε οὐσία στὸ πᾶν αὐτὴ κι ἔκτισε αὐτὴ τὰ πάντα,
αὐτὴ τὸ Λόγο, Υἱὸ τοῦ Θεοῦ, Πατέρα μὲς στὸν κόσμο
κατὰ τὴ σάρκα ἔπλασε ὅλους ἐμᾶς νὰ σώσει,
ἀπ' τὸν Πατέρα ἀχώριστο καθὼς κι ἀπὸ τὸ Πνεῦμα.
Τὸ Πνεῦμα ὡς ἦρθε ἀληθινὰ παίρνει τὴ σάρκα Ἐκεῖνος
κι ὅ,τι δὲν ἦταν γίνεται, ἄνθρωπος σὰν κι ἐμένα,

---

70. Μὲ ἀφορμὴ ὅ,τι λέει στὸ στίχο 68 συγκρίνει τὴ δική του ἀποκατάσταση στοὺς οὐρανοὺς μὲ τὴν ἁρπαγὴ τοῦ Ἠλία καὶ τὴ μετάθεση τοῦ Ἐνώχ. Ἡ ἐξήγηση δίνεται στοὺς στίχους 89 κ.ἑ., 108–9.

*πλὴν ἁμαρτίας καὶ πάσης ἐκτός γε ἀνομίας,*
*Θεὸς ὁμοῦ καὶ ἄνθρωπος ὁρώμενος τοῖς πᾶσιν,*
*ἔχων τὸ Πνεῦμα τὸ Θεῖον αὐτοῦ συνὸν τῇ φύσει,*
*μεθ' οὗ νεκροὺς ἐζώωσε, τυφλῶν ἤνοιξε κόρας,*
*λεπρούς τε ἐκαθάρισε δαίμονας ἀπελάσας.*
*Οὗτος σταυρὸν ὑπενεγκὼν καὶ θάνατον ὡσαύτως*
*ἐξαναστὰς ἐν Πνεύματι ἀνελήφθη ἐν δόξῃ*
*καὶ τρίβον τὴν εἰς οὐρανοὺς ἐνεκαίνισε πᾶσι*
*τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐν ἀδιστάκτῳ πίστει,*
*καὶ Πνεῦμα τὸ Πανάγιον ἐξέχεε πλουσίως*
*εἰς πάντας τοὺς δεικνύοντας τὴν πίστιν ἐκ τῶν ἔργων*
*καὶ νῦν ἀφθόνως τοῦτό γε ἐκχεῖ πρὸς τοὺς τοιούτους,*
*θεοποιεῖ τε δι' αὐτοῦ, οἷς συναφθῇ ἀθρόον,*
*καὶ ἐξ ἀνθρώπων ἀλλοιοῖ τούτους ἀναλλοιώτως*
*καὶ τέκνα δείκνυσι Θεοῦ, ἀδελφοὺς τοῦ Σωτῆρος,*
*συγκληρονόμους μὲν Χριστοῦ, Θεοῦ δὲ κληρονόμους,*
*θεοὺς Θεῷ συνόντας γε Πνεύματι ἐν ἁγίῳ,*
*δεσμίους μὲν μόνῃ σαρκί, πνεύματι δ' ἐλευθέρους,*
*συνανιόντας τῷ Χριστῷ εἰς οὐρανοὺς εὐκόλως,*
*ὅλον τε τὸ πολίτευμα κεκτημένους ἐκεῖσε*
*ἐν θεωρίᾳ τῶν καλῶν, ὧν ὀφθαλμοὶ οὐκ εἶδον.*
*Τί οὖν τὸ ἅρμα τοῦ πυρός, τὸ Ἠλίαν ἁρπάσαν,*
*τίς ἡ Ἐνὼχ μετάθεσις ὑπάρχουσι πρὸς ταῦτα;*
*Ἐγὼ δοκῶ· ὡς θάλασσα τμηθεῖσα ῥάβδῳ πάλαι*
*καὶ μάννα ἐκ τοῦ οὐρανοῦ κατελθόν, τύπος μόνον*
*καὶ ἀληθείας σύμβολα ταῦτα πάντως ὑπῆρχον·*
*–ἡ θάλασσα βαπτίσματος, τὸ μάννα τοῦ Σωτῆρος–,*
*οὕτω κἀκεῖνα σύμβολα τούτων εἰσὶ καὶ τύπος,*
*ἀσύγκριτον ὑπεροχὴν κεκτημένων καὶ δόξαν,*
*ὅσον κτιστοῦ τὸ ἄκτιστον ὑπερέχει τῇ φύσει.*

---

88. Ματθ. 10,8. 90. Α' Τιμ. 3,16. 91. Ἑβρ. 10,20.
93. Τίτ. 3,6. 94. Ἰακ. 2,18. 98–99. Ρωμ.8,16 ἑ.
103. Φιλ. 3,20. 104. Α' Κορ. 2,9. 105. Δ' Βασ. 2,1 ἑ.

ἀλλὰ ἀπὸ ἁμαρτία χωρὶς καὶ κάθε ἀνομία,
Θεὸ μαζὶ καὶ ἄνθρωπο γιὰ νὰ τὸν βλέπουν ὅλοι,
ἔχοντας μὲ τὴ φύση του τὸ Θεῖο Πνεῦμα δεμένο,
ποὺ ἔδωσε σὲ νεκροὺς ζωὴ καὶ σὲ τυφλοὺς τὸ φῶς τους,
ὁποὺ καθάρισε λεπροὺς κι ἀπόδιωξε δαιμόνους.
Αὐτὸς ὑπόμεινε σταυρὸ καὶ θάνατον ἐδέχτη
κι ὡς Θεὸς ὁποὺ ἀναστήθηκε καὶ πάει μὲ δόξα ἐπάνω
τὸ δρόμο ἐγκαινιάζοντας στοὺς οὐρανοὺς γιὰ ὅλους
ὅσοι πιστεύουνε σ' αὐτὸν μὲ ἀδίσταχτη τὴν πίστη
καὶ πλούσια τὸ Πανάγιον ἐξέχυνε τὸ Πνεῦμα
σ' ὅλους ποὺ μὲ τὰ ἔργα τους τὴν πίστη φανερῶναν·
καὶ τώρα ἄφθονα σκορπᾶ τὸ Πνεῦμα σ' ὅλους τούτους
καὶ μέσον του κάνει θεοὺς ἂν ἑνωθεῖ μὲ κάποιους
καὶ τούτους δίχως ἀλλαγὴ ἀπ' ἀνθρώπους τοὺς ἀλλάζει,
παιδιὰ τοὺς δείχνει τοῦ Θεοῦ κι ἀδελφοὺς τοῦ Σωτήρα,
συγκληρονόμους τοῦ Χριστοῦ καὶ τοῦ Θεοῦ κληρονόμους,
θεοὺς μὲ τὸ Θεὸ πού 'ναι μαζὶ μέσα στὸ ἅγιο Πνεῦμα,
δεσμῶτες μόνο τῆς σαρκός, μὰ ἐλεύθερη στὸ πνεῦμα,
ποὺ ὑψώνονται μὲ τὸ Χριστὸ πανεύκολα στὰ οὐράνια
κι εἶναι πολίτες τέλειοι τῆς πολιτείας ἐκείνης,
νὰ βλέπουν ὅλα τὰ καλὰ ποὺ δὲν τὰ εἶδαν μάτια.
Τί 'ναι τὸ ἅρμα τὸ πύρινο ποὺ ἅρπαξε τὸν Ἠλία,
καὶ τί ἡ μετάθεση τοῦ Ἐνὼχ εἶναι μπροστὰ σὲ τοῦτα;
Θαρρῶ ὅτι ἡ θάλασσα παλιὰ ποὺ χώρισε ἀπ' τὸ ξύλο
κι ἀπ' τὰ οὐράνια ποὺ ἔπεσε τὸ μάννα, τύπος μόνο
καὶ σύμβολα ἦταν ἁπλὰ μονάχα τῆς ἀλήθειας
–τὸ βάπτισμα ἡ θάλασσα, τὸ μάννα εἶν' ὁ Σωτήρας–
–ἔτσι κι ἐκεῖνα σύμβολα εἶναι γι' αὐτὸν καὶ τύπος,
ποὺ ἀσύγκριτην ὑπεροχὴ ἔχουν μαζὶ καὶ δόξα,
ὅσο ὑπερέχει ἀπ' τὸ κτιστὸ τὸ ἄκτιστο στὴ φύση.

---

106. Γεν. 5,24. 107. Ἐξ. 14,16.
108. Ἐξ. 16,33. Ἰω. 6,32. 109. Α' Κορ. 10,6.

*Τὸ μάννα γάρ, ὃ λέγεται ἄρτος, τροφὴ ἀγγέλων,*
*ὃν ἔφαγον οἱ ἄνθρωποι ἐν τῇ ἐρήμῳ τότε,*
*ἐξέλιπεν, ἀπώλετο, ἀπέθανόν τε πάντες*
*καὶ ὅσοι τοῦτο ἔφαγον· ζωῆς γὰρ οὐ μετεῖχεν.*
*Ἡ σὰρξ δὲ τοῦ Δεσπότου μου τεθεωμένη οὖσα,*
*ζωῆς μεστή τε πέλουσα πάντας ζωῆς μετόχους*
*τοὺς τρώγοντας ἀποτελεῖ καὶ ποιεῖ ἀθανάτους·*
*διαβιβάζει τε αὐτοὺς οὐ πέλαγος θαλάσσης,*
*οὐδ' ἐξ Αἰγύπτου μεθιστῶν πρὸς ἄλλην γῆν μετάγει*
*φθαρτοὺς καρποὺς προφέρουσαν καὶ αὖθις τοῖς ἀνθρώποις,*
*ἀλλ' o08100 θεοὺς Θεῷ ὑδὲ τεσσαράκοντα ἐπὶ χρόνοις βαδίζι*
*διακελεύεται ἡμᾶς ὁ λυτρωτὴς τοῦ κόσμου,*
*ἵνα καὶ καταλάβωμεν γῆν τῆς ἐπαγγελίας,*
*ἀλλ' ἀδιστάκτῳ πίστει γε βαπτισθέντας ἀθρόον,*
*αἵματός τε καὶ τῆς αὐτοῦ σαρκὸς μεταλαβόντας*
*ἀπὸ θανάτου εἰς ζωήν, εἰς φῶς τε ἀπὸ σκότους,*
*ἀπὸ τῆς γῆς εἰς οὐρανοὺς ἀναφέρει εὐθέως*
*Πρότερον ἀπεκδύσας με φθορᾶς καὶ τοῦ θανάτου*
*καὶ ὅλον ἐλευθερώσας με ἐν αἰσθήσει καὶ γνώσει,*
*– τὸ δὲ πάντων φρικτότερον– οὐρανὸν καινὸν ἔδειξέ με*
*καὶ ἐν ἐμοὶ κατῴκησεν ὁ τῶν ἁπάντων κτίστης,*
*οὗπερ οὐδεὶς τῶν πρόπαλαι ἁγίων ἠξιώθη.*
*Ἐλάλει γὰρ τὸ πρότερον διὰ Πνεύματος Θείου*
*καὶ ἐνεργείᾳ τῇ αὐτοῦ τὰ θαύματα ἐποίει,*
*οὐσιωδῶς δὲ οὐδαμῶς τινι Θεὸς ἠνώθη*
*πρὸ τοῦ γενέσθαι ἄνθρωπον τὸν Χριστὸν καὶ Θεόν μου.*
*Λαβὼν γὰρ σῶμα δέδωκεν αὐτοῦ Πνεῦμα τὸ Θεῖον,*
*οὐσιωδῶς ἑνοῦται δὲ δι' αὐτοῦ πιστοῖς πᾶσι*
*καὶ γίνεται ἀχώριστος ἡ ἕνωσις ἡ τούτων.* *[νην–.*
*Φεῦ μοι! –στενάζω γὰρ πικρῶς τὴν τῶν ἀνθρώπων πλά-*
*Πῶς οὐ πιστεύομεν Χριστῷ, πῶς οὐκ ἀκολουθοῦμεν,*

---

114. Σοφ. Σολ16,20. 115. Ἰω. 6,49 ἑ.
120. Ἰω. 6,54. 124. Ἐξ. 16,35. 126. Ἑβρ. 11,9.

Τὸ μάννα ποὺ ὀνομάζεται τροφὴ κι ἄρτος ἀγγέλων,
ὁποὺ οἱ ἄνθρωποι ἔφαγαν στὴν ἔρημο τὰ χρόνια
ἐκεῖνα πάει, τελείωσε κι ἔχουν ὅλοι πεθάνει
κι αὐτοὶ ποὺ ἀκόμα τό 'φαγαν· γιατὶ ζωὴ δὲν εἶχε.
Μὰ ἡ σάρκα τοῦ Δεσπότη μου ποὺ εἶναι θεωμένη
κι εἶναι μεστὴ ἀπὸ ζωὴ συμμέτοχούς της ὅλους
κάνει ὅλους τούτους ποὺ τὴν τρῶν' καὶ τοὺς ἀθανατίζει
καὶ τοὺς περνᾶ διασχίζοντας ὄχι πέλαγος μέγα
οὔτε κι ἀπὸ τὴν Αἴγυπτο τοὺς φέρνει σ' ἄλλη χώρα,
παρέχοντας φθαρτοὺς καρποὺς καὶ πάλι στοὺς ἀνθρώπους,
οὔτε σαράντα ὁλοκληρα χρόνια νὰ περπατᾶμε
ἔδωσεν ὁρισμὸ σ' ἐμᾶς ὁ λυτρωτὴς τοῦ κόσμου,
ὥστε στὴ γῆ νὰ φτάσομε ὅπου μᾶς ἐπαγγέλθη,
ἀλλὰ μὲ πίστη ἀκλόνητη μετὰ τὸ βάπτισμά μας
καὶ τὸ αἷμα καὶ τὴ σάρκα του ἔχοντας μεταλάβει
ἀπὸ τὸ θάνατο στὴ ζωή, στὸ φῶς ἀπ' τὸ σκοτάδι
κι ἀπὸ τὴ γῆ στὸν οὐρανὸ μᾶς ἀνυψώνει ἀμέσως.
Μ' ἀπάλλαξε ἀπὸ τὴ φθορὰ καὶ τὸ θάνατο πρῶτα
κι ἐλεύθερο στὴν αἴσθηση μ' ἔκανε καὶ στὴ γνώση
καὶ τὸ ἀπὸ ὅλα πιὸ φρικτὸ –νέον οὐρανὸ μὲ δείχνει
καὶ μέσα μου κατοίκησε ὁ δημιουργὸς τῶν ὅλων,
ποὺ δὲν ἀξιώθηκε κανεὶς ἀπ' τοὺς ἀρχαίους ἁγίους.
Μιλοῦσε καὶ πρωτύτερα μὲ τὸ ἅγιο του τὸ Πνεῦμα
καὶ ἔκανε τὰ θαύματα μὲ τὴν ἐνέργειά του,
μὰ δὲν ἑνώθη ὁ Θεὸς ποτὲ μὲ κάποιον κατ' οὐσίαν
προτοῦ νὰ γίνει ἄνθρωπος ὁ Χριστὸς καὶ Θεός μου.
Ἔλαβε σῶμα κι ἔδωσε τὸ Θεῖο του τὸ Πνεῦμα
καὶ κατ' οὐσίαν μὲ τοὺς πιστοὺς μέσον του ἑνώνεται ὅλη
καὶ γίνεται ἀδιάσπαστη ἡ ἕνωση μὲ τούτους.
Πικρὰ στενάζω, ἀλίμονο! τὴν πλάνη τῶν ἀνθρώπων.
Πῶς ἀπιστοῦμε στὸ Χριστό, πῶς δὲν ἀκολουθοῦμε,

128. Ἰω. 6,53. 129. Α' Ἰω. 3,14. Α' Πέτρ. 2,9.
133. Ἠσ. 65,17. 136. Β' Πέτρ. 1,21.

*πῶς οὐ ποθοῦμεν τὴν ζωήν, πῶς τὸν ἐκείνου πλοῦτον*
*τὸν ἄσυλον, τὸν ἄφθαρτον, τὴν δόξαν τὴν ἀγήρω*
*διαγωγῆς τῆς μετ' αὐτοῦ, πῶς οὐκ ἐπιθυμοῦμεν;*
*Πῶς τοῖς φθαρτοῖς προσκείμενοι νομίζομεν σωθῆναι,*
*οἱ μὴ φιλοῦντες τὸν Χριστὸν πλεῖον τῶν ὁρωμένων*
*μηδὲ ἐλπίζοντες αὐτῷ συνεῖναι μετὰ πότμον;*
*ἀλλὰ ἀναισθητότεροί εἰσι ξύλων τε καὶ τῶν λίθων.*
*Ἀλλ', ὦ Χριστέ μου, ῥῦσαί με τῆς τούτων ἀλογίας*
*καὶ σὲ φιλεῖν ἐκδίδαξον, τὴν ζωὴν πιστῶν πάντων!*
*Σοὶ γὰρ σὺν τῷ Πατρὶ καὶ Πνεύματί σου Θείῳ*
*δόξα πρέπει καὶ αἶνεσις, τιμὴ προσκύνησίς τε*
*νῦν καὶ ἀεὶ ὡς βασιλεῖ εἰς αἰῶνας αἰώνων,*
*καὶ τῶν ἁπάντων ποιητῇ, Θεῷ τε καὶ Δεσπότῃ.*
*Ἀμήν.*

πῶς δὲν ποθοῦμε τὴ ζωή, πῶς τὸ δικό του πλοῦτο,
πλοῦτο ἄφθαρτο κι ἀσύλητο, τὴ δόξα δίχως γήρας
καὶ τὴ ζωὴ μαζὶ μ’ αὐτόν, πῶς δὲν ἐπιθυμοῦμε;
Πῶς κολλημένοι στὰ φθαρτὰ λέμε πὼς θὰ σωθοῦμε,
ἂν τὸ Χριστὸ περσότερο δὲν ἀγαποῦμε ἀπ’ ὅλα
καὶ δὲν ἐλπίζομε μαζὶ πὼς θά ’μαστε ἐκδημῶντας;
’Αλλὰ εἶναι πιὸ ἀναίσθητοι ἀπὸ ξύλα κι ἀπὸ πέτρες.
Μὰ ἀπ’ τὴν ἀνοησία τους σῶσε με ἐσύ, Χριστέ μου·
μάθε μου ἐσένα ν’ ἀγαπῶ τὴ ζωὴ τῶν πιστῶν ὅλων.
Σ’ ἐσὲ καὶ στὸν Πατέρα σου καὶ στ’ ἅγιο σου τὸ Πνεῦμα
δόξα τιμή, προσκύνηση καὶ ἡ αἶνεση σοῦ πρέπει
τώρα καὶ πάντα ὡς βασιλιὰ στοὺς αἰῶνες τῶν αἰώνων,
καὶ ὧς τῶν ὅλων δημιουργό, Θεὸ καὶ Κύριό μας.
’Αμήν.

## ΝΒ

***Περὶ Θεολογίας, καὶ ὅτι τῷ μὴ ἀλλοιωθέντι τῇ τοῦ ἁγίου Πνεύματος μετουσίᾳ καὶ γεγονότι θέσει ἐν γνώσει Θεῷ διδάσκειν τὰ θεῖα τοὺς ἀνθρώπους οὐκ ἔξεστι.***

*Τίς μου παραμυθήσεται τὸν πόνον τῆς καρδίας;*
*Πόνον δ' εἰπὼν ἐδήλωσα τὸν τοῦ Σωτῆρος πόθον,*
*ὁ πόθος δὲ τοῦ Πνεύματος ἐνέργεια τυγχάνει,*
*μᾶλλον δ' αὐτοῦ οὐσιωδῶς ἐστιν ἡ παρουσία,*
*ἐνυποστάτως ἐν ἐμοὶ φῶς ἐντὸς ὁρωμένη·*
*τὸ φῶς δ' ἀσύγκριτόν ἐστιν, ὅλον ἄφθεγκτον πέλει.*
*Τίς με χωρίσει αἰσθητῶν, ὧν ἀπηλλάγην ἅπαξ*
*καὶ ἀπεκρύβην ἐξ αὐτῶν γεγονὼς ἔξω κόσμου;*
*Τίς μοι δώσει γαλήνην γε καὶ ἡσυχίαν πάντων,*
*ἵνα τοῦ κάλλους κορεσθῶ καὶ τῆς ἐκείνου θέας,*
*οὗ τὸ ἀκατανόητον ἀναφλέγει τὸν πόθον,*
*ὁπόσον δὲ καταληπτόν, ἐνυπόστατος πόθος;*
*Ἀγάπη γὰρ οὐκ ὄνομα, ἀλλὰ οὐσία θεία,*
*μεταληπτὴ καὶ ἄληπτος, θεϊκὴ δέ γε πάντως·*
*τὸ μεθεκτὸν καταληπτόν, τούτου τὸ πλεῖον οὔπω.*
*Διὰ τοῦτο οὖν εἶπόν σοι καταληπτὸν τὸν πόθον*
*καὶ ἐνυπόστατον αὐτὸν ὡς μεθεκτὸν ληπτόν τε·*

---

13. Α΄ Ἰω. 4,16.

2. Ὁ πόνος ποὺ νιώθει ὁ Συμεὼν εἶναι ὁ πόθος τοῦ Σωτήρα, ἕνας πόθος ἀπαραμύθητος, ποὺ αὐξάνει ἐπειδὴ ὁ ποιητὴς δὲν μπορεῖ νὰ κατανοήσει πλήρως τὸν ἀγαπημένο του (στ. 11).

## 52

**Περὶ θεολογίας, καὶ ὅτι σὲ ὅποιον δὲ ἀλλοιώθηκε μὲ τὴ μετουσία τοῦ ἁγίου Πνεύματος καὶ δὲν ἔγινε ἐνσυνείδητα θέσει θεὸς δὲν ἐπιτρέπεται νὰ διδάσκει τὰ θεῖα στοὺς ἀνθρώπους.**

Τόν πόνο τῆς καρδιᾶς μου ποιός θὰ τὸν παρηγορήσει;
Καὶ πόνο ἂν λέγω ἐννοῶ τὸν πόθο τοῦ Σωτήρα,
τὸν πόθο ποὺ τοῦ Πνεύματος εἶναι στ' ἀλήθεια ἐνέργεια,
ἡ παρουσία του πιὸ καλὰ ποὺ κατ' οὐσίαν συμβαίνει
καὶ μέσα μου ἐνυπόστατη ὁμοιὰ μὲ φῶς τὴ βλέπω.
Κι εἶναι ἕνα φῶς ἀσύγκριτο κι ἀνείπωτο μὲ λόγια.
Ποιός μὲ χωρίζει ἀπ' τὰ αἰσθητὰ ποὺ γλίτωσα ἀπὸ τοῦτα
καὶ ἀπὸ τοῦτα κρύφτηκα, βγαίνοντας ἀπ' τὸν κόσμο;
Ποιός θὰ μοῦ δώσει γενικὴ γαλήνη κι ἡσυχία
τὴ θέα καὶ τὴν ὀμορφιὰ ἐκείνου νὰ χορτάσω,
ποὺ ὡς νὰ τὸν νιώσω δὲν μπορῶ ὁ πόθος μου φουντώνει,
κι ὅσο ἀπ' αὐτὸν κατανοῶ εἶναι στ' ἀλήθεια πόθος;
ἀγάπη κι ὄχι ὄνομα παρὰ οὐσία θεία,
μετέχεται κι ἀσύλληπτη εἶναι καὶ θεία ὡστόσο·
νοεῖται ὅ,τι μετέχεται τὸ ἀμέθεκτο ὄχι ἀκόμα.
Γι' αὐτὸ λοιπὸν καὶ σοῦ 'χω πεῖ πὼς ἐννοεῖται ὁ πόθος
κι ὡς νοεῖται καὶ μετέχεται, ἐνυπόστατος εἶναι·

---

12 κ.ἑ. Κατὰ τὸ μέτρο τῆς κατανόησης τοῦ ἀγαπημένου του ὁ πόθος του γίνεται ἐνυπόστατος. Παρακάτω ὁ ποιητὴς ἑρμηνεύει τὶς λέξεις ἀγάπη, οὐσία, ὑπόσταση, ἐμβαθύνοντας στὴν ἔννοιά τους. Καλεῖ σὲ ἐπικουρία τὸν ἀπόστολο Παῦλο.

*πᾶν γὰρ ληπτὸν καὶ μεθεκτὸν οὐσία πάντως πέλει*
*ἐνυποστάτως μεθεκτή, ὡσαύτως καὶ ληπτή τε.*
*Τὸ γὰρ ἀνούσιον οὐδὲν καὶ λέγεται καὶ ἔστιν,*
*ἡ θεία δὲ καὶ ἄκτιστος ὑπερούσιος φύσις*
*ὡς τῆς οὐσίας τῶν κτιστῶν ὑπερέχουσα πάντων*
*καλεῖται ὑπερούσιος, πλὴν ἐνούσιος πέλει*
*καὶ ἐνυπόστατός ἐστιν, ὑπὲρ οὐσίαν πᾶσαν,*
*καὶ πρὸς ὑπόστασιν κτιστὴν ἀσύγκριτός γε πάντῃ*
*νοεῖται, ἔστιν ὅλη γὰρ ἀπερίγραπτος φύσει·*
*τὸ μὴ περιγραφόμενον ὑπόστασιν πῶς εἴπῃς;*
*Τὸ δ' ἀνυπόστατον οὐδὲν –καὶ πῶς μεταληπτόν μοι;*
*Εἰ δ' ἀπιστεῖς, τὸν Παῦλόν σοι μαρτυροῦντα παρέξω*
*καὶ τὰ ἀμφότερα πιστὰ εἶναί σοι βεβαιοῦντα·*
*ὅταν γὰρ λέγῃ τὸν Χριστὸν ἐντὸς ἔχειν λαλοῦντα*
*καὶ Πνεύματι φθεγγόμενον αὐτὸν τῷ παναγίῳ,*
*μεταληπτόν, περιγραπτὸν εἶναι λέγει τὸ θεῖον,*
*ἀπεριγράπτως ἐν αὐτῷ συμπαρὸν καὶ ἀλήπτως.*
*Ὅταν δὲ φῶς ἀπρόσιτον οἰκοῦντα παρεισάγῃ*
*καὶ μαρτυρῇ μηδέποτε ὑπ' ἀνθρώπου ὀφθῆναι,*
*τότε τὸ ἀπερίγραπτον καὶ ἄληπτον ἐμφαίνει·*
*ὃ γὰρ οὐδεὶς ἑώρακε πώποτε τῶν ἀνθρώπων,*
*πῶς ἢ μετέλαβεν αὐτοῦ ἢ προσέψαυσεν ὅλως;*
*Πάντως ἐρεῖς μοι· οὐδαμῶς, εἰ μὴ φιλονεικοίης.*
*Ὅταν δὲ πάλιν εἴπῃ σοι· «Ὁ Θεός, ὁ ἐκ σκότους*
*φῶς λάμψαι πάλαι προειπών, ὃς ἔλαμψεν ἐντός μου»,*
*ποῖόν σοι ἄλλον παριστᾷ Θεόν, εἰπέ, νοῆσαι,*
*εἰ μὴ ἐκεῖνον τὸν τὸ φῶς τὸ ἄστεκτον οἰκοῦντα*
*καὶ ὃν οὐδέπω οὐδαμῶς οὐδεὶς ἀνθρώπων εἶδεν;*
*Αὐτὸς γὰρ ὑπερούσιος ἄκτιστος ὢν τὸ πρόσθεν*
*σάρκα τε ἀνελάβετο καὶ κτιστός μοι ὡράθη,*
*ὅλον θεώσας με αὐτὸς τὸν προσληφθέντα ξένως.*
*Οὕτω πιστεύεις, λέγε μοι, πάντως οὐ διστάζεις;*

---

31. Βλ. Β' Κορ. 13,3. 35. Βλ. Α' Τιμ. 6,16.

οὐσία ὅ,τι μετέχεται εἶναι κι ὅ,τι νοεῖται,
μετέχεται ὡς ὑπόσταση τὸ ἴδιο ὅπως νοεῖται.
Κι οὔτε εἶναι κι οὔτε λέγεται κάτι ποὺ οὐσία δὲν ἔχει,
ἐνῶ ἡ θεία κι ἄκτιστη καὶ ὑπερούσια φύση,
ἀπ' τὴν οὐσία τῶν κτιστῶν ὅλων ἀφοῦ ὑπερέχει
καλεῖται ὑπερούσια μόλο ποὺ κάθε οὐσία
καὶ μὲ ὑπόσταση κτιστὴν ἀσύγκριτη τὴ νοοῦμε
πὼς εἶναι, ἀφοῦ ἀπερίγραπτη ὅλως εἶναι στὴ φύση·
καὶ πῶς ὑπόσταση θὰ πεῖς ὅ,τι ἀπερίγραπτο εἶναι;
Μὰ τὸ ἀνυπόστατο μηδὲν –πῶς νὰ τὸ κοινωνήσω;
Κι ἂν ἀπιστεῖς, σὰν μάρτυρα τὸν Παῦλο θὰ σοῦ δώσω,
πὼς ἀληθεύουν καὶ τὰ δυὸ νά σοῦ ἐπιβεβαιώσει.
Γιατὶ ὅταν λέει πὼς τὸ Χριστὸ νὰ ὁμιλεῖ ἔχει ἐντός του
νὰ ὁμιλεῖ καὶ νὰ τοῦ λέει μὲ τὸ πανάγιο Πνεῦμα,
λέει ὅτι περιγράφεται τὸ θεῖο καὶ κοινωνεῖται
κι ἂς εἶναι ἀπερίγραπτο κι ἀσύλληπτον ἐντός του.
Κι ὅταν μᾶς λέει σ' ἀπρόσιτο φῶς πὼς ὁ Κύριος μένει
καὶ μαρτυρεῖ ὅτι ποτὲ ἄνθρωπος δὲν τὸν εἶδε,
τότε τὸ ἀπερίγραπτο καὶ ἀσύλληπτο δηλώνει.
Γιατὶ αὐτὸ ὁποὺ ποτὲ ὥς τώρα ἄνθρωπος δὲν εἶδε
πῶς τάχα τὸ κοινώνησε ἢ κὰν πῶς τό 'χει ἀγγίξει;
Καθόλου, βέβαια θὰ πεῖς, μὲ μένα ἂν δὲν ἐρίζεις.
Κι ὅταν ἀλλοῦ σοῦ ξαναλέει· «ὁ Θεὸς ποὺ ἀπὸ τὸ σκότος
εἶπε νὰ λάμψει ἀπὸ παλιά, ὁ ποὺ ἔλαμψεν ἐντός μου»
ποιόν ἄλλο Θεόν, ἀπάντησε, νὰ φανταστεῖς σὲ κάνει,
παρὰ αὐτὸν ποὺ κατοικεῖ στ' ἀβάσταχτο φῶς μέσα
καὶ ποὺ καθόλου ἄνθρωπος κανεὶς δὲν εἶδε ὥς τώρα;
Γιατὶ πρωτύτερα ἄκτιστος καὶ ὑπερούσιος ὄντας
τὴ σάρκα μας ἐντύθηκε καὶ σὰν κτιστὸ τὸν βλέπω
ἀκέριο θεώνοντας ἐμὲ ποὺ ἀνέλαβε μὲ τρόπο
παράδοξο. Εἶναι ἡ πίστη σου αὐτὴ καὶ δὲν διστάζεις;

41–42. Β΄ Κορ. 4,6. 45. Α΄ Τιμ. 6,16.

*Εἰ οὖν Θεὸς γενόμενος ἄνθρωπος, ὡς πιστεύεις,*
*τὸν ἄνθρωπον ἐθέωσεν ἐμὲ τὸν προσληφθέντα,*
*θέσει θεὸς γενόμενος τὸν φύσει Θεὸν βλέπω*
*Ἐκεῖνον, ὃν οὐδείς ποτε ἀνθρώπων ἠδυνήθη*
*ἰδεῖν, ἀλλ' οὐδὲ δύναται ὅλως τοῦ κατιδέσθαι.*
*Τὸν Θεὸν οὖν οἱ δεξάμενοι τῆς πίστεως τοῖς ἔργοις*
*καὶ θεοὶ χρηματίσαντες Πνεύματι γεννηθέντες,*
*αὐτὸν ἐκεῖνον βλέπουσι τὸν ἑαυτῶν Πατέρα,*
*τὸν ἐνοικοῦντα τῷ φωτὶ ἀεὶ τῷ ἀπροσίτῳ·*
*ἔνοικον ἔχοντες αὐτοὶ ἐν ἑαυτοῖς οἰκοῦντα*
*οἰκοῦσιν αὐτοὶ γ' ἐν αὐτῷ τῷ πάμπαν ἀπροσίτῳ.*
*Τοῦτο πίστις ἡ ἀληθής, τοῦτο Θεοῦ τὸ ἔργον,*
*τοῦτο σφραγὶς Χριστιανῶν, τοῦτο μέθεξις θεία,*
*τοῦτό ἐστιν ἡ μετοχὴ καὶ ἀρραβὼν ὁ θεῖος,*
*τοῦτο ὑπάρχει ἡ ζωή, τοῦτο ἡ βασιλεία,*
*τοῦτο τὸ ἔνδυμά ἐστιν, ὁ χιτὼν τοῦ Κυρίου,*
*ὅνπερ οἱ βαπτιζόμενοι ἐπενδύονται πίστει,*
*οὐχὶ ἀγνοίᾳ, λέγω σοι, οὐδὲ ἀναισθησίᾳ,*
*ἀλλὰ διὰ τῆς πίστεως ἐν αἰσθήσει καὶ γνώσει.*
*Ἵνα μὴ λέγῃς· Τὸν Χριστὸν ἐνδεδύσθαι πιστεύω!*
*οὐ λέγω· Τοῦτο πίστευε! ἀλλά· Πίστεως ἔργον*
*καὶ πίστεως βεβαίωσιν καὶ πίστεως σφραγῖδα*
*καὶ πίστεως τελείωσιν ἀναμφίβολον ἔχε*
*ἐκ τοῦ ἐνδύσασθαι Χριστὸν ἐν αἰσθήσει καὶ γνώσει*
*ἐκλάμποντα, ἀστράπτοντα θεότητος τῇ δόξῃ*
*καὶ τρανοτάτῳ ἐν φωτὶ ὅλον σε ἀλλοιοῦντα,*
*ἀναλλοιώτως μένοντα διπλοῦν ἐξ ἑκατέρων,*
*θέσει θεόν, τῇ φύσει δὲ ἄνθρωπον ὅλον ὄντα!*
*Τοιοῦτος δὲ γενόμενος ὅλος, καθὼς σοι εἶπον,*
*τότε ἐλθὲ καὶ σὺν ἡμῖν στῆθι, ὦ ἀδελφέ μου,*

---

54. Α' Τιμ 6,16. 56. Ἰω. 3,5.
58. Α' Τιμ.6,16. Β' Κορ. 6,16.
62. ' Κορ. 1,22. 65. Ματθ. 22,11.
66. Ματθ. 22,69. Γαλ. 3,27. 79. Ἐξ.34,2.

῍Αν λοιπὸν ἔγινε ἄνθρωπος ὁ Θεός, ὅπως πιστεύεις,
καὶ θέωσε τὸν ἄνθρωπο ἐμένα πού ’χει πάρει,
θέσει θεὸς σὰν ἔγινα τὸ φύσει Θεὸ βλέπω,
ἐκεῖνον ποὺ δὲν μπόρεσε ποτὲ νὰ δεῖ κανένας,
ἀλλὰ ποὺ κι οὔτε δύναται κὰν νὰ τὸν ἀντικρίσει.
Τὸ Θεὸ ὅσοι δέχτηκαν λοιπὸν χάρη σὲ πίστης ἔργα
τὸ Πνεῦμα ποὺ τοὺς γέννησε καὶ θεοὶ ἔχουν χρηματίσει,
βλέπουν ἐκεῖνον ἀκριβῶς τὸν ἴδιο τους Πατέρα,
ποὺ κατοικεῖ μέσα στὸ φῶς τὸ ἀπρόσιτον αἰώνια,
ἐγκάτοικο τὸν ἔχουνε νὰ κατοικεῖ ἐντός τους
καὶ κατοικοῦν μέσα σ’ αὐτὸν ποὺ ἀπρόσιτος τέλεια εἶναι.
Αὐτή ’ναι ἡ πίστη ἡ ἀληθινή, τοῦ Θεοῦ τὸ ἔργο τοῦτο,
τὸ σφράγισμα τῶν Χριστιανῶν, ἡ κοινωνία ἡ θεία,
αὐτὸ εἶναι ἡ μετοχὴ κι ὁ θεῖος ὁ ἀρραβώνας,
αὐτὸ εἶναι ἡ ἴδια ἡ ζωὴ κι αὐτὸ ἡ βασιλεία,
αὐτὸ εἶναι τὸ φόρεμα, ὁ χιτώνας τοῦ Κυρίου,
ποὺ ὅλοι ὅσοι βαφτίζονται τὸν ντύνονται μὲ πίστη,
ὄχι μὲ ἄγνοια βέβαια καὶ δίχως νά τὸ νιώσουν,
ἀλλὰ μέσα στὴν πίστη του καὶ μ’ αἴσθηση καὶ γνώση.
Καὶ τὸ Χριστό, γιὰ νὰ μὴ λές, πὼς ντύθηκα πιστεύω.
Δὲν σοῦ προτείνω· πίστευέ το αὐτό! Μὰ ἔργο πίστης
καὶ πίστης βεβαιότητα, μὰ καὶ σφραγίδα πίστης
καὶ πίστης τελειότητα ἀκλόνητη νὰ ἔχεις,
τὸ Χριστὸ γιατὶ φόρεσες καὶ μ’ αἴσθηση καὶ γνώση
καὶ λάμπει καὶ στραφτοκοπάει ἀπὸ τὴ θεία δόξα
καὶ μὲς σὲ φῶς ὁλόλαμπρο σὲ μεταβάλλει ἀκέριο,
μὰ μένεις ἀναλλοίωτος διπλὸς κι ἀπὸ τὰ δύο,
θέσει θεός, ἐνῶ ἄνθρωπος στὴ φύση ἀκέριος εἶσαι.
Κι ἀφοῦ ἀκέριος ἔγινες τέτοιος καθὼς σοῦ εἶπα,
τότε, ἀδελφέ μου, ἔλα σ’ ἐμᾶς καὶ στάσου ὀρθὸς μαζί μας

---

70. Ὁ Συμεὼν εἶναι πολὺ ἀπαιτητικὸς στὴ συμπλήρωση τῆς πίστης μὲ τὰ ἔργα. Μὲ τὴν πίστη μόνο ὁ πιστὸς εἶναι ἡμιτελής, ποὺ σημαίνει ἀτελής. Τὰ ἔργα πιστοποιοῦν ὅτι ὁ πιστὸς ἔχει μέσα του τὸ Χριστὸ ‘ἐν αἰσθήσει καὶ γνώσει’, νὰ τὸν συνειδητοποιεῖ καὶ νὰ τὸν νιώθει μέσα του οὐσιαστικά.

*ἐπ' ὄρους θείας γνώσεως, θείας τε θεωρίας,*
*καὶ ἀκουσόμεθα ὁμοῦ πατρικῆς φωνῆς –οἴμοι,*
*ὁπόσον ἀπολείπομεν τῆς θεϊκῆς ἀξίας,*
*ὁπόσον δὲ ἀπέχομεν ζωῆς τῆς αἰωνίου!*
*Ὅσον ἀπέχει οὐρανὸς τῶν γῆς καταχθονίων*
*καὶ τῶν ἐκεῖσε δυστυχῶς πάλαι κεκρατημένων,*
*τοσοῦτον ἢ καὶ πλέον γε ἀπέχομεν οἱ πάντες*
*ὄντως ἀξίας τοῦ Θεοῦ καὶ θείας θεωρίας,*
*κἂν σὺν ἐκείνῳ κατοικεῖν λέγωμεν παραδόξως*
*καὶ τὸν οἰκοῦντα ἐν φωτὶ τῷ ἀπροσίτῳ ἔχειν*
*ἐν ἑαυτοῖς καὶ μένοντα καὶ κατοικοῦντα ὅλον·*
*καὶ θέλομεν καθήμενοι ἐν τοῖς καταχθονίοις*
*φιλοσοφεῖν τὰ ὑπὲρ γῆν καὶ τὰ ἐν οὐρανῷ γε*
*καὶ οὐρανῶν ὑπέρτερα, ὡς ἀκριβῶς εἰδότες,*
*καὶ διηγεῖσθαι ἅπασι καὶ γνωστικοὶ καλεῖσθαι,*
*θεολόγοι τε ἀκριβεῖς καὶ μύσται τῶν ἀρρήτων,*
*ὅπερ καὶ ἔνδειγμά ἐστι πάντως ἀναισθησίας.*
*Ὁ γεννηθεὶς γὰρ δυστυχῶς ἐν τοῖς καταχθονίοις*
*καὶ σκότος ὅλως κατοικῶν τοῦ ἐνεστῶτος κόσμου,*
*φῶς τε μὴ θεασάμενος τοῦ μέλλοντος αἰῶνος,*
*–ὃ πάντως ἔλαμψεν ἐν γῇ καὶ ἀενάως λάμπει–,*
*καὶ λέγων τὰ ἐν οὐρανῷ καὶ φρονεῖν καὶ εἰδέναι,*
*βλέπειν τε πάντα τὰ ἐκεῖ καὶ τοὺς ἄλλους διδάσκειν,*
*οὐχὶ ἀναίσθητός ἐστι καὶ πλέον ἄρα τούτου;*
*Ὡς γὰρ ὁ τυφλὸς φιλονεικῶν τοὺς βλέποντας καὶ λέγω*
*Τὸ νόμισμα χαλκοῦν ἐστιν, ἡ σφραγὶς ἄλλου πέλει,*
*τὰ ἐν αὐτῷ δὲ γράμματα δηλοῖ τάδε καὶ τάδε,*
*ὄντως παράδοξόν ἐστι τοῖς ἀκούουσι τέρας*
*καὶ τὸ νόμισμα βλέπουσι χρυσοῦν εὕριζον πάνυ*
*καὶ τὴν σφραγῖδα ἀληθῆ τοῦ βασιλέως οὖσαν,*

---

81. Α' Πέτρ. 1,18. 84. Ἠσ. 55,9.
88–89. Α' Τιμ. 6,16. 90. Ἐφ. 3,17.

στ' ὄρος τῆς θείας γνώσεως, τῆς θείας θεωρίας,
καὶ τὴ φωνὴ τὴν πατρικὴ μαζὶ θ' ἀκούσομε· οἴμοι,
πόσο κατώτεροι εἴμαστε ἀπ' τὸ ἀξίωμα τὸ θεῖο
κι ἀπέχομε τόσο πολὺ ἀπὸ τὴν αἰωνία
ζωή, ὅσο ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς τὰ βάθη
κι ἀπ' ὅσους δυστυχεῖς ἐκεῖ ἀπὸ παλιὰ κρατοῦνται.
Τόσο ἢ καὶ ἀκόμα πιὸ πολὺ ἐμεῖς ἀπέχομε ὅλοι
τῶντι ἀπ' τὸ θεῖο ἀξίωμα, τὴ θεία τὴ θεωρία,
κι ἂς λέμε ὅτι παράδοξα μ' ἐκεῖνον κατοικοῦμε
κι αὐτὸν ποὺ κατοικεῖ σὲ φῶς ἀπρόσιτο ὅτι ἐντός μας
νὰ κατοικεῖ τὸν ἔχομε ἀκέριο καὶ νὰ μένει.
Καὶ καθισμένοι σοβαροὶ στῆς γῆς τὰ καταχθόνια,
τὰ οὐράνια κι ὑπεργήινα θὲ νὰ φιλοσοφοῦμε
κι ὅσα πάνω ἀπ' τὸν οὐρανό, σὰν ἔμπειροι καὶ γνῶστες,
σ' ὅλους θὰ τὰ διηγούμαστε καὶ σοφοὺς θὰ μᾶς λένε
καὶ θεολόγους τέλειους, μύστες τῶν ἀπορρήτων,
πράγμα ποὺ εἶναι ἀπόδειξη τύφλωσης δίχως ἄλλο.
Ὅποιος γεννήθηκε στῆς γῆς τὰ βάθη, δυστυχία του!
καὶ στὰ σκοτάδια κατοικεῖ συνέχεια αὐτοῦ τοῦ κόσμου,
χωρὶς νὰ ἔχει δεῖ τὸ φῶς τῆς ζωῆς ποὺ καρτεροῦμε
– ποὺ ὡστόσο ἔλαμψε στὴ γῆ καὶ λάμπει δίχως τέλος –
καὶ γιὰ τὰ οὐράνια λέει, αὐτὸς ὅτι καλὰ τὰ ξέρει
καὶ βλέπει ὅλα ὅσα εἶναι ἐκεῖ κι ἔτσι καὶ τὰ διδάσκει,
δὲν εἶναι τάχα ἀναίσθητος κι ἀκόμα παραπάνω;
Καθὼς τυφλὸς ὁποὺ ἀντικρούει ὅσους θωροῦν καὶ λέει·
Τὸ νόμισμα εἶναι χάλκινο, κάποιου ἄλλου εἶν' ἡ σφραγίδα,
καὶ ὅσα λέει ἡ ἐπιγραφὴ εἶναι τοῦτο κι ἐκεῖνο,
στ' ἀλήθεια εἶναι παράδοξο τέρας γιὰ ὅσους ἀκοῦνε
καὶ βλέπουνε τὸ νόμισμα χρυσὸ νὰ κουδουνίζει
καὶ ἡ σφραγίδα ἀληθινὰ νά 'ναι τοῦ βασιλέα

94. 'Γνωστικοὶ καλεῖσθαι'. Στὴ φράση αὐτὴ ὁ ἐκδότης βλέπει τὴ θέση τῆς θεολογίας καὶ τὸ κύρος της στὴν ἐποχὴ αὐτή.

104. Καὶ στὶς εἰκόνες του καὶ στὴ συγκρίσεις του καὶ γενικὰ στὶς διατυπώσεις τοῦ Συμεὼν ὑπάρχουν πλατειασμοὶ καὶ ἐπαναλήψεις.

*ἀπαραποίητον αὐτοῦ δείκνυσαν τὴν εἰκόνα,*
*καὶ τὴν γραφὴν τὸ ὄνομα δηλοῦσαν τὸ ἐκείνου,*
*οὕτω γε πάσχοντες ἡμεῖς οὐ δοκοῦμέν τι πάσχειν,*
*οὐδ' αἰσχυνόμεθά τινα ἢ αὐτοὺς τοὺς ἁγίους*
*καὶ τοὺς ἀγγέλους ἄνωθεν τὰ καθ' ἡμᾶς ὁρῶντας,*
*ἀλλὰ πληροῦται εἰς ἡμᾶς ὁ λόγος τοῦ Κυρίου*
*ὁ λέγων ὅτι· «Βλέποντες οὐ βλέπουσι», καὶ αὖθις·*
*Ἀκούοντες τὰ ψυχικὰ ὦτα βύουσι μᾶλλον*
*καὶ οὐδαμῶς ἀκούουσι τοῦ Πνεύματος τοὺς λόγους,*
*καὶ γὰρ ὠσὶν ἀκούουσι σωματικῶς σαρκίνοις,*
*ὦτα πνευματικὰ καρδίας δὲ κεκαλυμμένα*
*ἔχουσι καὶ οὐ δύνανται ὅλως Θεοῦ ἀκούειν.*
*Οὐδαμῶς γὰρ ἰσχύουσιν ἀφ' ἑαυτῶν διᾶραι*
*κάλυμμα τῆς ἐπάρσεως καὶ τῆς ἀναισθησίας,*
*αὐτοὶ γὰρ τοῦτο ἑαυτοῖς ἐπέθεντο θελήσει,*
*καὶ βούλονται καλύπτεσθαι ὀφθαλμούς τε καὶ ὦτα,*
*καὶ διὰ τοῦτο οἴονται καὶ βλέπειν καὶ ἀκούειν.*
*Εἰ δέ γέ τις ἐρεῖ αὐτοῖς· Ἀκούσατέ μου, τέκνα,*
*καὶ ἄρατε τὸ κάλυμμα ἐκ τῆς ὑμῶν καρδίας!*
*καὶ πρὸς αὐτὰ τὰ ρήματα ἀγριαίνουσιν, ὅτι*
*μὴ πατέρας ἐκάλεσεν, ἀλλὰ τέκνα προσεῖπε,*
*καὶ μῖσος μᾶλλον πρὸς αὐτὸν ἐκ τῶν λόγων προσκτῶνται*
*καὶ συνιδεῖν οὐ δύνανται τὸ προσὸν αὐτοῖς πάθος,*
*μᾶλλον δὲ πάθη τὰ τὸν νοῦν σκοτίζοντα καὶ φρένας*
*καὶ τοῦ Θεοῦ χωρίζοντα τοὺς προληφθέντας ἤδη,*
*οἱ δοῦλοι τῆς οἰήσεως καὶ τῆς περηφανείας*
*θελήσει χρηματίσαντες καὶ αἰχμαλωτισθέντες*
*τὸ θέλημά τὸ ἴδιον ἀεὶ ἀποπληροῦσιν.*
*Οὗτοι ἀφέντες νόμους τοῦ Θεοῦ ἑαυτοῖς εἰσι νόμος,*
*καὶ οὐ Θεῷ ἀλλ' ἑαυτοῖς λατρεύουσιν, ὢ τόλμης,*
*ἀντὶ τῆς δόξης τοῦ Θεοῦ τὴν ἰδίαν ζητοῦντες*

116. Ματθ. 13,13. 117. Ψαλμ. 57,5.

καὶ τέτοια πού 'ν' ἡ εἰκόνα του στ' ἀλήθεια νὰ τὴ δείχνει
καὶ τὄνομα ἡ ἐπιγραφὴ τοῦ βασιλιᾶ νὰ γράφει,
τὸ ἴδιο παθαίνοντας κι ἐμεῖς τὸ πάθος μας ἀγνοοῦμε,
κανένα δὲν ντρεπόμαστε οὔτε κἂν τοὺς ἁγίους
καὶ τοὺς ἀγγέλους τ' οὐρανοῦ ποὺ βλέπουν τὰ δικά μας,
ἀλλὰ ἐκπληρώνεται σ' ἐμᾶς ὁ λόγος τοῦ Κυρίου,
ποὺ λέγει ὅτι «βλέποντας δὲ βλέπουνε» καὶ πάλι
«ἐνῶ ἀκοῦν», τὰ ψυχικὰ βουλώνουνε τ' αὐτιά τους
καὶ δὲν ἀκοῦν ὁλότελα τοῦ Πνεύματος τὰ λόγια
γιατὶ μ' αὐτιὰ σωματικὰ καὶ σάρκινα ἀκοῦνε
κι ἔχουνε τὰ πνευματικὰ σκεπάσει τῆς καρδιᾶς τους
τ' αὐτιά, καὶ τέλεια ἀδυνατοῦν βέβαια τὸ Θεὸ ν' ἀκούσουν
καμιὰ δὲν ἔχουν δύναμη ἀπὸ πάνω τους νὰ βγάλουν
τὸ κάλυμμα τῆς ἔπαρσης καὶ τῆς ἀναισθησίας
οἱ ἴδιοι ἀφοῦ τὸ φόρεσαν μὲ θέλημα δικό τους
καὶ θέλουνε νὰ κρύψουνε τὰ μάτια καὶ τ' αὐτιά τους
κι ἔτσι γι' αὐτὸ πῶς βλέπουνε καὶ πῶς ἀκοῦν θαρροῦνε.
Κι ἂν θέλει κάποιος νὰ τοὺς πεῖ· 'Ακοῦστε με, παιδιά μου,
καὶ βγάλετε τὸ κάλυμμα ποὺ τὴν καρδιὰ πλακώνει',
ἀγριεύουνε τότε σ' αὐτὰ τὰ λόγια, γιατὶ τάχα
πατέρες δὲν τοὺς κάλεσε, ἀλλὰ παιδιὰ τοὺς εἶπε
κι ἀπὸ τὰ λόγια μέσα τους μίσος γι' αὐτὸν γεννιέται
καὶ δὲν μποροῦν ν' ἀντιληφθοῦν τὸ πάθος ποὺ τοὺς τρώει,
ὄχι ἕνα μὰ πάθη πολλὰ ὁποὺ τὸ νοῦ σκοτίζουν
κι ἀποχωρίζουν ἀπ' τὸ Θεὸ αὐτοὺς ποὺ ἔχουν κυριέψει,
δοῦλοι τῆς ἔπαρσης αὐτοὶ καὶ τῆς ὑπερηφάνειας
μὲ θέλησή τους ἔγιναν κι ἀφοῦ αἰχμαλωτιστῆκαν,
ὑπηρετοῦν ἀδιάκοπα τὸ ἴδιο τὸ θελημά τους.
Τὸ νόμο ἀφῆσαν τοῦ Θεοῦ κι ἔγιναν οἱ ἴδιοι νόμος,
κι ὢ τόλμη! ἀφήνοντας τὸ Θεὸ λατρεύουν τὸν ἑαυτό τους
κι ἀντὶ τὴ δόξα τοῦ Θεοῦ ζητοῦνε τὴ δική τους
καὶ νόμο τρόπο κάνουνε νὰ τὴν ἐξασφαλίσουν.

---

123. Βʹ Κορ. 3,15. 140. Ἰω. 5,44.

*καὶ στῆσαι ταύτην σπεύδοντες πᾶσιν ἔργοις καὶ τρόποις.*
*Δόξα οὖν πέλει τοῦ Χριστοῦ ὁ σταυρὸς καὶ τὰ πάθη,*
*ἃ καθυπέστη δι' ἡμᾶς, ἵνα ἡμᾶς δοξάσῃ·*
*ταῦτα δ' οὐ βούλονται παθεῖν, ὡς ἔπαθεν ἐκεῖνος,*
*καὶ παραιτοῦνται μέτοχοι δόξης Θεοῦ γενέσθαι*
*τῷ παραιτεῖσθαι τὸ παθεῖν, ὡς ἔπαθεν ἐκεῖνος,*
*καὶ θέλουσιν, οἴμοι, τιμὴν μᾶλλον τὴν ἐξ ἀνθρώπων*
*καὶ χωρισμὸν ἀπὸ Θεοῦ ἑκουσίως αἱροῦνται.*
*Ἀλλ', ὦ Χριστέ μου, λύτρωσαι τοὺς εἰς σὲ πεποιθότας*
*κενοδοξίας μιαρᾶς καὶ ὑπερηφανίας*
*καὶ συμμετόχους ποίησον παθῶν σου καὶ τῆς δόξης*
*καὶ καταξίωσον ἡμᾶς ἀχωρίστους σου εἶναι*
*νῦν τε καὶ εἰς τοὺς μέλλοντας αἰῶνας τῶν αἰώνων!*
*Ἀμήν.*

---

147. Ἰω. 12,43.

Εἶναι τὰ πάθη κι ὁ σταυρὸς ἡ δόξα τοῦ Χριστοῦ μας,
ὅσα γιὰ μᾶς ὑπόφερε, ἐμᾶς γιὰ νὰ δοξάσει.
Μ' αὐτοὶ δὲ θέλουν ὅσα αὐτὸς ὑπόμεινε νὰ πάθουν
καὶ μόνο ἀρνιοῦνται μέτοχοι τῆς θείας νὰ γίνουν δόξας
μὲ τὸ ν' ἀρνιοῦνται ὅσα ἔπαθε ἔτσι κι αὐτοὶ νὰ πάθουν
καὶ τὶς ἀνθρώπινες τιμὲς ἐπιθυμοῦν, ἀλί τους,
ἀπ' τὸ Θεὸ νὰ χωριστοῦν ἑκούσια προτιμώντας.
Ἀλλά, Χριστέ μου, λύτρωσε σὲ σένα ὅσους πιστεύουν,
καὶ περηφάνεια καὶ μιαρὴ διῶξε κενοδοξία,
συμμέτοχους στὰ πάθη σου κάνε μας καὶ στὴ δόξα
καὶ ἀξίωσε μας νὰ εἶμαστε ἀχώριστοι ἀπὸ σένα
τώρα καὶ στοὺς μελλοντικοὺς αἰῶνες τῶν αἰώνων.
Ἀμήν.

## ΝΓ'

***Κατὰ διάλεκτον Θεοῦ καὶ τοῦ πατρὸς τῶν λόγων ὁ λόγος· καὶ ὅπως ὑπὸ τοῦ ἁγίου Πνεύματος ἐλλαμπόμενος ὁ θεῖος οὗτος πατὴρ ὡμίλει Θεῷ καὶ ὑπ' ἐκείνου ἐμυσταγωγεῖτο τὰ θεῖά τε καὶ ἀνθρώπινα.***

*Ἴδε μου, Χριστέ, τὴν θλῖψιν,*
*ἴδε μου τὴν ἀθυμίαν,*
*ἴδε τὴν ἀδυναμίαν,*
*ἴδε μου καὶ τὴν πτωχείαν.*
*Ἴδε τὴν ἀσθένειάν μου*
*καὶ οἰκτείρισόν με, Λόγε!*
*Λάμψον μοι καὶ νῦν ὡς πάλαι*
*καὶ καταύγασον ψυχήν μου·*
*φώτισον τοὺς ὀφθαλμούς μου*
*τοῦ ὁρᾶν σε, φῶς τοῦ κόσμου,*
*τὴν χαράν, τὴν εὐφροσύνην,*
*τὴν ζωὴν τὴν αἰωνίαν,*
*τὴν τῶν ἀγγέλων τρυφήν,*
*βασιλείαν οὐρανῶν τε*
*καὶ παράδεισόν σε ὄντα,*
*στέφανον τὸν τῶν δικαίων*
*καὶ κριτὴν καὶ βασιλέα.*
*Τί τὸ πρόσωπόν σου κρύπτεις;*
*Τί χωρίζῃ μου, Θεέ μου,*
*ὃς οὐ θέλεις χωρισθῆναι*
*πώποτε τῶν σὲ φιλούντων;*

---

9. Ψαλμ. 12,4. 10. Ἰω. 8,12. 12. Α' Ἰω.5,20.
16. Β' Τιμ. 4,8. 21. Παρμ. 8,17.

## 53*

**Τὸ ποίημα εἶναι συνθεμένο ὑπὸ μορφὴ διαλόγου τοῦ Θεοῦ καὶ τοῦ πατέρα τῶν λόγων. Ἀκόμα πῶς ὁ θεῖος πατέρας φωτισμένος ἀπὸ τὸ ἅγιο Πνεῦμα μιλοῦσε μὲ τὸ Θεὸ καὶ διδασκόταν ἀπὸ Ἐκεῖνον τὰ θεῖα καὶ τὰ ἀνθρώπινα.**

Κοίτα μου, Χριστέ, τὴ θλίψη,
κοίτα τὴ βαρυθυμιά μου,
δὲς καὶ τὴν ἀδυναμιά μου
κοίταξε τὴ φτώχεια ποὖχω,
τὴν ἀσθένειά μου κοίτα
κι εὐσπλαχνία δεῖξε μου, Λόγε.
Λάμψε τώρα ὅπως καὶ πρῶτα,
λοῦσε τὴν ψυχὴ στὸ φῶς σου,
φώτισε μου καὶ τὰ μάτια
νὰ σὲ βλέπω, φῶς τοῦ κόσμου,
καὶ εὐφροσύνη καὶ χαρά μου
καὶ ζωὴ αἰώνια ποὺ εἶσαι,
τῶν ἀγγέλων ἡ τρυφή,
ἡ οὐράνια ἡ βασιλεία
κι ὁ παράδεισος ἀκόμα,
τὸ στεφάνι τῶν δικαίων
καὶ κριτὴς καὶ βασιλέας.
Πῶς τὴν ὄψη σου μοῦ κρύβεις,
πῶς χωρίζεσαι ἀπὸ μένα,
Θεέ μου, ποὺ ποτὲ δὲ θέλεις,
ἀπ' τοὺς φίλους νά 'σαι χώρια;

---

* Τὸ ποίημα ἐκδιπλώνεται σὲ τυπικὸ διάλογο. Στὸ πρῶτο μέρος ὁ Συμεὼ ἐκφράζει τὸν ἄσβηστο πόθο του νὰ τοῦ δείξει ὁ Θεὸς τὸ πρόσωπό του.

*Τί με φεύγεις, τί με καίεις,*
*τί με τέμνεις καὶ συντρίβεις;*
*Οἶδας, ὅτι ἀγαπῶ σε*
*καὶ ἀπὸ ψυχῆς ζητῶ σε.*
*Ἀποκάλυψον, ὡς εἶπας,*
*καὶ ἐμφάνισον σαυτόν μοι!*
*Οἶδα γὰρ ἀληθινόν σε,*
*ἔγνωκα ὡς ἀψευδὴς εἶ*
*καὶ φιλεῖς τοὺς σὲ φιλοῦντας*
*καὶ προσομιλεῖς ὡς φίλοις*
*οὐ σκιᾷ οὐδὲ ἐμφάσει,*
*οὐδ' ὡς νοῦς νοῒ ἑτέρῳ,*
*ἀλλ' ὡς Λόγος ὢν ἀρχῆθεν,*
*ἐνυπόστατος ζωή τε,*
*ἐκ Πατρὸς γεγεννημένος*
*καὶ αὐτῷ συνηνωμένος*
*καὶ συνόμιλος ἀφράστως.*
*Οὕτως οὓς αὐτὸς γεννήσεις*
*Πνεύματί σου τῷ ἁγίῳ*
*καὶ υἱούς σου ἀποδείξεις,*
*μᾶλλον μὲν οὖν ἀδελφούς σου*
*καὶ Θεοῦ υἱούς, Πατρός σου,*
*τούτοις καὶ συνομιλεῖς τε*
*καὶ αὐτοὺς ὁρῶν ὁρᾶσαι*
*ὑπ' αὐτῶν ἐκείνων πάλιν.*
*Δεῖξον οὖν τὴν εὐσπλαγχνίαν,*
*δεῖξον τὴν φιλανθρωπίαν*
*καὶ τὸ ἔλεός σου, Σῶτερ,*
*ὃ ἐξέχεας πλουσίως*
*ἐπὶ πᾶσαν ὄντως σάρκα*
*τὴν εἰς σὲ πεπιστευκυῖαν,*
*καὶ διάνοιξόν μοι πύλας*
*τοῦ νυμφῶνός σου, Θεέ μου,*

---

24. Ἰω. 21,15. 25. Δευτ. 4,29. 26. Ματθ. 11,27.
27. Ἰω. 14,21. 28. Ματθ.22,16. Ἰω. 5,20. 30. Παρμ. 8,17.
34. Ἰω. 1,1. 35. Ἰω. 1,4. 39. Ἰω. 3,5. 47. Ψαλμ. 84,8.

Πῶς μοῦ φεύγεις καὶ μὲ καίεις
μὲ συντρίβεις καὶ μὲ λιώνεις;
Ὅτι σ' ἀγαπῶ τὸ ξέρεις
καὶ σ' ἀναζητῶ ἀπ' τὰ βάθη
τῆς ψυχῆς μου. Δείξου, ὡς εἶπες,
καὶ σ' ἐμένα φανερώσου.
Σὰν ἀληθινὸ σὲ ξέρω
καὶ τὸ ψέμα δὲ γνωρίζεις
ὅσους σ' ἀγαποῦν, σὰν φίλους
ἀγαπᾶς κι ἔχεις μαζί σου,
ἴσκιος καὶ φαινόμενο ὄχι
οὔτε ὡς πνεῦμα μ' ἄλλο πνεῦμα,
μὰ ὡς ἀπ' τὴν ἀρχὴ ποὺ ὑπάρχεις
Λόγος καὶ ζωὴ ἐνυπόστατη
ποὺ σὲ γέννησε ὁ Πατέρας
καὶ μαζί του εἶσαι ἑνωμένος
κι ἄρρητα συνόμιλός του.
Ἔτσι κι ὅποιους σὺ γεννήσεις
μὲ τὸ Πνεῦμα τὸ ἅγιό σου
καθὼς γιούς σου θὰ τοὺς δείξεις,
πιὸ καλά, σὰν ἀδελφούς σου,
τοῦ Θεοῦ γιοὺς καὶ Πατρός σου,
θὰ συνομιλεῖς μὲ τούτους
κι ὡς τοὺς βλέπεις θὰ σὲ βλέπουν
μὲς στὰ μάτια πάλι ἐκεῖνοι.
Τὸ ἔλεός σου λοιπὸν δεῖξε,
τὴ φιλανθρωπία σου δεῖξε,
καὶ τὴν εὐσπλαχνία τὴν πλούσια
σκόρπισε, Σωτήρα, σ' ὅλους,
σ' ὅποια σάρκα ποὺ σ' ἐσένα
ἔχει ἀληθινὰ πιστέψει·
καὶ τὶς πύλες ἄνοιξέ μου
τοῦ νυμφώνα σου, Θεέ μου,

48. Τίτ. 3,4. 50. Τίτ. 3,6. Ματθ. 25,10–11.

*ναί, μὴ κλείσης μοι τὴν θύραν*
*τοῦ φωτός σου, ὦ Χριστέ μου!–*
*Τί τοῖς λόγοις με βιάζειν,*
*ὦ υἱὲ ἀνθρώπων, οἴει;*
*Τί δὲ καὶ ἀφρόνως λέγεις*
*κρύπτεις με τὸ πρόσωπόν μου;*
*Τὶ δὲ θύρας με καὶ πύλας*
*ὅλως κλείειν ὑποπτεύεις;*
*Τί δὲ καὶ χωρίζεσθαί σου*
*πώποτε ὑπολαμβάνεις;*
*Τί δὲ φλέγειν σε καὶ καίειν*
*καὶ συντρίβειν ὅλως εἶπας;*
*Οὐκ ὀρθοί γε σοῦ οἱ λόγοι,*
*οὐδ' ἡ γνῶσις ὀρθὴ αὕτη.*
*Ἄκουε δὲ μᾶλλον λόγους,*
*οὓς ἐγώ σοι μέλλω λέγειν·*
*Ἤμην φῶς καὶ πρὸ τοῦ κτίσαι*
*τὰ ὁρώμενά σοι πάντα.*
*Πανταχοῦ εἰμι καὶ ἤμην*
*καὶ τὴν πᾶσαν κτίσας κτίσιν,*
*πανταχοῦ εἰμι κ' ἐν πᾶσιν.*
*Ἄκουσον σοφίας λόγους,*
*σύνες μυστηρίων βάθος!*
*Πλὴν οὐδὲν τῶν πάντων ἤμην,*
*οὐδὲ πάντως μετὰ πάντων,*
*οὐδ' ἐντὸς τῶν πάντων ἤμην·*
*οὐδενὶ δὲ συνημμένος,*
*ἀλλὰ μετὰ πάντων ἤμην.*
*Μηδὲν οὖν τῶν πάντων πέλων*
*ἐν τοῖς πᾶσιν ὧν οὐκ ἤμην,*
*μέσον δὲ τῶν ὁρωμένων,*
*τῶν ἐμψύχων καὶ ἀψύχων,*
*ἀναισθήτων αἰσθητῶν τε,*
*τῶν ἐμοῦ κεχωρισμένων*
*καὶ μηδόλως με εἰδότων,*

76. Α' Κορ. 2,4.

ναί, τὴν πόρτα μὴ μοῦ κλείσεις
ποὺ περνᾶ, Χριστέ, τὸ φῶς σου.
Ὁ Χριστὸς: Πῶς θαρρεῖς θὰ μ' ἀναγκάσεις,
γιὲ τοῦ ἀνθρώπου, μ' ὅσα λέγεις;
Πῶς κι ἀνόητα ἀπὸ σένα
λὲς τὸ πρόσωπο πὼς κρύβω;
κι ὑποψιάζεσαι πὼς κλείνω
ἀπὸ σένα πόρτες, πύλες;
Καὶ πῶς μέσα στὸ νοῦ σου φέρνεις
πὼς μακριὰ ἀπὸ σένα φεύγω;
Καὶ πῶς εἶπες πὼς σὲ καίω,
σὲ συντρίβω καὶ σὲ λιώνω;
Ὅσα λὲς σωστὰ δὲν εἶναι
οὔτε ὀρθὴ ἡ κρίση σου εἶναι.
Πιὸ καλὰ ἄκουσε τὰ λόγια,
ποὺ ἐγὼ σοῦ λέγω τώρα:
Ἤμουν φῶς πρὶν δημιουργήσω
ὅλα τοῦτα τὰ ὅσα βλέπεις.
Παντοῦ εἶμαι μὰ καὶ ἤμουν
κι ὅλη ἀφοῦ ἔκτισα τὴν κτίση
παντοῦ εἶμαι καὶ σὲ ὅλα.
Ἄκουσε λόγια σοφίας,
νιῶσε βάθος μυστηρίων.
Μὰ δὲν ἤμουν ἕνα ἀπ' ὅλα
οὔτε καὶ μαζὶ ἤμουν μ' ὅλα
οὔτε ἤμουν καὶ σ' ὅλα μέσα·
καὶ δεμένος μὲ κανένα,
ἤμουν μὲ τὰ πάντα ὡστόσο.
Μὴ κανένα ἀπ' ὅλα ὄντας
ἐνῶ σ' ὅλα ἤμουν δὲν ἤμουν
καὶ στὴ μέση ὅσων θωρεῖτε
ἔμψυχα μὰ κι ἄψυχα ὅλα
αἰσθητὰ κι ἀναίσθητα ὅσα,
ποὺ εἶναι χωριστὰ ἀπὸ μένα
καὶ καθόλου δὲν μὲ ξέρουν,

*ἔπλασα τὸν χοῦν εἰς σῶμα,*
*ἐνεφύσησα ψυχήν τε –*
*οὐκ ἐκ τῆς ἐμῆς οὐσίας,*
*ἀλλ' ἐκ τῆς ἐμῆς ἰσχύος.*
*Νόει, ἅπερ σε διδάσκω.*
*Εἶπον οὖν· τῇ δυνάμει μου*
*ἐνεφύσησα ψυχὴν σοι*
*λογικὴν καὶ νοεράν τε,*
*ἥτις ὥσπερ εἰς οἰκίαν*
*εἰσελθοῦσαν συνεδέθη,*
*καὶ ὡς ὄργανον λαβοῦσα,*
*ἓν ἐξ ἀμφοτέρων ὤφθη.*
*Ζῶόν σοι λέγω λογικὸν*
*ἄνθρωπος διπλοῦς ἐκ δύο*
*φύσεων ἀνεκλαλήτως·*
*σώματος τοῦ ὁρωμένου,*
*ἀναισθήτου καὶ ἀλόγου*
*καὶ ψυχῆς τῆς ἀοράτου*
*κατὰ τὴν ἐμὴν εἰκόνα*
*λογικῆς τε καὶ νοερᾶς,*
*–ξένον θαῦμα– μέσον πάντων,*
*τῶν κτισμάτων μέσον, λέγω.*
*Ποίων ἄρα τῶν κτισμάτων;–*
*Τῶν ἐνύλων καὶ ἀΰλων·*
*ἔνυλα γάρ, ἅπερ βλέπεις,*
*ἄϋλοι δὲ ἄγγελοί γε.*
*Μέσον τούτων οὖν, σοὶ λέγω,*
*ζῶον ἄνθρωπος, διπλοῦν δέ·*
*ἐν αἰσθητοῖς μὲν ἄϋλον,*
*ἐν ἀΰλοις αἰσθητὸν δέ.*
*Τοῦτον οὖν ὡς αἰσθητὸν μὲν*
*κύριον τῶν ὁρωμένων*
*καὶ δεσπότην εἰργασάμην,*
*δοῦλα ὡς ὁρατὰ πάντα*

---

90. Γεν. 2,7. 96. Γεν. 2,7.
108. Γεν. 1,26–27. 124. Ψαλμ. 8,6.

ἔπλασα τὴ γῆ σὲ σῶμα,
φύσηξα ψυχὴν ἐντός του,
ὄχι ἀπ' τὴ δική μου οὐσία,
μ' ἀπ' τὴ δύναμή μου μόνο.
Νιῶσε αὐτὰ ποὺ σοῦ μαθαίνω.
Εἶπα 'ἀπὸ τὴ δύναμή μου
φύσηξα ψυχὴν ἐντός σου',
λογικὴ καὶ νοερή,
ποὺ καθὼς σὲ σπίτι ἐντός σου
μπαίνει καὶ μαζί σου ἐδέθη,
σὲ ἔκανε σὰν ὀργανό της
κι ἕνα ἐφάνη ἀπὸ τὰ δύο.
Ζῶο λογικὸ σοῦ λέγω,
ἄνθρωπος ἀπὸ δυὸ φύσεις
διπλός, μ' ἄρρητο ἕνα τρόπο:
ἀπὸ τ' ὁρατὸ τὸ σῶμα,
ποὺ ἄλογο κι ἀναίσθητο εἶναι
καὶ ψυχὴ ποὺ ἀόρατη εἶναι
κι εἶναι ἡ εἰκόνα ἡ δική μου
καὶ νοερὴ καὶ λογική 'ναι
–θαῦμα ξένο– τῶν κτισμάτων
ὅλων νά 'ναι αὐτὸ τὸ κέντρο.
Κέντρο ποιῶν κτισμάτων τάχα;
Ὅσα ἔνυλα εἶναι κι ἄυλα·
εἶναι ἔνυλα ὅσα βλέπεις
κι ἄυλα οἱ ἄγγελοι εἶναι.
Μέσο αὐτῶν λοιπὸν σοῦ λέγω
ὁ ἄνθρωπος διπλὸ εἶναι ζῶο·
μὲς στὰ αἰσθητὰ εἶναι ἄυλο
κι αἰσθητὸ μέσα στὰ ἄϋλα.
Αἰσθητὸς αὐτὸς ἀφοῦ εἶναι,
κύριο κι ἀφένη σ' ὅλα
τὰ ὁρατὰ τὸν ἔχω βάλει
καὶ θὰ ὑποτάξω ὡς δούλους

103–4. Σκέψη ποὺ δὲν ἐκφράζεται βέβαια γιὰ πρώτη καὶ μόνη φορὰ ἐδῶ.

*αὐτῷ μόνῳ ὑποτάξας,*
*ὅπως βλέπῃ μου τὰ ἔργα*
*καὶ δοξάζῃ με τὸν κτίστην·*
*ὡς δὲ λογικόν τε ὄντα*
*καὶ νεορῶς καθορῶντα,*
*δέδωκα αὐτὸν ὁρᾶν με*
*καὶ ἐκ τούτου τῶν ἀγγέλων*
*ἐν ἀξίᾳ καθεστάναι.*
*Βλέπε, σύνες, τί σοι εἶπον·*
*ἄνθρωπος διπλοῦς ὑπάρχων*
*ἔβλεπε τοῖς αἰσθητοῖς μὲν*
*ὀφθαλμοῖς τὰ κτίσματά μου,*
*τοῖς νοεροῖς δὲ πρόσωπον*
*ἔβλεπεν ἐμοῦ τοῦ κτίστου,*
*ἐθεώρει μου τὴν δόξαν*
*καὶ ὡμίλει μοι καθ' ὥραν.*
*Ὅτε δὲ τὴν ἐντολήν μου*
*παραβὰς ἀπὸ τοῦ ξύλου*
*ἔφαγεν, ἀπετυφλώθη*
*καὶ ἐγένετο ἐν σκότει*
*τοῦ θανάτου, καθὼς εἶπον,*
*ὅπερ λέγεται κρυβῆναι*
*– τοῦτο γὰρ ἐκεῖνος τότε*
*ὑπενόησεν ἀφρόνως.*
*Ποῦ γὰρ εἶχέ με κρυβῆναι*
*ἢ ἐν ποίῳ τόπῳ, λέγε;*
*Σὺ δὲ νῦν λογίζῃ χεῖρον,*
*ἀφρονέστερον ἐκείνου,*
*ὅτι κρύπτομαι μὴ θέλων*
*ὁραθῆναί σοι εἰς ἅπαν.*
*Εἰ γὰρ μὴ ὁρᾶσθαι θέλω,*
*τί καὶ ἐν σαρκὶ ἐφάνην;*
*Τί δὲ καὶ κατῆλθον ὅλως;*

---

140. Γεν. 3,11·17 145. Γεν. 3,10.
152. Ἰὼβ 34,29. 155. Α' Τιμ. 3,16.

τὰ ὁρατά ὅλα σ' αὐτὸν μόνο,
ὥστε τά ἔργα βλέποντάς μου
νὰ δοξάζει ἐμὲ τὸν κτίστη.
Μὰ καὶ λογικὸς ἀφοῦ εἶναι
καὶ μπορεῖ νοερὰ νὰ βλέπει,
τοὔχω δώσει νὰ μὲ βλέπει
καὶ γι' αὐτὸ μὲ τοὺς ἀγγέλους
τὸ ἴδιο ἀξίωμα νὰ ἔχει.
Ἔλα, τί σοῦ εἶπα, σκέψου·
Ὁ ἄνθρωπος διπλὸς σάν ἦταν,
ἔβλεπε τὰ κτίσματά μου
μὲ τά μάτια τὰ αἰσθητά του·
καὶ μὲ τά νοερά του μάτια
ἔβλεπε τὸν κτίστη ἐμένα,
καὶ τὴ δόξα μου θωροῦσε
καὶ κάθε ὥρα μοῦ μιλοῦσε.
Ὅμως σὰν τὴν ἐντολή μου
καταπάτησε ἀπ' τὸ ξύλο
τρώγοντας, ἀποτυφλώθη
καὶ βυθίστηκε στὸ σκότος,
καθὼς εἶπα, τοῦ θανάτου,
ποὺ σημαίνει αὐτὸ τὸ 'ἐκρύφτη',
–εἶναι αὐτὸ ποὺ τότε ἐκεῖνος
ὁ ἀνόητος ἐσκέφτη.
Ποῦ εἶχε νὰ κρυφτεῖ ἀπὸ μένα,
λέγε μου, καὶ σὲ ποιόν τόπο;
Πιὸ κουτὴ ἡ δική σου σκέψη
καὶ πιὸ ἀνόητη ἀπὸ ἐκείνου
ὅτι κρύβομαι, καθόλου,
ἀφοῦ νὰ μὲ δεῖς δὲ θέλω.
Ἂν δὲν θέλω νὰ μὲ βλέπεις
πῶς καὶ φάνηκα μὲ σάρκα;
Καὶ πῶς ἦρθα στὴ γῆ κάτω

154. Εἶναι ὁπωσδήποτε ἕνα ἐπιχείρημα, ποὺ ἂν δὲν ἴσχυε, θὰ ἦταν ὁ Συμεὼν ἴσως μετέωρος.

*Τί δὲ καὶ ὠράθην πᾶσι;*
*Μὴ ἀγνόῃ μου τὰς πράξεις,*
*μηδὲ τὰς οἰκονομίας·*
*ὁ Ἀδὰμ τυφλωθεὶς πρῶτον*
*ἐλεγχθεὶς καὶ διδαχθείς τε*
*ὑπ' ἐμοῦ μετανοῆσαι*
*οὐκ ἠθέλησεν, ἀλλ' ὅλως*
*ἀταπείνωτος εὑρέθη,*
*εἶπε δὲ μᾶλλον· Ἡ γυνὴ*
*ἥμαρτεν, ἣν δέδωκάς μοι,*
*ὡσανεὶ τῆς ἁμαρτίας*
*αἴτιόν με ἀποφήνας.*
*Ὁμοίως πάλιν ἡ γυνὴ*
*ᾐτιάσατο τὴν ὄφιν,*
*καὶ οὐδεὶς ἡμαρτηκέναι*
*ὡμολόγησεν οὐδ' ὅλως.*
*Διὰ τοῦτο ἐξεβλήθη*
*τῆς τρυφῆς τοῦ παραδείσου*
*καὶ ἔμεινεν ἐν αἰσθητοῖς*
*μόνοις μετὰ τῶν ἀλόγων,*
*ἄλογος ἐκ λογικῶν τε*
*γεγονὼς καὶ ἔνυλός γε,*
*χωρισθεὶς ἐκ τῶν ἀΰλων.*
*Θαῦμα ξένον· ὥσπερ σῶμα,*
*γέγονεν ὀμμάτων δίχα*
*ἡ ψυχὴ ἐκτυφλωθεῖσα*
*καὶ Θεὸν μὴ καθορῶσα.*
*Σῶμα μέν, εἰ τυφλωθείη,*
*ὑπὸ τῆς ψυχῆς κινεῖται·*
*ἡ ψυχὴ δὲ τυφλωθεῖσα*
*ποίαν κίνησιν εὑρήσει;*
*Ζῆν δὲ πῶς ὅλως ἰσχύσει;*

165. Γεν. 3,12 ἑ. 170. Γεν. 3,13. 173. Γεν. 3,23
195. Ἰω. 3,31. 200. Ἰω. 1,14.

καὶ μ' εἶδαν τόσοι καὶ τόσοι;
Μὴν ξεχνᾶς ὅσα ἔχω κάνει
κι οἰκονόμησα νὰ γίνουν.
Σὰν ὁ Ἀδὰμ τυφλώθη πρῶτα
ἂν κι ἐλέγχθη κι ἐδιδάχθη
ἀπὸ ἐμὲ νὰ μετανοήσει,
δὲν τὸ θέλησε κι ἀρνήθη
τὴν ταπείνωση ὥς τὸ τέλος.
Μὰ εἶπε ἀκόμα ὅτι «ἡ γυναίκα
ἁμάρτησε ποὺ μοὔχεις δώσει»,
σὰ νὰ ἔλεγεν ἐμένα
αἴτιο τῆς ἁμαρτίας.
Ὅμοια κι ἡ γυναίκα πάλι
αἴτιο τὸ φίδι βρῆκε
καὶ κανένας δὲν ἐδέχτη
πὼς ἁμάρτησε καθόλου.
Κι ἀπὸ τὴν τρυφὴ γιὰ τοῦτο
διώχτηκε τοῦ παραδείσου,
καὶ μὲς στὰ αἰσθητὰ ἔχει μείνει
καὶ μὲ τ' ἄλογα παρέα
ἀπο λογικὰ ἄλογος
γινωμένος κι ἔνυλος
ἀπ' τοὺς ἄυλους χωρισμένος.
Μέγα θαῦμα· καθὼς σῶμα
ἔγινε μὲ δίχως μάτια
ἡ ψυχὴ ἀποτυφλωμένη
καὶ τὸ Θεὸ πιὰ μὴ θωρώντας.
Ὅταν τυφλωθεῖ τὸ σῶμα
τὸ κινεῖ ἡ ψυχὴ καὶ πάει.
Μὰ ὅταν τυφλωθεῖ ἡ ψυχὴ
ποῦ τὴν κίνηση θὲ νάβρει;
Πῶς θὰ γίνει κὰν νὰ ζήσει;

---

162. Ὁ τρόπος τῆς συγχώρησης ἦταν ἡ μετάνοια καὶ ὄχι ἡ ἄρνηση τῆς εὐθύνης καὶ τὸ παράδειγμα τῆς μετάνοιας ποὺ ἔπρεπε νὰ γίνει τότε καὶ νὰ γίνεται πάντοτε μᾶς τὸ δίνει ὁ Χριστὸς μὲ τὸν ἄσωτο,

*Οὐδαμῶς, ἀλλὰ θανεῖται*
*θάνατον εἰς τὸν αἰῶνα,*
*ὅπερ ἔπαθον, ὡς εἶπον,*
*οἱ πρωτόπλαστοι ἀνοίᾳ*
*καὶ κατῆλθον εἰς τὸν ᾅδην*
*καὶ εἰς φθορὰν κατήχθησαν, οὕσπερ κατελεήσας*
*ἄνωθεν ἐγὼ κατῆλθον·*
*ἀόρατος ὢν πάντῃ*
*πάχους καὶ σαρκὸς μετέσχον*
*καὶ ψυχὴν ἀνελαβόμην,*
*Θεὸς ὢν ἀναλλοιώτως*
*ἐγενόμην σὰρξ ὁ Λόγος.*
*Ἐκ σαρκὸς ἀρχὴν λαβὼν δὲ*
*ἄνθρωπος ὡράθην πᾶσιν.*
*Διὰ τί οὖν ὅλως τοῦτο*
*ἠνεσχόμην τοῦ ποιῆσαι;*
*Ὅτι ἐπὶ τούτῳ πάντως*
*ἔκτισα, καθὼς καὶ εἶπον,*
*τὸν Ἀδὰμ τοῦ καθορᾶν με.*
*Ἐπειδὴ δὲ ἐτυφλώθη,*
*ἐξ ἐκείνου τε οἱ πάντες*
*τούτου ἀπόγονοι ἅμα,*
*οὐχ ὑπέφερον, αὐτὸν μὲν*
*εἶναι ἐν τῇ θείᾳ δόξῃ,*
*παρορᾶν δὲ τυφλωθέντας*
*τῇ τοῦ ὄφεως ἀπάτῃ,*
*οὕσπερ ἔκτισα χερσί μου.*
*Ἀλλὰ ὅμοιος ἀνθρώποις*
*ἐγενόμην κατὰ πάντα,*
*αἰσθητὸς τοῖς αἰσθητοῖς γε,*
*καὶ ἡνώθην τούτοις θέλων.*
*Βλέπεις, πόσον πόθον ἔχω*
*τοῦ ὁρᾶσθαι παρ' ἀνθρώπων,*
*ὡς καὶ ἄνθρωπος γενέσθαι*
*θελῆσαι καὶ ὁραθῆναι.*

---

216. Ἑβρ. 2,17.

Εἶναι ἀδύνατο· πεθαίνει
τότε θάνατον αἰώνιο.
Τοῦτο ἐπάθαν, ὅπως εἶπα,
οἱ πρωτόπλαστοι ἀπὸ ἄνοια
καὶ κατέβηκαν στὸν ἅδη
καὶ στὴ φθορὰ κατάληξαν, μὰ τούτους ἐλεώντας
ἀπ' τὰ ουράνια ἔχω κατέβει
κι ἐνῶ ἀόρατος ἐγὼ ἤμουν,
ὕλην ἔλαβα καὶ σάρκα
καὶ ψυχὴ συνάμα ἐπῆρα.
Ἀναλλοίωτα Θεὸς ὑπάρχω
κι ἔγινα ὁ Λόγος σάρκα
παίρνοντας ἀρχὴ ἀπ' τὴ σάρκα
ὅλοι ὡς ἄνθρωπο μὲ εἶδαν.
Καὶ λοιπὸν γιατί ὅλο τοῦτο
δέχτηκα νὰ ἐπιχειρήσω;
Μὰ ἐπειδὴ γιὰ τοῦτο εἶναι
ποὺ δημιούργησα, ὅπως εἶπα,
τὸν Ἀδάμ, γιὰ νὰ μὲ βλέπει.
Ἐπειδὴ τυφλώθηκε ὅμως
κι ὅλοι στὴ σειρὰ μαζί του
ἀπ' αὐτὸν οἱ ἀπόγονοί του,
δὲν τὸ ἄντεχα, ἐγὼ ὁ ἴδιος
τὴ θεία δόξα ν' ἀπολαύω
καὶ νὰ μὴ θωρῶ μὲ ἀπάτη
τοῦ φιδιοῦ ὡς τυφλωθῆκαν
ὅσους πλάσαν μου τὰ χέρια.
Μὰ μὲ τοὺς ἀνθρώπους ὅμοιος,
αἰσθητὸς σ' αἰσθητοὺς μέσα
σ' ὅλα ἔγινα τὰ πάντα
θέλοντας ἕνα μαζί τους.
Βλέπεις πόσο πόθον ἔχω
οἱ ἄνθρωποι νὰ μὲ θωροῦνε,
ὥστε κι ἄνθρωπος νὰ θέλω
νὰ γινῶ καὶ νὰ μὲ βλέπουν.

*Πῶς οὖν εἶπας κρύπτεσθαί με*
*ἀπὸ σοῦ καὶ μὴ ὁρᾶσθαι;*
*Ὄντως λάμπω, ἀλλ' οὐ βλέπεις.*
*Πρόσεχε τῷ μυστηρίῳ·*
*Ἔβλεπε θεότητός μου*
*δόξαν ὁ Ἀδὰμ καὶ ἔζη,*
*παραβὰς δ' ἀπετυφλώθη*
*καὶ εὐθὺς ἀπενεκρώθη*
*μὴ θελήσας μεταγνῶναι,*
*μηδ' εἰπών· Ἡμάρτηκά σοι.*
*Διὰ τοῦτο οὖν ἐνδίκως*
*ἀποστρέφειν κατεκρίθη*
*εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη·*
*ὕστερον δὲ τοῦτο πάντως*
*ὡς ἀπόφασις ἐδόθη*
*καὶ τοῖς πᾶσιν ἐλογίσθη*
*ἄφυκτος ὡς τιμωρία.*
*Ἀλλ' οὐκ ἔστι τιμωρία,*
*μᾶλλον δὲ εὐεργεσία.*
*Οὐ γὰρ εἴασα συνεῖναι*
*τὸ φθαρτὸν σὺν τῷ ἀφθάρτῳ.*
*Χεῖρον ἦν γὰρ τοῦ λυθῆναι*
*τὸ δεδέσθαι αἰωνίως*
*καὶ ἀθάνατον ὑπάρχειν*
*τὸ κακὸν ἐν ἀμφοτέροις.*
*Ἡ ψυχὴ γὰρ ἐκπεσοῦσα*
*τῆς ζωῆς γε τῆς ἐνταῦθα,*
*πάλιν τε, εἴπερ τὸ σῶμα*
*τὸ φθειρόμενον ὑπῆρχε*
*φέρουσα συνηνωμένον,*
*πῶς οὐκ ἦν θανάτου χεῖρον,*

---

226. Ὁ βαθμὸς τῆς φανέρωσης τοῦ Θεοῦ δὲν προσδιορίζεται ἀπὸ δική του αὐξομοίωση, ἀλλὰ ἀπὸ τὴ δυνατότητα τοῦ ἀνθρώπου ἀνάλογα μὲ τὸ βαθμὸ τῆς καθαρότητάς του.

235. Ἡ καταδίκη τοῦ Ἀδὰμ γιὰ τὸ ἁμάρτημά του εἶναι ἡ ἐπιστροφὴ «εἰς τὴν

Καὶ πῶς εἶπες ἀπὸ σένα
κρύβομαι νὰ μὴ μὲ βλέπεις;
Λάμπω ἀλήθεια, μὰ δὲν βλέπεις.
Τὸ μυστήριο πρόσεξέ το·
Ὁ Ἀδὰμ τῆς θεότητάς μου
τὴ δόξα ἔβλεπε καὶ ζοῦσε,
σὰν ἁμάρτησε τυφλώθη
κι ἔγινε νεκρὸς ἀμέσως
μὴν ἀλλάζοντας τὴ γνώμη
κι 'ἥμαρτον' μὴ λέγοντάς μου.
Καὶ λοιπὸν δίκαια γιὰ τοῦτο
κατακρίθη νὰ γυρίσει
στὸ χῶμα ἀπ' ὅπου ἐπλάστη.
Στὴ συνέχεια πιὰ τοῦτο
σὰν ἀπόφαση γιὰ ὅλους
βγῆκε καὶ καταλογίστη
τιμωρία ποὺ δὲν ξεφεύγουν.
Κι ὅμως τιμωρία δὲν εἶναι,
πιὸ πολὺ εἶν' εὐεργεσία,
σὰν δὲν ἄφησα ἑνωμένα
φθαρτὸ κι ἄφθαρτο νὰ ὑπάρχουν.
Πιὸ κακὸ ἀπ' τὸ νὰ χωρίσουν
εἶναι νὰ δεθοῦν αἰώνια
καὶ ἀθάνατο νὰ ὑπάρχει
τὸ κακὸ μέσα στὰ δύο·
Ἡ ψυχὴ ποὺ ἔχει ξεπέσει
ἀπὸ τὴν ἐδῶ ζωὴ
καὶ ἀκόμα νὰ ὑποφέρει
τὸ φθειρόμενο αὐτὸ σῶμα
ἑνωμένο μ' αὐτὴ νά 'ναι,
πιὸ βαρὺς θάνατος εἶναι

233. Ψαλμ. 50,6. Λουκᾶ 15,18. 235. Γεν.3,19.

γῆν ἐξ ἧς ἐλήφθη», ποὺ εἶναι εὐεργεσία μπροστὰ στὴν συνύπαρξη 'τοῦ φθαρτοῦ μὲ τὸ ἄφθαρτο' μὲ κοινὸ στοιχεῖο τὸ κακό.

*χωρισμοῦ ψυχῆς, σοὶ λέγω;*
*Δύο οὖν εἰσι θάνατοι,*
*σώματός τε καὶ ψυχῆς.*
*Ὁ θανὼν ψυχῇ, εἰπέ μοι,*
*καὶ φθαρτὸν ἐκ τούτου σῶμα*
*περιφέρων ἡνωμένον,*
*κατ' ὀλίγον τε γηράσκον*
*καὶ λυόμενον καὶ ῥέον,*
*εἰ μὴ ἔμελλε λυθῆναι*
*τούτου τε καὶ χωρισθῆναι*
*ἡ ψυχή, ἀλλ' αἰωνίως*
*ἦν συνδεδεμένη τούτῳ,*
*πῶς οὐ χείρων πάσης ἄλλης*
*τιμωρίας τῆς ἐν ᾅδῃ*
*αὕτη ἡ ζωὴ ὑπῆρχε;*
*Βλέπε μοι τοὺς ὑπὸ νόσου*
*ἱερᾶς κατεχομένους,*
*πῶς αἱ σάρκες αἱ ἐκείνων*
*φθείρονται καὶ δαπανῶνται,*
*πῶς χειρῶν, ποδῶν τε δίχα*
*καὶ ὀμμάτων καὶ χειλέων*
*καὶ ῥινῶν εἰσι καὶ ὤτων,*
*πῶς ἀκίνητοι εἰς ἅπαν,*
*πῶς καὶ ἄλαλοι κωφοί τε*
*ταῖς ἀλαλήταις φωναῖς*
*τὸν Θεὸν ἐπικαλοῦνται*
*ταύτης τῆς σαρκὸς λυθῆναι!*
*Εἰ γὰρ οὕτως εἰς αἰῶνας,*
*ἵνα πάλιν εἴπω, εἶναι*
*ἐκληρώσατο, οὐ χεῖρον*
*τοῦ θανεῖν τὸ ζῆν ὑπῆρξε;*
*Οὕτως οὖν εὐεργεσία*

---

256. Ἀποκ. 2,11· 20,14.

ἐννοῶ, ἀπ' τὸ χωρισμό τους.
Δύο θάνατοι ὑπάρχουν,
τοῦ σώματος καὶ τῆς ψυχῆς.
Στὴν ψυχή του ὅποιος νεκρώθη
καὶ φθαρτὸ σῶμα, γιὰ πές μου,
ἑνωμένο περιφέρει,
ποὺ γεράζει λίγο λίγο,
κι ἀτονεῖ καὶ καταρρέει,
ἂν ν' ἀπαλλαγεῖ δὲν ἦταν
καὶ νὰ χωριστεῖ ἀπὸ τοῦτο
ἡ ψυχή, ἀλλὰ ἑνωμένη
στὸν αἰώνα μ' αὐτὸ νά 'ναι,
πῶς χειρότερη ἀπὸ κάθε
ἄλλη τιμωρία τοῦ ἅδη
ἡ ζωὴ αὐτὴ δὲ θὰ ἦταν;
Πρόσεξε ὅσους ἀπ' τὴ νόσο
τὴν ἱερὴ κατέχονται,
πῶς τῶν δύστυχων οἱ σάρκες
φθείρονται καὶ καταλυοῦνται,
πῶς χωρὶς χέρια καὶ πόδια,
δίχως μάτια, δίχως χείλια,
οὔτε μύτες κι οὔτε αὐτιά,
πῶς σ' ἀκινησία τέλεια
ἄλαλοι, κουφοὶ κι ὡστόσο
μὲ τὶς ἄναρθρες φωνές τους
τὸ Θεὸν ἐπικαλοῦνται
ἀπ' τὴ σάρκα νὰ γλυτώσουν.
Γιατὶ ἂν τέτοιος στοὺς αἰῶνες,
νὰ τὸ ξαναπῶ, τῆς εἶχε
κλῆρος λάχει, ἀπ' τὴ ζωὴ
κάλλιο ὁ θάνατος δὲ θὰ ἦταν;
Ἰδοὺ πῶς εὐεργεσία

---

270. Ὄχι ἡ ἐπιληψία ὅπως λέγεται συνήθως· ἐδῶ πρόκειται προφανῶς γιὰ τὴ λέπρα.

*γέγονεν ἡ τιμωρία,*
*μᾶλλον δὲ οὐ τιμωρία,*
*ἀλλ' οἰκονομία θεία.*
*Ὁ γὰρ θάνατος ἀνθρώπων*
*θάνατος πραγμάτων πέλει·*
*θάνατος φροντίδων λύσις,*
*θάνατος ἐλευθερία*
*νόσων καὶ παθῶν παντοίων,*
*θάνατος ἁμαρτημάτων*
*ἐκκοπὴ καὶ ἀδικίας,*
*θάνατος ἀπαλλαγή τε*
*τῶν κακῶν τοῦ βίου πάντων,*
*τοῖς βιώσασι καλῶς δὲ*
*πρόξενος χαρᾶς ἀλήκτου*
*καὶ τρυφῆς τῆς ἀϊδίου*
*καὶ φωτὸς τοῦ ἀνεσπέρου.*
*Ὅμως πρὸ τοῦ χωρισθῆναι*
*ἐκ τοῦ σώματος, σοὶ λέγω,*
*βλέπε τὰς εὐεργεσίας,*
*βλέπε τὰς οἰκονομίας,*
*μάνθανε τὰς δωρεάς μου!*
*Ἐφανέρωσα τῷ κόσμῳ*
*ἐμαυτὸν καὶ τὸν Πατέρα*
*καὶ ἐξέχεα πλουσίως*
*τὸ πανάγιόν μου Πνεῦμα*
*ἐπὶ πᾶσαν ὄντως σάρκα,*
*καὶ τὸ ὄνομά μου πᾶσιν*
*ἀπεκάλυψα ἀνθρώποις,*
*καὶ τοῖς ἔργοις, ὅτι κτίστης*
*καὶ δημιουργὸς ὑπάρχω,*
*ἔδειξα καὶ νῦν δεικνύω*
*πάντα, ἃ ποιῆσαι ἔδει.*

*Ἀμήν.*

ἔγινε ἡ τιμωρία·
ὄχι βέβαια τιμωρία
ἀλλὰ θεία οἰκονομία,
θάνατος ἀνθρώπων εἶναι,
θάνατος κάθε σκοτούρας,
θάνατος κάθε φροντίδας,
θάνατος ποὺ ἀπὸ κάθε
σώζει ἀρρώστια, κάθε πάθος.
θάνατος ὁποὺ ἁμαρτίες
σταματᾶ καὶ ἀδικίες,
θάνατος ὁποὺ ἀπαλλάσσει
ἀπὸ τὰ δεινὰ τοῦ βίου ὅλα
καὶ σωστὰ σὲ ὅποιους ἐζῆσαν
χαρὰ ἀτέλειωτη χαρίζει
τὴν τρυφὴ τὴν ἐπουράνια
καὶ τὸ φῶς τ' ἀνέσπερο.
Ὅμως πρὶν ἀπὸ τὸ σῶμα
χωριστεῖς, νὰ τί σοῦ λέγω·
Βλέπε τὶς εὐεργεσίες,
βλέπε τὶς οἰκονομίες,
μάθαινε τὶς δωρεές μου.
Ἐφανέρωσα στὸν κόσμο
τὸν Πατέρα μου κι ἐμένα
καὶ παντοῦ ἅπλωσα πλούσια
τὸ πανάγιό μου Πνεῦμα
σ' ὅλη ἀληθινὰ τὴ σάρκα
κι ἀποκάλυψα σὲ ὅλους
τοὺς ἀνθρώπους τ' ὄνομά μου.
Καὶ μὲ τὰ ἔργα μου ὅτι κτίστης
καὶ δημιουργὸς ἐγὼ εἶμαι
ἔδειξα καὶ τώρα δείχνω
ὅλα ὅσα ἔπρεπε νὰ κάνω.
Ἀμήν.

---

308. Ἰω. 17,6· 7,4. 310. Τίτ. 3,6. Ἰωὴλ 3,1. 313. Ἰω. 17,6.

## ΝΔ'

**Ὅτι ἑκάστῳ τῶν ἀνθρώπων δέδωκεν ὁ Θεὸς προσφυῶς καὶ πρὸς τὸ συμφέρον τὸ χάρισμα διὰ Πνεύματος ἁγίου εἰς τὸ ἐνεργεῖν, οὐχ ὥσπερ αὐτὸς θέλει, ἀλλ' ὡς ὑπ' αὐτοῦ προωρίσθη εἰς τὸ μὴ κενὸν εἶναι μέσον τῆς Ἐκκλησίας αὐτοῦ.**

*Τὸ ποίημα τοῦ ποιητοῦ τί ποτ' ἂν γνοίη δίχα;*
*Τὴν γνῶσιν γάρ, ἣν ἔλαβε, πάντως ἀπαιτηθείη,*
*πρᾶξίν τε καὶ ἐνέργειαν δικαίως καὶ πρεπόντως,*
*καὶ γὰρ σκαπάνη, δρέπανον, μάχαιρά τε καὶ πρίων,*
*ἀξίνη, ῥάβδος, λόγχη τε, φάσγανόν τε καὶ τόξον,*
*βέλος καὶ πάντα τὰ λοιπὰ ἐργαλεῖα ἐν βίῳ,*
*ἕκαστον τὴν ἐνέργειαν κέκτηται τὴν ἰδίαν,*
*ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ λαβόν, ἐξ ἡμῶν δέ γε πάντως.*
*Ὁ γὰρ τεχνίτης ἕκαστον, πρὸς ὅπερ ἂν ἐθέλοι,*
*κατασκευάζει ἐνεργεῖν ἐργαλεῖον ἐντέχνως.*
*Διὸ θερίζειν λήια οὐκ ἔξεστι σκαπάνῃ,*
*οὐδὲ δρεπάνῳ τεκτονεῖν, οὐδ' ἐν μαχαίρᾳ κτίζειν,*
*οὐ σκάπτειν μετὰ πρίονος, οὐ ῥάπτειν τῇ ἀξίνῃ,*
*οὐ τέμνειν ξύλα ῥάβδῳ γε, λόγχῃ δ' οὐ πρίζειν θέμις,*
*οὐδὲ φασγάνῳ σφενδονεῖν, οὐκ ἐν τῷ τόξῳ τέμνειν,*
*ἀλλ' ἁρμοζόντως ἑκάστῳ χρὴ πρὸς ἕκαστον χρᾶσθαι.*
*Εἰ δ' οὐ πρὸς ἃ γεγόνασιν, ἀλλ' ἄλλως χρήσῃ τούτοις,*
*ἀπόλωλεν ὁ βίος σοι καὶ πᾶσα πρᾶξις πάντως.*
*Οὕτως οὖν μοι νόει καὶ Θεὸν ἡμᾶς πεποιηκέναι*
*ἐν ἔργοις ἕκαστον πιστὸν ἐνεργεῖν ἐν τῷ βίῳ,*
*τοὺς μὲν διδάσκειν θέμενος, τοὺς δὲ πάντως μανθάνειν,*

**Ὅτι ὁ Θεὸς ἔχει δώσει σὲ κάθε ἄνθρωπο σύμφωνα μὲ τὴ φύση του καὶ πρὸς τὸ συμφέρον του τὸ χάρισμα μέσω τοῦ ἁγίου Πνεύματος νὰ ἐνεργεῖ ὄχι ὅπως θέλει αὐτός, ἀλλὰ ὅπως προορίστηκε ἀπὸ Ἐκεῖνον, γιὰ νὰ μὴν εἶναι ἄχρηστος μέσα στὴν Ἐκκλησία του.**

Τί ξέρει τὸ δημιούργημα χωρὶς τὸ δημιουργό του;
ἡ μάθηση ποὺ ἔλαβε βέβαια θὰ τοῦ ζητοῦνταν,
ἡ πράξη καὶ ἡ ἐνέργεια δίκαια κι ὅπως πρέπει·
ἡ σκαπάνη καὶ τὸ δρέπανο, τὸ πριόνι, τὸ μαχαίρι
ἡ ἀξίνα, ἡ λόγχη, τὸ ραβδί, τὸ ξίφος καὶ τὸ τόξο
τὸ βέλος κι ὅλα τὰ λοιπὰ τὰ ἐργαλεῖα τοῦ βίου,
καθένα ἔχει ξεχωριστὰ τὸ ἔργο τὸ δικό του,
ποὺ δὲν τὸ πῆρε μόνο του, ἀλλὰ ἀπὸ ἐμᾶς μονάχα.
Γιατὶ ὁ τεχνίτης σύμφωνα μὲ τὸ σκοπὸ ποὺ θέλει
κατασκευάζει κι ἐνεργεῖ κάθε ἐργαλεῖο μὲ τέχνη.
Γι' αὐτὸ ἡ σκαπάνη δὲν μπορεῖ χωράφια νὰ θερίζει,
τὸ δρέπανο νὰ οἰκοδομεῖ κι ἡ μάχαιρα νὰ χτίζει,
οὔτε μὲ πριόνι σκάβομε, δὲ ράβομε μὲ ἀξίνα,
ξύλα δὲν κόβει τὸ ραβδί, ἡ λόγχη δὲν πριονίζει,
οὔτε τὸ ξίφος σφεντονᾶ κι οὔτε τὸ τόξο κόβει,
μὰ ὅλα μεταχειρίσου τα ὅπως πρέπει τὸ καθένα.
Κι ἂν ὄχι γιὰ ὅ,τι ἔγιναν μὰ σὲ ἄλλα τὰ ἐφαρμόσεις,
πάει ἄχρηστη ὅλη σου ἡ ζωὴ μαζὶ καὶ κάθε πράξη.
Σκέψου, κι ἐμᾶς ἔτσι ὁ Θεὸς μᾶς ἔχει δημιουργήσει·
κάθε πιστὸς τὸ ἔργο του μὲς στὴ ζωὴ νὰ κάνει,
ἄλλους δασκάλους βάζοντας καὶ νὰ μαθαίνουν ἄλλους,

---

21. Α' Κορ. 12,8–10.

*ἄλλους τοῦ ἄρχειν τῶν πολλῶν, τοὺς δὲ ὑπείκειν τούτοις·*
*καὶ οἷς μὲν σοφίαν δέδωκεν, οἷς δὲ γνῶσιν καὶ λόγον,*
*τὸ προφητεύειν ἄλλοις δέ, τὸ λαλεῖν γλώσσαις ἄλλοις,*
*θαυματουργεῖν ἑτέροις δὲ καὶ ἐνεργεῖν δυνάμεις,*
*ἄλλους προστάτας ἔδειξε. Πνευματικὰ δὲ ταῦτα,*
*ἀλλ' εἴπωμεν καὶ ἕτερα χαρίσματα τοῦ κτίστου,*
*ἃ τοῖς ἀνθρώποις δέδωκεν, ἑκάστῳ κατ' ἀξίαν·*
*τὸν μὲν ἀνδρεῖον σώματι, τὸν δὲ ὡραῖον μᾶλλον*
*πεποίηκε καὶ ἕτερον εὐφωνότερον ἄλλων,*
*ἁπλῶς τε ἐχαρίσατο ἑκάστῳ τῶν ἀνθρώπων*
*τὸ κατ' ἀξίαν δώρημα καὶ πλεονέκτημά γε,*
*ὡς οἶδε μόνος ὁ Θεός, ὁ τῶν ἁπάντων κτίστης,*
*εἰς τὸ χρησίμως ἐνεργεῖν ἐν τῷ βίῳ ἀρρήτως.*
*Διὸ πρὸς τέχνην ἕκαστος οὐχ οἵαν αὐτὸς θέλει,*
*ἀλλὰ πρὸς οἵαν ἔκτισται, ἐπιτηδείως ἔχει,*
*καὶ πρὸς αὐτὴν διάκειται προσφυῶς καὶ οἰκείως,*
*καὶ ἴδοις ἂν τὸν πλευστικὸν εὐτέχνως τὰ πελάγη*
*θαλάσσης διαπλέοντα καὶ τερπόμενον μᾶλλον*
*ὑπὲρ τὸν ἵππῳ σοβαρῷ ἐφεζόμενον ἄνδρα*
*καὶ γεωργὸν γῆς αὔλακας τέμνοντας τῷ ἀρότρῳ,*
*τὸ ζεῦγός τε τὸ τῶν βοῶν τῶν συνεργαζομένων*
*πολὺ κρεῖσσον νομίζοντα βασιλικοῦ τετρώρου,*
*ὅθεν καὶ χαίρει ταῖς χρησταῖς κατεντρυφῶν ἐλπίσιν.*
*Ὁ στρατιώτης πάλιν δὲ ἑαυτὸν ὑπὲρ πάντας*
*γεωργούς τε καὶ πλευστικοὺς καὶ χειροτέχνας μείζω*
*ἡγεῖται καὶ ὡς ἔνδοξος ἐναβρύνεται τρέχων*
*ἐπὶ σφαγὴν καὶ θάνατον, ἄωρον καταλῦσαι.*
*Οὗτος οὖν οὐκ ἀνέξεται κώπην ὅλως ἐλάσαι,*
*οὐδὲ κρατῆσαι δίκελλαν, οὐδὲ τέκτων γενέσθαι,*
*οὐ ναύτης οὐδὲ γεωργός, οὐ γεηπόνος εἶναι*
*αἱρήσεται· ἀλλ' ἕκαστος, πρὸς ὅ, καθάπερ εἶπον,*
*τὸ ἐνεργεῖν ἀπὸ Θεοῦ ἔλαβεν, ἐνεργήσει,*

---

52. Ὁ Θεὸς ἔχει κάνει τοὺς ἀνθρώπους ὄργανα γιὰ τὴ συγκεκριμένη ἐργα-

ἄλλους νἆν' ἄρχοντες πολλῶν καὶ τοῦτοι νὰ ἐπακοῦνε,
σ' αὐτοὺς σοφίαν ἔδωσε σ' ἄλλους γνώση καὶ λόγο,
νὰ προφητεύουν μερικοὶ ἢ νὰ μιλοῦν σὲ γλῶσσες,
σὲ ἄλλους νὰ θαυματουργοῦν καὶ θαύματα νὰ κάνουν,
ἄλλους τοὺς ἔκανε ὁδηγούς. Πνευματικὰ εἶναι τοῦτα,
μὰ κι ἄλλα ἂς ἀναφέρομε χαρίσματα τοῦ πλάστη
ποὺ στοὺς ἀνθρώπους ἔδωσε ταιριαστὰ στὸν καθένα·
ἕνα στὸ σῶμα δυνατὸ κι ὡραῖο τὸν ἄλλο κάνει
κι ἐκεῖνον πιὸ καλὴ φωνὴ νὰ ἔχει ἀπὸ τοὺς ἄλλους
καὶ μ' ἕνα λόγο χάρισε χάρισμα στὸν καθένα
ἄνθρωπο ὅπως τοῦ ταίριαζε καὶ τὸ προτέρημά του,
ὅπως μονάχα ξέρει ὁ Θεὸς ὁ δημιουργὸς τῶν ὅλων
νὰ ἐνεργεῖ ὅ,τι χρήσιμο ἄρρητα στὴ ζωή μας.
Γι' αὐτὸ κι εἶναι ἐπιτήδειος καθένας μας στὴν τέχνη,
ὄχι σὲ ὅποιαν θέλει αὐτός, μὰ γιὰ ὅποια εἶναι πλασμένος
γι' αὐτὴν εἶναι κατάλληλος κι ἔχει καὶ δεξιοσύνη.
Κι ἔτσι θὰ δεῖς τὸ ναυτικὸ μὲ τέχνη τὰ πελάγη
νὰ σκίζει καὶ τὶς θάλασσες μὲ χαρὰ πιὸ μεγάλη
ἀπ' τὸν ἱππέα ποὺ ἄλογο περήφανον ἱππεύει
καὶ τὸ γεώργὸν ὁ ποὺ τὴ γῆς ὀργώνει μὲ τ' ἀλέτρι
καὶ ποὺ θαρρεῖ πὼς τῶν βοδιῶν τὸ ποὺ ὁδηγεῖ ζευγάρι
ἀνώτερο ἀπ' τοῦ βασιλιᾶ τὸ τετράζυγον εἶναι,
γι' αὐτὸ κι ἀπὸ χαρὰ σκιρτᾶ γλυκύτατων ἐλπίδων.
Μὰ πάλι κι ὁ πολεμιστὴς τὸν ἑαυτό του ἐπάνω
ἀπὸ γεωργοὺς καὶ ναυτικοὺς βάζει καὶ χειροτέχνες
καὶ καμαρώνει τρέχοντας σὰ διαλεχτὸς τῆς δόξας
στὸ θάνατο καὶ τὴ σφάγη πρόωρα νὰ καταλήγει.
Αὐτὸς λοιπὸν δὲ θ' ἀνεχτεῖ κουπὶ γιὰ νὰ τραβήξει
οὔτε νὰ πιάσει τὸν κασμὰ κι οὔτε νὰ γίνει χτίστης,
ναύτης μηδέ, οὔτε γεωργὸς οὔτε θὰ προτιμήσει
νὰ γίνει καλλιεργητής, ἀλλὰ καθώς, ὡς εἶπα,
ὅ,τι τοῦ ὁρίστη ἀπὸ Θεοῦ ἐκεῖνο καὶ θὰ κάνει,

σία τῶν ἐντολῶν του κι αὐτὴ τὴν ἐργασία θὰ ἀσκήσει ὁ ἄνθρωπος. Ἡ ἄρνησή του ἔχει γι' αὐτὸν συνέπειες.

ἄλλως δὲ οὐ δυνήσεται ἄνθρωπος ἐν τῷ βίῳ
ὅλως τι διαπράξασθαι ἢ τὴν ἀρχὴν θελῆσαι.
Ἰδοὺ γάρ –αὖθις λέγω σοι ἅπερ καὶ πρώην εἶπον·
Ὥσπερ οὐκ ἔξεστί ποτε τῶν εἰρημένων πάντων
ἐργαλεῖον ἀφ' ἑαυτοῦ κινηθῆνα πρὸς πρᾶξιν
ἢ ἐνεργῆσαί τι ἄνευ χειρὸς ἀνθρώπου,
τοῦ αἴροντος καὶ δι' αὐτοῦ κατασκευάζοντός τι,
οὕτως οὐδὲ ὁ ἄνθρωπος ἄνευ χειρὸς τῆς θείας
ἐννοῆσαί τι δύναται ἀγαθὸν ἢ ποιῆσαι.
– Ἰδοὺ γάρ, ὁ τεχνίτης με κατεσκεύασε Λόγος,
οἷον αὐτὸς ἠθέλησε καὶ ἔθηκεν ἐν κόσμῳ.
Πῶς οὖν, εἰπέ, δυνήσομαι φρονῆσαι ἢ ποιῆσαι
ἢ ὅλως ἐνεργῆσαί τι θείας ἰσχύος ἄνευ;
Ὁ νοῦς μοι χαρισάμενος, οἷον ἤθελε πάντως,
αὐτὸς καὶ δίδωσι φρονεῖν ὅσα συμφέρειν οἶδε,
καὶ ἐνεργεῖν παρέχει μοι δύναμιν, ἅπερ θέλει.
Εἰ οὖν αὐτὰ ποιήσαιμι, πλείονα πάντως δώσει,
καὶ τελεώτερα φρονεῖν παράσχει φιλανθρώπως·
εἰ δὲ καταφρονήσαιμι καὶ αὐτῶν τῶν ὀλίγων
τῶν καταπιστευθέντων μοι τὴν στέρησιν δικαίως
ὄντως καθυποστήσομαι παρὰ Θεοῦ τοῦ δόντος
καὶ ἄπρακτος γενήσομαι, ἄχρηστον ἐργαλεῖον,
ὡς μὴ θελήσας ἐντολὰς ἐργάσασθαι τοῦ κτίστου,
ἀλλ' ὀκνηρίᾳ ἐμαυτὸν ἐκδοὺς καὶ ῥᾳθυμίᾳ·
καὶ διὰ τοῦτο ἔρριμαι τῶν χειρῶν τοῦ Δεσπότου,
ἀπειθείᾳ τῇ πρὸς αὐτὸν καὶ ἀνυποταξίᾳ
χρησάμενος ἐκβέβλημαι τοῦ ὄντως παραδείσου,
μακρὰν γενόμενος Θεοῦ καὶ χειρῶν τῶν ἁγίων.
Εὑρὼν λοιπόν με κείμενον ὁ παμπόνηρος ὄφις
καὶ τῇ ἀργίᾳ τῶν καλῶν προδεδομένον ὅλον,
δολίως κατηχρείωσε πᾶσιν ἔργοις ἀτίμοις,
οἷσπερ ἐνηδυνόμενος καὶ χαίρων ὠπτανόμην,
ἀνθ' ὧν λυπεῖσθαί με ἐχρῆν καὶ θρηνεῖν τε καὶ κλαίειν,

---

70. Ματθ. 25,21.

ἀλλιῶς δὲ θὲ νὰ δυνηθεῖ ὁ ἄνθρωπος στὴ ζωή του
νὰ καταφέρει τίποτε μήτε καὶ θὰ θελήσει.
Αὐτό 'ναι κι ἄλλη μιὰ φορὰ στὸ λέω ὡς τὸ εἶπα πρῶτα·
ὅπως δὲ γίνεται ποτὲ κάποιο ἐργαλεῖο ποὺ σοῦ εἶπα
νὰ κινηθεῖ ἀπὸ μόνο του, ὥστε νὰ πράξει κάτι
ἢ νὰ ἐνεργήσει κάτιτι μὲ δίχως χέρι ἀνθρώπου
γιὰ νὰ τὸ πιάσει καὶ μ' αὐτὸ νὰ φτιάξει τό 'να ἢ τ' ἄλλο,
παρόμοια μήτε ὁ ἄνθρωπος χωρὶς τὸ θεῖο τὸ χέρι
δὲ θὰ μπορέσει νὰ σκεφτεῖ ἕνα ἀγαθὸ ἢ νὰ πράξει.
– Ἰδού, μὲ κατασκεύασε ὁ τεχνουργὸς ὁ Λόγος,
ὅπως ὁ ἴδιος θέλησε καὶ μ' ἔβαλε στὸν κόσμο.
Πῶς θὰ μπορέσω νὰ σκεφτῶ λοιπὸν ἢ καὶ νὰ πράξω
ἢ καὶ νὰ ἐνεργήσω κὰν χωρὶς τὴ θεία βοήθεια;
Αὐτὸς ποὺ νοῦ μοῦ χάρισε καθῶς ἤθελε βέβαια
αὐτὸς μοῦ δίνει νὰ φρονῶ χρήσιμα ὅσα νομίζει
καὶ μοῦ παρέχει δύναμη νὰ ἐνεργῶ ὅσα θέλει.
Ἂν ὅλα αὐτὰ πράξω λοιπόν, πιότερα θὰ μοῦ δῶσει
καὶ νὰ φρονῶ πιὸ τέλεια φιλάνθρωπα θὰ κάνει.
Ἀλλ' ἂν περιφρονήσω ἐγὼ ἔστω κι αὐτὰ τὰ λίγα,
ὅσων μοῦ ἔχει ἐμπιστευθεῖ δίκαια τὴ στέρησή τους
θὰ ὑποστῶ ἀπὸ τὸ Θεὸν ὁποὺ μοῦ τά 'χει δώσει
κι ἀνώφελο θὲ νὰ βρεθῶ κι ἄχρηστο ἐργαλεῖο,
τοῦ πλάστη ἀφοῦ δὲ θέλησα τὶς ἐντολὲς νὰ πράξω,
μὰ στὴν ἀμέλεια δόθηκα καὶ στὴν ἀδιαφορία
κι ἔχω γιὰ τοῦτο ἀπορριχτεῖ ἀπ' τοῦ Κυρίου τὰ χέρια·
μὲ τὴν ἀπείθεια μου σ' αὐτὸν καὶ τὴν ἀνυπακοή μου
ποὺ τοῦ 'δειξα ἔχω ἀποδιωχτεῖ ἀπ' τὴν Ἐδὲμ στ' ἀλήθεια
καὶ βρέθηκα μακριὰ ἀπ' τὸ Θεὸ κι ἀπ' τῶν ἁγίων τὰ χέρια.
Τὸ φίδι τὸ παμπόνηρο κειτάμενο σὰν μ' ηὗρε
στὴν ἀπραξία τῶν καλῶν νὰ 'μαι παραδομένος
στὴ διαφθορὰ μὲ βρόμισε δολίως μ' ἄτιμα ἔργα,
μὰ ἐγὼ ἔδειχνα νὰ εὐφραίνομαι μὲ τοῦτα καὶ νὰ χαίρω,
ἐνῶ νὰ θλίβομαι ἔπρεπε μὲ θρήνους καὶ μὲ δάκρυα

80. Γεν. 3,24.

*ὅτι πρὸς ἅπερ ἔκτισμαι ἐνεργεῖν, ἑκουσίως*
*ἀπέστην ὁ ταλαίπωρος, καὶ αὐτοπροαιρέτως*
*τοῖς παρὰ φύσιν ἅπασιν ἐμαυτὸν ἐξεδόμην,*
*χερσὶ βεβήλοις τοῦ ἐχθροῦ ἐμπεσὼν παναθλίως,*
*ὑφ' οὗπερ καὶ κρατούμενος καὶ κινούμενος ὅλως,*
*καὶ ἀντιστῆναι πρὸς αὐτὸν μὴ ἰσχύων, ὁ τάλας,*
*– πῶς γὰρ καὶ ἀντιστήσεσθαι εἶχον νεκρὸς ὑπάρχων; –*
*πάσης κακίας ὄργανον, πάσης παρανομίας*
*καὶ ἐργασίας πονηρᾶς δόκιμον ἐργαλεῖον*
*γέγονα, ὁ ταλαίπωρος, ἀπατηθεὶς δολίως·*
*κατέχων γάρ με τῇ χειρὶ καὶ δυνατῶς ἑλκύων*
*κοπραγωγοῖς ἐρρύπου με καὶ παντοίοις βορβόροις*
*καὶ δυσωδίαις με πικραῖς ἐνέβαλε καὶ τούτοις*
*ἐποίει ἐνευφραίνεσθαι, ὢ τῆς ἀναισθησίας!*
*Πρὸς ἁρπαγάς, πρὸς φθόνους τε, πρὸς θανάτους ἀδίκους,*
*πρὸς λοιδορίας, πρὸς ὀργάς, πρὸς πᾶν εἶδος κακίας,*
*ἵνα σοι εἴπω συνελών, ἐνεργοῦντά με εὗρε,*
*μᾶλλον δ' ἐχρήσατο αὐτὸς ἐμοῦ μὴ βουλομένου,*
*Ἀφ' οὗ γὰρ καὶ ἀπέρριψα ἐμαυτὸν ἑκουσίως*
*ἐκ τῆς χειρὸς τῆς τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων,*
*καὶ ἥρπασέ με ὁ δεινὸς ἄρχων καὶ ψυχοφθόρος*
*καὶ τῇ ἐκείνου με χειρὶ κατέσχε θέλοντός μου,*
*οὐκέτι τοῦ μὴ ἐνεργεῖν ἴσχυον τὰ ἐκείνου,*
*ἀλλὰ ἐν πᾶσι τοῖς αὐτοῦ θελήμασιν ἐνήργουν.*
*Οὐκ οἶδε γὰρ ἀντιλέγειν τὸ ξίφος τῷ κρατοῦντι,*
*ἀλλ' ὅπου ἂν καὶ βούληται, ὁ κρατῶν τούτῳ χρᾶται.*
*Ὁ οὖν ποιήσας με Θεὸς ἄνωθεν ἐπιβλέψας*
*καὶ τοῦ τυράννου τῇ χειρὶ κρατούμενον ἰδών με*
*ᾠκτείρησεν, ἀφήρπασε τῆς ἐκείνου χειρός με*
*καὶ πάλιν με εἰσήγαγεν εἰς παράδεισον θεῖον,*
*εἰς ἀμπελῶνα τὸν αὐτοῦ, εἰς γεωργῶν τε χεῖρας*
*παρέδωκεν ἁγίων με τοῦ ἐνεργεῖν τὰ θεῖα,*

---

113. Ψαλμ. 32,13. 117. Ματθ.20,1 ἑ.

γιατὶ ἀπ' αὐτὰ ποὺ πλάστηκα νὰ ἐνεργῶ, ὁ δόλιος,
ἑκούσια ἀπομακρύνθηκα μὲ θέληση δική μου
καὶ σ' ὅλα παραδόθηκα τῆς φύσης μου τὰ ἐνάντια,
στὰ χέρια πέφτοντας τοῦ ἐχθροῦ τὰ βέβηλα πανάθλια,
ποὺ μὲ κρατᾶ κι ἐδῶ κι ἐκεῖ μὲ σέρνει καὶ μὲ σπρώχνει
κι ὁ δύστυχος ν' ἀντισταθῶ τὴ δύναμη δὲν ἔχω
–καὶ πῶς νὰ τοῦ ἀντισταθῶ ἐγὼ νεκρὸς ὁποὺ 'μαι;–
Κάθε κακίας ὄργανο, κάθε παρανομίας,
κάθε ἐργασίας πονηρῆς πιτήδειο ἐργαλεῖο
ἔχω γινεῖ ὁ ταλαίπωρος ἀπατημένος δόλια.
Σφίγγοντας μὲ τὸ χέρι του καὶ δυνατὰ τραβώντας
μ' ἔριχνε σὲ κοπρόλακκους, μὲ βρόμιζε σὲ βούρκους,
σὲ δυσωδίες μ' ἔριχνε φριχτὲς κι ὅμως μὲ τοῦτα
νὰ εὐχαριστιέμαι μ' ἔκανε, ὢ ἀναίσθητος ὁποὺ ἤμουν!
Σὲ φθόνους καὶ σὲ ἁρπαγὲς μὰ κι ἄδικους θανάτους,
σὲ προσβολὲς καὶ σὲ θυμούς, σὲ κάθε εἶδος κακίας,
μ' ἕνα μου λόγο νὰ σοῦ πῶ, μὲ βρῆκε νὰ κινοῦμαι,
μᾶλλον αὐτὸς μὲ κίνησε χωρὶς ἐγὼ νὰ θέλω.
Γιατὶ ἀφοῦ ἀπόκοψα θέλοντας τὸν ἑαυτό μου
ἀπὸ τὸ χέρι τοῦ Θεοῦ καὶ τῶν ἁγίων τὸ χέρι
καὶ μ' ἅρπαξεν ὁ φοβερὸς κι ἄρχοντας ψυχοφθόρος
καὶ μὲ δική μου θέληση στὰ χέρια του μὲ πῆρε,
μοῦ 'λειψε τότε ἡ δύναμη τοὺς λόγους του ν' ἀρνιέμαι,
ἀλλὰ σὲ ὅλα ἔπραττα κατὰ τὸ θέλημά του.
Τὸ ξίφος πῶς ν' ἀντισταθεῖ σ' αὐτὸν ποὺ τὸ κρατάει,
ποὺ αὐτὸς τὸ χρησιμοποιεῖ ὅπου κι ἂν τὸ θελήσει;
Κι ὁ Θεὸς ποὺ μὲ πλάσε θωρώντας με ἀπ' τὰ οὐράνια
καὶ βλέποντας ὁ τύραννος στὸ χέρι του νὰ μ' ἔχει
τὴν εὐσπλαχνία του μοῦ 'δειξε καὶ μ' ἅρπαξε ἀπὸ ἐκεῖνον
καὶ πάλι στὸν παράδεισο μὲ γύρισε τὸ θεῖο,
μέσα στὸ ἀμπέλι τὸ ἴδιο του καὶ σὲ γεωργῶν ἁγίων
τὰ χέρια μὲ παρέδωσε, τὰ θεῖα γιὰ νὰ πράττω,

111. Ἀπὸ τὴν ὑποταγὴ στὸν 'δεινὸ ἄρχοντα', στὰ χέρια τοῦ ὁποίου ἔγινε τὸ ἐκτελεστικὸ ξίφος, τὸν ἀφήρπασε ὁ Θεὸς καὶ τὸν εἰσήγαγε πάλι στὸν παράδεισο.

*ἐργάζεσθαι τὰς ἀρετάς, τὰς ἐντολὰς φυλάσσειν*
*καὶ τῶν ἁγίων τῆς χειρὸς παρεκτὸς μὴ κινεῖσθαι,*
*ἵνα μὴ πάλιν με εὑρὼν ὁ κακίας ἐργάτης*
*ἔξω χειρὸς διάγοντα ἁγίας ἀφαρπάσῃ*
*καὶ τὰ αὐτοῦ με ἐνεργεῖν αὖθις παρασκευάσῃ.*
*οἱ καλοὶ οὖν με γεωργοὶ καὶ συμπαθεῖς λαβόντες*
*καὶ ταῖς χερσὶ ταῖς ἑαυτῶν ὅλον τὸ θέλημά μου*
*ἄραντες, ταπεινώσει με εὐθὺς καὶ μετανοίᾳ*
*ἐνεργεῖν τε ἐπέτρεψαν καὶ πενθεῖν ἀενάως.*
*Ταῦτα γάρ, εἶπόν μοι, τέκνον, τὰ τρία οἱ τηροῦντες*
*καὶ ἐπιμένοντες αὐτῶν τῇ καλῇ ἐργασίᾳ*
*συντόμως, ὡς οὐκ ἴσασιν, ἀνάγονται πρὸς δόξαν,*
*κάθαρσιν καὶ ἀπάθειαν καὶ θεωρίαν θείαν,*
*καὶ ταῖς χερσὶ τοῦ δυσμενοῦς ἁλίσκονται οὐδέπω,*
*ἀλλ' ἐκ Θεοῦ συγχώρησιν πάντων ἁμαρτημάτων,*
*σφαλμάτων πάντων τε ὁμοῦ λαμβάνουσι καὶ οὕτως*
*υἱοὶ Ὑψίστου γίνονται καὶ θεοὶ κατὰ χάριν*
*καὶ ἐργαλεῖα εὔχρηστα, πᾶν καλὸν ἐνεργοῦντα,*
*μᾶλλον δὲ θεῖοι γεωργοὶ ἄλλους καθοδηγοῦντες*
*πρὸς πράξεις ὄντως ἀγαθάς, πρὸς ἔργα σωτηρίας.*
*Τούτοις – πάντες ἀκούσατε! – πιστεύσας καὶ ποιήσας*
*καὶ ταῖς χερσὶ τῶν τοῦ Θεοῦ γεωργῶν τε καὶ δούλων*
*κατὰ τὴν πρόσταξιν αὐτοῦ ἐμαυτὸν ἐκδοὺς ὅλον,*
*ἀπαραλλάκτως ἐν ἐμοὶ πάντα ἐκβεβηκότα*
*εὗρηκα καὶ ἐθαύμασα καὶ τοῖς πᾶσι κραυγάζω,*
*μεγαλοφώνως ἐκβοῶν καὶ παραινῶν καὶ λέγων*
*– οὐδὲ γὰρ φέρω σιωπῇ ταῦτα καταχωννύειν–·*
*Δράμετε, ὅσοι τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων*
*ἑαυτοὺς ἐπαισθάνεσθε τῶν χειρῶν ὄντας ἔξω!*
*Σπεύσατε καὶ κολλήθητε τούτοις ἀδιασπάστως*
*πίστει ἀγάπῃ τε θερμῇ καὶ ὅλῃ προαιρέσει,*
*ῥίψατε ἅπαν φρόνημα καὶ θέλημα οἰκεῖον*

---

119. Γεν.2,15. 135. Ψαλμ.8 1,6.
124. Οἱ 'καλοὶ γεωργοί', οἱ καλλιεργητὲς τῆς ψυχῆς, οἱ πατέρες.

τὶς ἀρετὲς νὰ καλλιεργῶ, πιστὸς στὶς ἐντολές του·
κι ἀπ' τῶν ἁγίων παρεκεῖ τὰ χέρια νὰ μὴ βγαίνω,
νὰ μὴ μὲ βρεῖ ἄλλη μιὰ φορὰ ὁ ἐργάτης τῆς κακίας
ἔξω ἀπὸ χέρι σεβαστὸ νὰ ζῶ καὶ νὰ μ' ἀρπάξει
καὶ στὰ ἔργα του ἄλλη μιὰ φορὰ μὲ σύρει νὰ δουλεύω.
Καὶ νὰ οἱ καλοὶ γεωργοὶ λοιπὸν γεμάτοι ἀπὸ συμπόνια
μὲ πῆραν καὶ στὰ χέρια τους ὅλο τὸ θέλημα μου
σηκώνοντας μοῦ ὅρισαν νὰ πράττω ἔργο μετάνοιας
καὶ μὲ ταπείνωση νὰ ζῶ καὶ νὰ πενθῶ ὁλοένα.
Αὐτὰ τὰ τρία, μοῦ 'πανε, παιδί μου, ὅσοι φυλάγουν,
κι ὅσοι ἐπιμένουνε σ' αὐτὰ ἀσκώντας τα ὅπως πρέπει
γοργά, χωρὶς νὰ νιώσουν πῶς, ὑψώνονται στὴ δόξα,
στὴν κάθαρση κι ἀπάθεια καὶ στὴ θεωρία τὴ θεία.
Στὰ χέρια τοῦ ἀνελέητου ἐχθροῦ ποτὲ δὲν πέφτουν
μὰ ἀπ' τὸ Θεὸ συχώρεση τῶν ἁμαρτιῶν τους ὅλων
καὶ ὅλων τῶν σφαλμάτων τους μαζὶ παίρνουνε κι ἔτσι
γίνονται τοῦ Ὑψίστου γιοὶ καὶ θεοὶ κατὰ χάρη
καὶ ἐργαλεῖα εὔχρηστα τὰ ὠφέλιμα ποὺ πράττουν
ἢ κάλλιο θεῖοι γεωργοί, ὁποὺ ἄλλους ὁδηγοῦνε
σὲ πράξεις πράγματι ἀγαθὲς καὶ σ' ἔργα σωτηρίας.
Σ' αὐτά, καὶ ὅλοι ἀκοῦστε το, πίστεψα κι ἔχω πράξει
κι ἔχω στὰ χέρια τῶν γεωργῶν καὶ τοῦ Θεοῦ τῶν δούλων
κατὰ τὸ πρόσταγμα τοῦ Θεοῦ παραδοθεῖ ἀκέριος·
χωρὶς καμιὰ παραλλαγὴ νὰ βγαίνουν ὅσα μοῦ 'πε
διαπίστωσα καὶ θαύμασα καὶ διακηρύττω σ' ὅλους
καὶ βάζω δυνατὴ φωνὴ προτρέποντας καὶ λέγω
–πῶς νὰ κρατήσω ὅ,τι ἔγινε μὲς στὴ σιωπὴ κρυμμένο;–
Τρέξετε, ὅσοι ἀπ' τοῦ Θεοῦ κι ἀπ' τῶν ἁγίων του ὅσοι
τὸν ἑαυτὸ σας νιώθετε ἔξω ἀπ' τὰ χέρια νά 'ναι.
Τρέξετε ἀναπόσπαστα μαζί τους νὰ δεθεῖτε
μὲ πίστη κι ἀγάπη θερμὴ κι ὅλη τὴν προαίρεσή σας,
πετάξτε κάθε φρόνημα καὶ θέλημα δικό σας

131. Αὐτὲς εἶναι οἱ τρεῖς ἀρετὲς ποὺ πρέπει νὰ ἀσκοῦνται συνεχῶς ἀπὸ τοὺς μοναχούς.

καὶ ταῖς ἐκείνων γε χερσὶ τὰς ψυχὰς ὑμῶν δότε,
ὡς ἐργαλεῖα ἄψυχα, μηδὲν ἐκτὸς ἐκείνων
ποιοῦντες ἢ κινούμενοι ἢ ἐνεργοῦντες ὅλως!
Τὸ δὲ ἐκείνων φρόνημα ὑμέτερον γινέσθω,
ὡσαύτως καὶ τὸ θέλημα τὸ ἅγιον ἐκείνων,
ὡς ὂν τοῦ Θεοῦ θέλημα, παρ' ὑμῶν ἐκπληρούσθω
καὶ οὕτως σύντομον ὁδὸν ἀπρόσκοπόν τε ὅλως
ὁδεύσαντες γενήσεσθε φίλοι Θεοῦ Ὑψίστου,
καὶ βασιλείας οὐρανῶν ἀγαθῶν τε ἀφράστων
κληρονόμοι ὀφθήσεσθε ἐν ὀλίγαις ἡμέραις!
Ἅμα τῷ ἐπιβῆναι γὰρ τῆς ὁδοῦ τῆς εὐθείας
ἅπασι συναρίθμιοι γενήσεσθε ἁγίοις,
καὶ μακαρίους ἅπαντας ὑμᾶς ἀποτελέσει,
κἀμοῦ τοῦ ὑπὲρ ἅπαντας βροτοὺς ἡμαρτηκότος
καὶ ταύτην διοδεύσαντος τὴν ὁδὸν τὴν τραχεῖαν,
τὴν στενήν τε καὶ σύντομον καὶ ἀκίνδυνον οὖσαν,
πρὸς πλάτος τε ἀπάγουσαν ζωῆς τῆς αἰωνίου,
ὡς ὑποδείξαντος ὑμῖν ὑπερεύξασθε πάντες,
οἱ εὐπροθύμως ἐν αὐτῇ θελήσαντες βαδίσαι
καὶ κατὰ πόδας τοῦ Χριστοῦ θερμῶς ἀκολουθῆσαι,
ἵνα κἀγώ τε καὶ ὑμεῖς εὑρεθῶμεν ἐν ταύτῃ,
ἀμέμπτως πορευόμενοι ἄχρι τέλους τοῦ βίου,
ἀλλὰ καὶ ὅσοι τὸν Χριστὸν ἰδεῖν ἐπιποθοῦσιν,
ὅπως ὁμοῦ μετὰ χαρᾶς τὰ σώματα λιπόντες
πρὸς τὴν ἐκεῖ κατάπαυσιν, πρὸς πλάτος παραδείσου
χωρήσωμεν καὶ τῆς ζωῆς δειχθῶμεν κληρονόμοι
καὶ τοῦ Θεοῦ ἀχώριστοι καὶ πάντων τῶν ἁγίων
ἐν Χριστῷ τῷ μονογενεῖ Υἱῷ καὶ Θεῷ Λόγῳ
μετὰ τοῦ Θείου Πνεύματος, τῆς ἁγίας Τριάδος
ἐσόμεθα νῦν καὶ ἀεὶ καὶ εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

---

159–160. Ἰακ. 2,5. 166. Ματθ. 7,14.
173. Ρωμ. 1,11. 176. Τίτ. 3,7.

καὶ τὶς ψυχὲς ἀφῆστε τις στὰ χέρια τὰ δικά τους
σὰν τὰ ἐργαλεῖα τὰ ἄψυχα ποὺ τίποτα δὲν κάνουν
ἔξω ἀπ' τὰ χέρια οὔτε ἐνεργοῦν καθόλου οὔτε κινοῦνται.
Δικό σας κάντε φρόνημα ὅσα φρονοῦν ἐκεῖνοι,
ἐπίσης καὶ τὸ ἅγιο τὸ θέλημα ἐκείνων,
ποὺ θέλημα εἶναι τοῦ Θεοῦ, πράξτε κι ἐσεῖς ὥστ' ἔτσι
τὸ δρόμο ποὺ 'ναι σύντομος χωρὶς κανένα ἐμπόδιο
βαδίζοντας θὰ γίνετε φίλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου,
καὶ κληρονόμους θὰ σᾶς δοῦν μέσα σὲ λίγες μέρες
τῆς βασιλείας τῶν οὐρανῶν καὶ τοῦ ἄρρητού της πλούτου.
Γιατὶ μόλις πατήσετε τὸ δρόμο τὸν ὁλόισιο,
συνάριθμοι θὰ γίνετε μὲ τοὺς ἁγίους ὅλους
καὶ τρισμακάριους ὅλους σας ἀμέσως θὰ σᾶς κάνει.
Κι ἔλα, γιὰ μὲ ποὺ πιὸ πολὺ ἔχω ἁμαρτήσει ἀπ' ὅλους
κι ἔχω περάσει τὸν τραχὺ αὐτὸ δρόμο ἀπ' ἄκρη σ' ἄκρη,
πού' ναι στενὸς καὶ σύντομος καὶ κίνδυνο δὲν ἔχει
καὶ ποὺ ὁδηγεῖ στὴν πλατωσιὰ τῆς ζωῆς τῆς αἰωνίας,
κάντε θερμὲς εὐχὲς γιὰ μὲ ποὺ σᾶς τὸν ἔχω δείξει
καὶ πρόθυμα θελήσετε σ' αὐτὸν νὰ περπατῆστε
καὶ ν' ἀκολουθῆστε τὸ Χριστὸ κατόπιν του μὲ ζῆλο,
ὥστε κι ἐγὼ μαζὶ κι ἐσεῖς σ' ἐκεῖνον νὰ βρεθοῦμε
μέχρι τὸ τέλος τῆς ζωῆς ἄμεμπτα περπατώντας,
ἀλλὰ καὶ ὅσοι τὸ Χριστὸ ποθοῦν πολὺ νὰ δοῦνε,
ὥστε μαζὶ κι ἀφήνοντας χαρούμενοι τὸ σῶμα
νὰ ὁδεύσομε πρὸς τὴν ἐκεῖ ἀνάπαυση καὶ ἄπλα
τοῦ παραδείσου καὶ τῆς ζωῆς φανοῦμε κληρονόμοι,
ἀχώριστοι ἀπὸ τὸ Θεὸ κι ἀπ' ὅλους τοὺς ἁγίους
μὲ τὸ μονογενὴ τὸ Γιό, Χριστὸ καὶ Θεὸ Λόγο
καὶ μὲ τὸ θεῖο Πνεῦμα μαζί, τὴ μιὰν ἁγία Τριάδα
θὰ εἴμαστε τώρα καὶ πάντοτε καὶ σ' ὅλους τοὺς αἰῶνες.
Ἀμήν.

## ΝΕ'

### *Ὅτι τοῖς τὸ ἅγιον φυλάξασι βάπτισμα καθαρὸν παραμένει τὸ Πνεῦμα τὸ ἅγιον, ἀπὸ δὲ τῶν μολυνάντων αὐτὸ ἀπανίσταται.*

*Σύ με γινώσκεις, ὦ Χριστέ, πάσης παρανομίας*
*ἐργάτην, ἀλλὰ καὶ κακῶς ὄντως παντοίων σκεῦος·*
*ὅπερ οἶδα πάντως κἀγὼ καὶ πέπλησμαι αἰσχύνης,*
*καὶ ἐντροπῆς καὶ θλίψεως ὀδύνη με κατέχει,*
*καὶ πόνος ὁ ἀφόρητος κρατεῖ μου τὴν καρδίαν,*
*ἀλλὰ τὸ φῶς σου λάμψαν μοι μυστικῶς τοῦ προσώπου*
*τοὺς λογισμοὺς ἐδίωξε, ἀπήλειψε τὸν πόνον*
*καὶ χαρὰν ἀντεισήγαγε τῇ ταπεινῇ ψυχῇ μου.*
*Θέλω οὖν θλίβεσθαι, Χριστέ, καὶ θλῖψις οὐ κολλᾷ μοι,*
*καὶ θλίβομαι, μὴ διὰ ταύτην μᾶλλον*
*ἀπόλωμαι καὶ τῆς χαρᾶς στερηθῶ τῆς μελλούσης.*
*Ἀλλά με ταύτης, Δέσποτα, μηδέποτε στερήσῃς,*
*μὴ νῦν, μὴ ἐν τῷ μέλλοντι αἰῶνι, βασιλεῦ μου!*
*Χαρὰ γὰρ τοῦ προσώπου σου ἡ θεωρία ἔστιν,*
*οὐ γὰρ ὑπάρχεις ἀγαθὸν ἅπαν, Θεέ μου, μόνον,*
*ἀλλὰ καὶ τοῖς ὁρῶσί σε πᾶν ἀγαθὸν παρέχεις,*
*μετουσίᾳ μεθέξει τε ἐμπιπλᾷς, οὕσπερ βλέπεις,*
*οὐ μόνον ἐν τῷ μέλλοντι –φεῦ τοὺς τοῦτο λαλοῦντας!–,*
*ἀλλὰ καὶ νῦν ἐν σώματι τοὺς ὄντας σου ἀξίους,*
*ἤγουν καθάραντας αὐτοὺς διὰ τῆς μετανοίας*
*ὁρᾷς, ὁρᾶν σε δὲ τρανῶς κἀκείνοις ἐμπαρέχεις*
*οὐδαμῶς ἐν φαντάσματι ἢ νοὸς ἐνθυμήσει,*

---

6. Ψαλμ. 4,7.

9. Ἡ θλίψη γιὰ τὴν ἀπουσία τῆς θλίψης ποὺ μπορεῖ νὰ ἔχει ὀλέθριες συνέπειες.

## 55

**Ὅτι τὸ ἅγιο Πνεῦμα παραμένει σ' ὅσους φύλαξαν καθαρὸ τὸ ἅγιο βάπτισμα, ἀναχωρεῖ ὅμως ἀπὸ ὅσους τὸ μόλυναν.**

Γνωρίζεις πῶς εἶμαι, Χριστέ, κάθε κακίας ἐργάτης,
μὰ καὶ δοχεῖο ἀληθινὰ κάθε λογῆς κακίας,
πράγμα κι ἐγὼ ποὺ δὲν ἀγνοῶ κι εἶμαι ντροπὴ γεμάτος
καὶ μὲ κατέχει τῆς ντροπῆς ὀδύνη καὶ τῆς θλίψης
καὶ πόνος ἀνυπόφορος μοῦ σφίγγει τὴν καρδιά μου.
Μὰ τοῦ προσώπου σου τὸ φῶς κρυφὰ σὰν ἔχει λάμψει
τοὺς λογισμοὺς ἀπόδιωξε καὶ μοῦ 'σβησε τὸν πόνο,
πῆρε τὴ θέση του ἡ χαρὰ στὴν ταπεινὴ ψυχή μου.
Τὴ θλίψη ἀναζητῶ, Χριστέ, μὰ ἡ θλίψη μ' ἀποφεύγει,
καὶ θλίβομαι πολὺ μήπως ἐξαιτίας της μάλλον
πάω τοῦ χαμοῦ καὶ στερηθῶ τὴ μέλλουσα χαρά μου.
Ἀλλὰ ἀπὸ τούτη, Δέσποτα, ποτὲ μὴ μὲ στερήσεις,
τώρα καὶ στὸ μελλοντικὸν αἰώνα, βασιλιά μου.
Χαρά μου τοῦ προσώπου σου εἶναι ἡ θεωρία,
γιατὶ δὲν εἶσαι τ' ἀγαθὸ τὸ ὅλο, Θεέ μου, μόνο,
ἀλλὰ καὶ σ' ὅσους σὲ θεωροῦν κάθε ἀγαθὸ παρέχεις
μὲ μετουσία καὶ μέθεξη γεμίζεις ὅσους βλέπεις,
ὄχι μόνο μελλοντικὰ –ἀλὶ σ' ὁποιους τὸ λένε–,
ἀλλὰ καὶ τώρα ἐνσώματα σ' ἐκείνους ποὺ ἄξιοί σου εἶναι,
ἀφοῦ μὲ τὴ μετάνοιά τους καθαίρουν τὸν ἑαυτό τους
σὲ βλέπουν καὶ νὰ σὲ θωροῦν καθάρια καὶ σ' ἐκείνους
δίνεις, ὄχι φανταστικὰ ἢ μὲ τοῦ νοῦ μιὰ σκέψη

21. Ἡ κάθαρση μὲ τὴ μετάνοια κάνει τὶς καθαρμένους νὰ βλέπουν τὸ Θεὸ ὄχι μὲ ψιλὴ σκέψη, ἀλλὰ πραγματικά. Αὐτὸ τὸ δεύτερο εἶναι κάτι στὸ ὁποῖο συχνὰ ἀναφέρεται.

*ἀλλ' οὐδὲ μνήμῃ τῇ ψιλῇ, ὥς τινες αὖ νοοῦσιν,*
*ἀλλ' ἀληθείᾳ πράγματος θείου καὶ φρικτοῦ ἔργου,*
*εἰς ἀποπλήρωσιν ὄντως οἰκονομίας θείας·*
*τηνικαῦτα γὰρ ἕνωσιν ποιεῖς τῶν διεστώτων*
*σὺ ὁ Θεός, ἁμαρτωλῶν πάντων ὢν σωτηρία.*
*Οἱ γὰρ τὸ βάπτισμα τὸ σὸν λαβόντες ἐκ νηπίων*
*καὶ ἀναξίως ζήσαντες τούτου κατὰ τὸν βίον*
*ἕξουσι τὸ κατάκριμα πλεῖον τῶν ἀβαπτίστων,*
*ὡς εἶπας, ἐνυβρίσαντες στολήν σου τὴν ἁγίαν·*
*καὶ τοῦτο, Σῶτερ, βέβαιον καὶ ἀληθὲς γινώσκων,*
*δέδωκας τὴν μετάνοιαν εἰς κάθαρσιν δευτέραν*
*καὶ ὅρον ταύτης τέθηκας τοῦ Πνεύματος τὴν χάριν,*
*ἥνπερ ἐν τῷ βαπτίσματι ἐλάβομεν τὸ πρῶτον·*
*καὶ γὰρ οὐ μόνον ὕδατι τὴν χάριν εἶπας εἶναι,*
*ἀλλὰ καὶ μᾶλλον Πνεύματι Τριάδος ἐπικλήσει.*
*Ἐπεὶ οὖν βεβαπτίσμεθα παῖδες ἀναισθητοῦντες,*
*ὡς ἀτελεῖς καὶ ἀτελῶς δεχόμεθα τὴν χάριν,*
*τῆς πρώτης παραβάσεως λαμβάνοντες τὴν λύσιν·*
*καὶ τούτου μόνου, ὡς δοκῶ, ἕνεκα καὶ τελεῖσθαι*
*προσέταξας, ὦ Δέσποτα, λουτρὸν τοῦτο τὸ θεῖον,*
*ὅπερ οἱ βαπτιζόμενοι ἐντὸς τοῦ ἀμπελῶνος*
*εἰσέρχονται λυτρούμενοι τοῦ σκότους καὶ τοῦ ᾅδου,*
*καὶ τοῦ θανάτου καὶ φθορᾶς ὅλως ἐλευθεροῦνται,*
*– ὁ ἀμπελὼν παράδεισος νοεῖταί μοι καὶ ἔστιν –,*
*ἐξ οὗπερ ἐκπεπτώκαμεν πάλιν ἀνακληθέντες·*
*καὶ ὥσπερ τότε ὁ Ἀδὰμ ἦν πρὸ τῆς ἁμαρτίας,*
*οὕτω καὶ πάντες γίνονται οἱ γνώσει βαπτισθέντες*
*πλὴν τῶν οὐ λαβόντων αἴσθησιν νοερὰν ἀναισθήτως,*
*ἥνπερ ποιεῖ ἐρχόμενον ἐνεργείᾳ τὸ Πνεῦμα.*
*Ὁμοίως καὶ τὰς ἐντολὰς ἐργάζεσθαι οἱ πάντες,*
*ὡς ὁ Ἀδάμ, ἐλάβομεν καὶ φυλάσσειν ὡσαύτως*

---

27. Α' Τιμ.1,15. 31. Ἑβρ. 10,29. 36. Βλ. Ματθ. 3,11.
43. Ματθ. 20,1 ἑ. 52. Ματθ. 28,20. Γεν. 2,15.

κι οὔτε μὲ κούφια θέληση ὡς μερικοὶ νομίζουν,
ἀλλὰ σὰν πράγμα ἀληθινὸ κι ἔργο φριχτὸ καὶ θεῖο
στ' ἀλήθεια νὰ ὁλοκληρωθεῖ ἡ θεία οἰκονομία.
Τότε εἶναι τὴν ἕνωση ποὺ κάνεις τῶν διεστώτων
ἐσύ, ὅλων τῶν ἁμαρτωλῶν ἡ σωτηρία, Θεέ μου.
Γιατὶ ὅσοι ἀπὸ νήπια τὸ βάφτισμά σου ἐπῆραν
κι ἀνάξια ἐζῆσανε γι' αὐτὸ στὸ μάκρος τῆς ζωῆς τους,
πιότερη ἀπ' τοὺς ἀβάπτιστους κατάκριση θὲ νά 'χουν,
ὡς εἶπες, γιατὶ πρόσβαλαν τὴν ἅγια τὴ στολή σου·
καὶ τοῦτο ξέροντας σωστό, Σωτῆρα μου, καὶ βέβαιο
μᾶς ἔδωσες γιὰ δεύτερη κάθαρση τὴ μετάνοια,
ἀλλ' ἔβαλες σὰν ὅρο της τοῦ Πνεύματος τὴ χάρη,
τὴ χάρη ποὺ στὸ βάπτισμα εἴχαμε πρωτοπάρει.
Γιατὶ ὄχι μόνο μὲ νερὸ ἔρχεται ἡ χάρη, ὡς εἶπες,
μὰ μὲ τὸ Πνεῦμα πιὸ πολὺ κι ἐπίκληση τῆς Τριάδας.
Κι ἀφοῦ ἔχομε βαφτιστεῖ σὰ νήπια ποὺ δὲ νιώθουν
σὰν ἀτελεῖς δεχόμαστε τὴ χάρη ὄχι τέλεια,
παίρνοντας τῆς παράβασης τὴν ἄφεση τῆς πρώτης·
κι ἔχω τὴ γνώμη πὼς γι' αὐτὸ καὶ μόνο ἔχεις ὁρίσει,
Δέσποτα, τοῦτο τὸ λουτρὸ τὸ θεῖο νὰ τελεῖται,
αὐτὸ ποὺ ὅσοι τὸ δέχονται μέσα στὸ θεῖο ἀμπέλι
εἰσέρχονται, ἀφοῦ λυτρωθοῦν ἀπ' τὸ σκοτάδι τοῦ ἅδη
κι ἀπ' τοῦ θανάτου τὴ φθορὰ τὴ λευτεριά τους βρίσκουν·
– τὸ ἀμπέλι ἐγὼ ὡς παράδεισο καὶ τὸ λογιάζω καὶ εἶναι,
ὁποὺ ἐξεπέσαμε ἀπ' αὐτὸν καὶ καλούμαστε πάλι –.
Καὶ ὅπως ἦταν τότ' ὁ Ἀδὰμ πρὶν ἀπ' τὴν ἁμαρτία,
γίνονται ὅσοι βαφτίζονται γνωρίζοντας πιὰ τώρα,
πλὴν ὅσοι μόνο ἀναίσθητοι νοερὴ αἴσθηση δὲν πῆραν,
ποὺ μὲ τὴ χάρη του ἐνεργεῖ σὰν ἔρθει τ' ἅγιο Πνεῦμα.
Παρόμοια καὶ τὶς ἐντολὲς νὰ ἐργαζόμαστε ὅλοι
τὶς λάβαμε ὅπως ὁ Ἀδὰμ κι ὅμοια νὰ τὶς τηροῦμε

53. Ὁ Συμεὼν ἔχει δημιουργήσει ἕνα κόσμο καὶ μέσα σ' αὐτὸν ζεῖ ἀδιάλειπτα καὶ σ' αὐτὸν ἀναφέρεται συνεχῶς.

*ἐν Πνεύματι πνευματικὸν νόμον οὔσας καὶ θεῖον,*
*ἐν σώματι σωματικῶς τελούμενον ἐν πράξει.*
*Διπλοῦς γὰρ ὢν ὁ ἄνθρωπος διπλοῦ δέεται νόμου·*
*οὗ γὰρ καὶ ἀμελήσειεν, ἐκπίπτει καὶ τοῦ ἄλλου.*
*Ψυχὴ γὰρ μόνη τὰ καλὰ ἐνεργεῖν οὐκ ἰσχύει*
*ἔργα, τὸ σῶμα πρᾶσσον δὲ δίχα γνώσεως θείας*
*ὡς βοῦς κάμνων λογίζεται ἢ ἀχθοφόρον ζῶον.*
*Οἱ οὖν ἐν ἀμπελῶνί σου εἴτ' οὖν ἐν παραδείσῳ*
*διὰ βαπτίσαμτος τοῦ σοῦ ἀνακληθέντες ἅμα*
*καὶ ὅλως ἀναμάρτητοι ἢ καὶ ἡγιασμένοι*
*εἰσελθόντες, ἐγένοντο ὥσπερ Ἀδὰμ ὁ πρῶτος·*
*εἶτα προσαμελήσαντες τοσαύτης σωτηρίας*
*καὶ τηλικαύτης σου, Χριστέ, ἀφάτου προμηθείας*
*χείρονα ὑπὲρ τὸν Ἀδὰμ ἔργα πεποιηκότες,*
*καταφρονήσαντες ὁμοῦ καὶ σῆς φιλανθρωπίας,*
*μὴ ἔργον λογισάμενοι φρικτῆς οἰκονομίας*
*τὸ λουτρὸν τοῦ βαπτίσματος ἐν Πνεύματι ἁγίῳ.*
*Ἀρά γε, ὥσπερ οἴονται οἱ πολλοὶ τῶν ἀνθρώπων,*
*καταληφθῶσιν ἔνδοθεν εἶναι καὶ ἁμαρτάνειν,*
*καὶ ἐαθῶσιν ἅγιοι πάλιν οἱ μολυνθέντες*
*καὶ τὸν χιτῶνά σου κακῶς σπιλώσαντες, Σωτήρ μου*
*καὶ τούτων ἔνδοθεν οἰκεῖν τῆς ῥυπαρᾶς καρδίας*
*ὁ καθαρός, ὁ ἅγιος κἂν ποσῶς καταδέξῃ; –*
*Ἄπαγε, εἶπεν ὁ Θεός, μή μοι γένοιτο, τέκνον!*
*Οἶδας γάρ, ὡς βεβάπτισαι καὶ σύ, ἀλλ' ἐμολύνθης*
*καὶ ὡς παιδίον ἥμαρτες, ὡς ἄφρων ἐπλανήθης,*
*καὶ οἶδας, πόσα ἔκλαυσας, πόσα δὲ συνετρίβης,*
*πῶς τε τὸν κόσμον ἅπαντα ἀπηρνήσω καὶ μόλις*
*δυσωπηθεὶς ταῖς προσευχαῖς Συμεών, τοῦ πατρός σου,*
*ἀρχῆθεν μόνῳ τῷ νοΐ, ἐν νοερᾷ αἰσθήσει,*
*φωνῆς τε κατηξίωσα, ἔπειτα καὶ ἀκτῖνος*

---

65. Ἑβρ. 2,3. 70. Τιτ. 3,5.
73. Ἀποκ. 3,4. 74. Ἰούδα 23

πνευματικά, πνευματικὸς καὶ θεῖος ἀφοῦ εἶναι νόμος,
σωματικά, ἀφοῦ γίνεται σωματικὰ στὴν πράξη.
Διπλὸς ἀφοῦ εἶναι ὁ ἄνθρωπος, διπλὸ ἔχει ἀνάγκη νόμο,
κι ἂν ἀμελεῖ ἕνα ἀπ' τοὺς δυό, ξεφεύγει κι ἀπ' τὸν ἄλλο.
Μόνη της δὲν μπορεῖ ἡ ψυχὴ ἔργα καλὰ νὰ κάνει,
μὰ κι ἕνα σῶμα ποὺ ἐνεργεῖ χωρὶς τὴ θεία γνώση
σὰ βόδι εἶναι καματερὸ εἴτε ζῶο ποὺ φορτώνουν.
Ὅποιους λοιπὸν στ' ἀμπέλι σου ἢ στὸν παράδεισό σου
μὲ τ' ἅγιο σου τὸ βάπτισμα ξανακάλεσες πάλι
κι ὁλότελα ἀναμάρτητοι ἢ κι ἔχοντας ἁγιάσει
ἐμπῆκαν, ὅπως ὁ Ἀδὰμ ὁ πρῶτος ἔχουν γίνει·
ἔπειτα παραμέλησαν μιὰ τέτοια σωτηρία
καὶ τόση ἀπέραντη, Χριστέ, κι ἄφατη πρόνοιά σου
κι ἔχοντας ἀπὸ τὸν Ἀδὰμ χειρότερα ἔργα πράξει
καὶ τὴ φιλανθρωπία σου μαζὶ καταφρονώντας
μέτρο δὲν ἐλογάριασαν φριχτῆς οἰκονομίας
στ' ὄνομα τοῦ ἅγιου Πνεύματος τὸ βάπτισμα τὸ θεῖο.
Ἄραγε ὅπως νομίζουνε ὁ πιὸ πολὺς ὁ κόσμος
θὰ δεῖς μὲς στὸν παράδεισο νὰ 'ναι καὶ ν' ἁμαρτάνουν
καὶ θ' ἀφεθοῦν πάλι ἅγιοι νά 'ναι ὅσοι μολυνθῆκαν
καὶ σπίλωσαν, Σωτῆρα μου, τὸ ἄσπρο σου χιτώνα;
Καὶ μὲς στὴ βρόμικη καρδιὰ τούτην νὰ κατοικήσεις
μιὰ στιγμὴ μόνο θὰ δεχτεῖς ὁ καθαρὸς κι ὁ ἅγιος;
– Ποτέ, ἀπάντησε ὁ Θεός, μὴ γένοιτο, παιδί μου.
Ξέρεις ὅτι βαφτίστηκες καὶ ἐσὺ μολύνθης ὅμως
καὶ ἁμάρτησες καθὼς παιδί, σὰν ἄμυαλος πλανήθης,
τὰ κλάματά σου δὲν ξεχνᾶς οὔτε τὴ συντριβή σου,
τὸν κόσμο πῶς ἀρνήθηκες ὅλον καὶ τοῦ πατρός σου
τοῦ Συμεὼν τὶς προσευχὲς μόλις ὑποχωρώντας
μόνο στὸ νοῦ σου στὴν ἀρχὴ καὶ στὴ νοερὴ αἴσθησή σου,
σ' ἔκανα ἄξιο τῆς φωνῆς κι ἔπειτα μιᾶς ἀκτίνας

---

82. Δέχτηκε τὴν ἀγάπη τοῦ Θεοῦ ἔπειτα ἀπὸ πολλὰ κλάματα καὶ συντριβὴ τοῦ ἰδίου καὶ ταπείνωση μὲ τὶς προσευχὲς τοῦ γέροντά του Συμεών.

*καὶ μετὰ τοῦτο αἴγλη σοι ἐφάνην φιλανθρώπως.*
*Εἶτα νεφέλη γέγονα μικρὰ πυρὸς ἐν εἴδει,*
*τῇ κεφαλῇ σου ἄνωθεν ἐπικαθεζομένη,*
*καὶ θεωρία μόνην σοι τοῦ εἴδους παρειχόμην,*
*καὶ τῇ ἐκπλήξει δάκρυα σὺν πολλῇ κατανύξει,*
*φλέγων τὸ πάχος τῆς σαρκός, τῆς κεφαλῆς τὸν ζόφον,*
*ὡς καὶ καέντος ἐν πυρὶ ὀσμὴν γενέσθαι τούτων*
*κρέατος ἐξ αὐτῆς γενομένην, ὡς οἶδας.*
*Τὰ μετὰ ταῦτα δὲ κακὰ καὶ τὴν στενοχωρίαν,*
*ὅσην τότε ὑπέμεινας, σὺ πάντως ἐπελάθου.*
*Ἀλλ' οὖν ἐγὼ ἐπίσταμαι, ὁ εἰδὼς Θεὸς πάντα,*
*τὴν πίστιν, τὴν ταπείνωσιν τὴν εἰς τὸν σὸν πατέρα*
*καὶ τοῦ θελήματος τοῦ σοῦ τὴν ἄρνησιν εἰς ἅπαν,*
*ὅπερ μαρτύριον ἐμοὶ λογίζεται καὶ ἔστιν.*
*Ὁ γὰρ μὴ ἔχων θέλημα ἴδιον πάντως θνῄσκει,*
*ἐν τῷ ἐμῷ δ' εὑρίσκεται θελήματι καὶ ζῇ γάρ.*
*Μόλις οὖν οὕτως ὄντος σοῦ κἀκείνου καθ' ἑκάστην*
*βιάζοντος τοῖς δάκρυσι τὸν ἀγαθόν με φύσει,*
*συχνότερόν σοι φαίνεσθαι ἠρξάμην, ὥσπερ οἶδας,*
*κατὰ μικρόν σου τὴν ψυχὴν καθαίρων μετανοίᾳ*
*καὶ καταφλέγων τῶν παθῶν ἀποκειμένας ὕλας,*
*οὐ σαρκικάς, οὐχ ὑλικάς, ἀλλ' ἀΰλους ἀκάνθας,*
*ὡς νέφη, ζόφον ὡς παχύν, ὀμίχλην τε καὶ σκότος,*
*νηστείᾳ λεπτυνθέντος σου δηλαδὴ καὶ τοῖς πόνοις*
*τῆς ἀγρυπνίας, τῆς εὐχῆς, πάσης κακοπαθείας*
*καὶ ἀενάως δάκρυσι θερμοῖς ἐκπλυνομένου*
*ἐν τῇ εὐχῇ, ἐν τῇ τροφῇ, ἐν τῷ ποτῷ δὲ μᾶλλον,*
*καὶ μόλις σε χωρητικὸν ἀπειργασάμην σκεῦος,*
*οὐ μόνον δὲ χωρητικόν, ἀλλὰ κεκαθαρμένον,*
*πυρὸς ἐν μέσῳ μένειν τε ἀκατάφλεκτον πρόσεχε!*
*Τοιοῦτον οὖν ποιήσας σε, ὅπερ ἑώρας τότε*
*περιπετόμενον ἐν σοὶ φῶς καὶ περικυκλοῦν σε*

κι ἀργότερα σοῦ φάνηκα φιλάνθρωπα σὰν λάμψη.
Νεφέλη φάνηκα ἔπειτα μικρὴ ποὺ φωτιᾶς ὄψη
ἔδειχνε καὶ σταμάτησε στὴν κεφαλή σου ἐπάνω
καὶ νὰ κοιτάζεις τ' ὅραμα ἄφηνα ἐσένα μόνο
μὲ δάκρυα καὶ μ' ἔκπληξη, κατάνυξη μεγάλη,
τὸ πάχος καίοντας τῆς σαρκός, τῆς κεφαλῆς τὸ σκότος,
ὥστε σὰ νὰ 'χαν στὴ φωτιὰ καεῖ μυρωδιὰ βγάζανε
κρέατος ποὺ ἀπ' τὴ σάρκα σου ἀνάδινε, ὅπως ξέρεις.
Ὅσα κακὰ ἀκολούθησαν καὶ ὅση στενοχώρια
ἐσὺ τότε τὰ ὑπόμεινες, τὰ ξέχασες ὡστόσο.
Μὰ τὰ γνωρίζω ἐγὼ καλά, Θεὸς ποὺ τὰ πάντα ξέρω,
πῶς στὸν Πατέρα εἶσαι πιστὸς κι ὅση ταπείνωση ἔχεις
καὶ πόσο τέλεια ἀρνήθηκες τὸ ἴδιο τὸ θέλημά σου,
ποὺ ἀπόδειξη ἐγὼ τὴ θωρῶ καὶ ποὺ ἀπόδειξη εἶναι.
Ὅποιος δὲν ἔχει θέλημα δικό του ναί, πεθαίνει,
μὰ βρίσκεται στὸ θέλημα τὸ ἴδιο τὸ δικό μου
καὶ ζεῖ. Μοχθοῦσες ἔτσι τόσο ἐσὺ κι ἐκεῖνος κάθε μέρα
βιάζοντας μὲ τὰ δάκρυα του τὸν ἀγαθὸν ἐμένα,
ἄρχισα νὰ σοῦ φαίνομαι συχνότερα, ὅπως ξέρεις,
μὲ τὴ μετάνοια κι ἀργὰ ἀργὰ νὰ πλένω τὴν ψυχή σου
καὶ νὰ σοῦ φλέγω τῶν παθῶν τὰ ξύλα ποὺ κειτόνταν,
σαρκικὰ ὄχι οὔτε ὑλικά, ἀλλὰ τ' ἄυλα ἀγκάθια,
σὰ νέφη, σὰ ζόφο πυκνόν, ὁμίχλη καὶ σκοτάδι,
ἀφοῦ ἡ νηστεία σὲ λέπτυνε, μαζὶ μ' αὐτὴν κι οἱ κόποι
τῆς ἀγρυπνίας, τῆς προσευχῆς κι ὅλης τῆς κακοπάθειας
καὶ σ' ἔπλυναν ἀδιάκοπα τὰ δάκρυα τὰ θερμά σου
στὴν προσευχή, στὸ φαγητὸ καὶ στὸ ποτό σου ἀκόμα.
Μὲ κόπο σκεῦος σ' ἔκανα ποὺ νά' χει κάποιον ὄγκο,
ὄγκο ποὺ νὰ χωρεῖ ἀρκετὰ μὰ καὶ καθάριο νά 'ναι,
πρόσεχε ἐσὺ μὲς στὴ φωτιὰ ἀπείραχτο νὰ μείνει.
Τέτοιον σὲ φιλοτέχνησα κι αὐτὸ ποὺ ἔβλεπες τότε
νὰ φτερουγάει γύρω σου φῶς περικυκλώνοντάς σε

86. Γ΄ Βασ. 18,44.

*εἰσῆλθεν ὅλον ἐντός σου ἀπρόσιτον ὂν φύσει*
*καὶ τὴν καλὴν ἀλλοίωσιν ξένως ἠλλοίωσέ σε.*
*Τοῦτο οὖν, εἰ μὴ ἅπασιν ἔργοις με θεραπεύεις,*
*ἀλλὰ μικρὸν εἰσδέξῃ λογισμὸν ἐν καρδίᾳ*
*ἢ ἀηδίαν πρός τινα εὐλόγως ἢ ἀλόγως,*
*πρὸς δὲ καὶ λόγου προσβολὴν ἢ πονηρᾶς ἐννοίας*
*εἰ μὴ μετανοήσειας θερμῶς μετὰ δακρύων*
*καὶ ἐξορίσεις ἀπὸ σοῦ ταῦτα τῇ μετανοίᾳ,*
*ἀλλὰ καὶ πᾶσαν πονηρὰν ἐνθύμησιν καρδίας,*
*οὐ παραμένειν πέφυκε· Πνεῦμα γάρ ἐστι Θεῖον,*
*ἐμοὶ συνὸν καὶ τῷ Πατρὶ ὡς ὁμοούσιόν μοι,*
*λάθρα δ' αἴφνης ἀφίπταται, ὡς ἥλιος εἰσδύσας,*
*καὶ κρυβηθὲν ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ οὐχ ὁρᾶται.*
*Πῶς οὖν ὑπάρξει ἐν ψυχῇ μηδ' ὅλως καθαρθείσῃ,*
*μὴ εἰς συναίσθησίν ποτε ἐλθούσῃ μετανοίας;*
*Ἢ πῶς καὶ ὑπενέγκοιτο πυρὸς ἀστέκτου φύσιν*
*ἀκάνθας γέμουσα παθῶν ψυχὴ καὶ ἁμαρτίας,*
*οὐσίαν πῶς χωρήσειεν ἀχώρητον εἰς ἅπαν,*
*πῶς σκότος οὖσα συγκραθῇ φωτὶ τῷ ἀπροσίτῳ*
*καὶ μὴ ἀφανισθήσεται αὐτοῦ τῇ παρουσίᾳ;*
*Οὐκ ἔστι, τέκνον, οὐδαμῶς δυνατὸν ὅλως τοῦτο!*
*Ἐγὼ κτισμάτων πάντων γάρ εἰμι κεχωρισμένος·*
*ἐπεὶ δὲ κτίσμα γέγονα, τῶν ἁπάντων ὁ κτίστης,*
*σαρκὶ καὶ μόνον ὅμοιος ὑπῆρξα τοῖς ἀνθρώποις,*
*ψυχὴν ἀναλαβόμενος καὶ νοῦν ὁμοίως τούτοις.*
*Οὐδὲ γὰρ πάντας ἐν ταὐτῷ τότε θεοὺς ἀνθρώπους*
*πεποίηκα, ἀλλ' ἄνθρωπος ἐγενόμην ἐγὼ μέν·*
*τῇ πίστει δὲ καὶ τῶν ἐμῶν ἐντολῶν τῇ τηρήσει,*
*ἀλλὰ καὶ τῷ βαπτίσματι, ἐν θείᾳ μεταλήψει*
*τῶν φρικτῶν μυστηρίων μου πᾶσι ζωὴν δωροῦμαι.*
*Ζωὴν δ' εἰπὼν ἐδήλωσα τὸ Πνεῦμά μου τὸ Θεῖον·*

---

144. Α' Κορ. 7,19.
146. Ἰω. 17,2.

μέσα σου σὲ πλημμύρισε ἀπρόσιτο κι ἂς εἶναι
καὶ τὴν 'καλὴν ἀλλοίωση' σ' ἔκανε νὰ ὑπομείνεις.
Αὐτὸ λοιπόν, ἂν μ' ὅλα σου τὰ ἔργα δὲ μὲ τιμήσεις,
ἀλλὰ ἔστω λογισμὸ μικρὸ δεχτεῖς μὲς στὴν καρδιά σου,
ἢ ἀντιπάθεια δίκαιη εἴτε ἄδικη γιὰ κάποιον,
ἢ πεῖς λόγο ἕνα πονηρὸν ἢ ἄνομη κάνεις σκέψη,
ἐὰν μὲ κλάματα θερμὰ πικρὰ δὲ μετανοιώσεις
κι αὐτὰ μὲ τὴ μετάνοιά σου ἀπὸ σένα δὲν τὰ διώξεις,
ἀλλὰ καὶ κάθε λογισμὸ πονηρὸ τῆς καρδιᾶς σου,
δὲν παραμένει αὐτὸ ποτέ· γιατί 'ναι Πνεῦμα θεῖο
μ' ἐμὲ καὶ τὸν Πατέρα μου σὰν ὁμοούσιό μου,
μὰ ξάφνου φεύγει μυστικά, ἥλιος ποὺ βασιλεύει,
ἐκρύφτη σὲ ριπὴ ὀφθαλμοῦ καὶ δὲν τὸ βλέπει οὔτ' ἕνας.
Καὶ πῶς νὰ ὑπάρξει σὲ ψυχὴ ποὺ κάθαρση δὲν εἶδε
καὶ σὲ συναίσθηση ποτὲ δὲν ἔφτασε μετάνοιας;
Καὶ τὴν ἀκάθεκτην ὁρμὴ πῶς τῆς φωτιᾶς ν' ἀντέξει
ψυχὴ ἀπ' ἀγκάθια ἁμαρτιῶν, μὰ καὶ παθῶν γεμάτη;
Πῶς θὰ χωρέσει ὁλότελα ἀχώρητην οὐσία,
σκοτάδι ἀφοῦ εἶναι πῶς μὲ φῶς ἀπρόσιτο θὰ σμίξει
κι ἡ παρουσία τοῦ φωτὸς νὰ μὴν τὴν ἀφανίσει;
Καὶ βέβαια εἶναι ἀδύνατον ὁλότελα, παιδί μου!
Ἀπ' ὅλα ἐγὼ τὰ κτίσματα βρίσκομαι ξεκομμένος
κι ὁπόταν κτίσμα ὁ πλαστουργὸς τῶν ὅλων ἔχω γίνει
μόνο στὴ σάρκα βρέθηκα μὲ τοὺς ἀνθρώπους ὅμοιος,
παίρνοντας ὅμοια τους ψυχὴ καὶ νοῦ μὲ τούτων ὅμοιο.
Οὔτε ἔκανα θεοὺς μὲ μιὰ τότε ὅλους τοὺς ἀνθρώπους,
προτίμησα ἄνθρωπος ἐγὼ νὰ γίνω κι ἔχω γίνει·
κι ὅποιος πιστεύει καὶ τηρεῖ τὶς ἐντολὲς ποὺ δίνω,
ἀλλὰ καὶ μὲ τὸ βάπτισμα, καὶ μὲ τὴν κοινωνία
τῶν μυστηρίων μου τῶν φρικτῶν σ' ὅλους ζωὴ χαρίζω
καὶ ζωὴν ὡς εἶπα δήλωσα τὸ θεῖο μου τὸ Πνεῦμα.

---

133. Οἱ ὕμνοι εἶναι κατάσπαρτοι ἀπὸ ψήγματα τῆς Γραφῆς σὲ κάθε φράση καὶ λέξη. Ἐδῶ 'αἱ ἄκανθαι' ἀπὸ τὸ Ματθ. 13,7.

*πλὴν τοῦτο γινωσκέτωσαν, καθὼς εἶπεν ὁ Παῦλος,*
*οἱ ἔχοντες τὸ Πνεῦμά μου ἐν ταῖς αὐτῶν καρδίαις,*
*λάμπον καὶ κράζον ἔχουσι πρὸς τὸν ἐμὸν Πατέρα,*
*καὶ πρός με λέγει δι' αὐτῶν· Ὦ ἀββά, ὁ πατήρ μου!*
*Ὡς τέκνα γὰρ γεγόνασι Θεοῦ καὶ παρρησίᾳ*
*γνωρίζοντές με βλέπουσι καὶ Πατέρα καλοῦσι·*
*λέγει δὲ καὶ πρὸς ἕκαστον τῶν αὐτὸ νῦν ἐχόντων*
*ἐν ἑαυτοῖς παναληθῶς· Ὦ τέκνα, μὴ φοβεῖσθε!*
*Ἰδοὺ ἐγώ, ὡς βλέπετε, ἐντὸς ὑμῶν ὑπάρχω*
*καὶ σύνειμι, καὶ τῆς φθορᾶς ἅπαξ καὶ τοῦ θανάτου*
*ἐλευθερῶ καὶ δείκνυμι τίνος τέκνα καὶ φίλους*
*ὑμᾶς, ἰδού, πεποίηκα· χαίρετε ἐν Κυρίῳ!*
*Τοῦτο οὖν ἔσται ἀληθὲς σημεῖον τοῖς ἀνθρώποις,*
*ὅτι Θεοῦ γεγόνασιν υἱοὶ καὶ κληρονόμοι,*
*ὅτι λαβόντες ἔχουσι τὸ Πνεῦμά μου τὸ Θεῖον,*
*ἐντεῦθεν τε Χριστιανοὶ χρηματίζουσιν ὄντως*
*ἀληθείᾳ καὶ πράγματι, οὐκ ὀνόματι μόνῳ.–*
*–Ταῦτα πιστὰ καὶ ποθεινὰ τυγχάνουσι, Χριστέ μου·*
*οὕσπερ προέγνωκας σαφῶς καὶ δέδωκας γενέσθαι*
*συμμόρφους τῆς εἰκόνος σου ἐν Πνεύματι τῷ Θείῳ,*
*καὶ πάντη δυνατά ἐστιν αὐτοῖς ὡς κεκλημένοις*
*εἰς τὴν χαρὰν τὴν ἄφραστον ὑπό σου εἰς αἰῶνας.*
*Τοῖς δὲ λοιποῖς ἀδύνατα πᾶσι δοκοῦσι ταῦτα,*
*οἳ καὶ διαβάλλοντες ἀπιστοῦσιν εἰς ἅπαν*
*φρεναπατοῦντες ἑαυτούς, ἢ καὶ παραμυθεῖσθαι*
*οἴονται οἱ παράφρονες ἐπὶ κεναῖς ἐλπίσιν,*
*ὑψηγοροῦντες ὡς κομψοὶ τοῖς ἐπηρμένοις λόγοις,*
*καὶ πρὸς τὰ φίλα ἑαυτῶν ἀλληγοροῦντες ταῦτα*
*τῶν φοβερῶν σου ἐντολῶν καταφρονοῦσιν ὅλως.*
*Σὲ γὰρ ζητεῖν οὐ θέλουσιν, ἔχειν γάρ σε δοκοῦσιν·*
*εἰ δὲ ὁμολογήσουσι μὴ ἔχειν σε, Θεέ μου,*

---

149. Γαλ. 4,6. 155. Ματθ. 28,20· 14,26. Λουκᾶ 24,38–39.
159. Φιλ. 3,1. 161. Γαλ.4,7.
164. Α' Ἰω. 3,1. 167. Ρωμ. 8,29.

Ὡστόσο τοῦτο ἂς ξέρουνε, καθὼς ὁ Παῦλος εἶπε,
ὅσοι τὸ Πνεῦμα μου ἔχουνε στὰ βάθη τῆς καρδιᾶς τους
πῶς λάμπει καὶ στέλνει ἀπὸ ἐκεῖ φωνὴ πρὸς τὸν Πατέρα
καὶ πρὸς ἐμὲ «ἀββά, ὁ Πατήρ» μοῦ λέει τὸ στόμα ἐκείνων.
Γιατὶ σὰν τέκνα τοῦ Θεοῦ ἔγιναν καὶ μὲ θάρρος
μ᾽ ἀναγνωρίζουν βλέποντας καὶ μὲ καλοῦν Πατέρα.
Λέει καὶ πρὸς τὸν καθένα τους ὅσοι τὸ Πνεῦμα μου ἔχουν
γνήσια κι ἀλήθεια μέσα τους· Παιδιά μου, μὴ φοβᾶστε·
Ἰδοὺ ἐγώ, ὅπως βλέπετε, μέσα σὲ σᾶς ὑπάρχω
μαζί σας, κι ἀπ᾽ τὸ θάνατο μὲ μιὰ σᾶς λευτερώνω
κι ἀπ᾽ τὴ φθορά, καὶ ποιοῦ παιδιὰ καὶ φίλους ἀποδείχνω,
ἰδοὺ σᾶς ἔχω κάνει ἐγώ. Χαίρετε γιὰ τὸν Κύριο.
Γιατὶ εἶναι τοῦτο ἀληθινὸ σημεῖο γιὰ τοὺς ἀνθρώπους,
ὅτι ἔχουν γίνει τοῦ Θεοῦ παιδιὰ καὶ κληρονόμοι·
κι ἔχουνε λάβει καὶ κρατοῦν τὸ θεῖο μου τὸ Πνεῦμα
καὶ ἀπὸ αὐτὸ καὶ Χριστιανοὶ στ᾽ ἀλήθεια ἔχουνε γίνει,
στ᾽ ἀλήθεια καὶ πραγματικὰ καὶ ὄχι στ᾽ ὄνομα μόνο.
–Αὐτὰ εἶναι ποὺ πιστεύομε, Χριστέ, καὶ ποὺ ποθοῦμε.
Σ᾽ ὅσους ἐσὺ προγνώρισες καθάρια κι ἔχεις δώσει
σύμμορφοι τῆς εἰκόνας σου νὰ γίνουν μ᾽ ἅγιο Πνεῦμα
καὶ εἶναι καὶ δυνατὰ γι᾽ αὐτοὺς ποὺ τοὺς ἔχεις καλέσει
στὴν πανανείπωτη χαρὰ στοὺς αἰῶνες τῶν αἰώνων.
Γιὰ τοὺς λοιπούς, ἀδύνατα φαίνονται αὐτὰ πῶς εἶναι
καὶ ρίχνοντας τὴ διαβολή, ἄπιστοι δείχνουν σ᾽ ὅλα
καὶ τὸν ἑαυτό τους ξεγελοῦν ἢ πῶς παρηγοριοῦνται
νομίζουν οἱ παράφρονες μ᾽ ἐλπίδες κούφιες κάποιες,
φλύαρα ρητορεύουνε καὶ μὲ ἐπηρμένα λόγια
καὶ ὅλα αὐτὰ τὰ ἐξηγοῦν ὅπως σ᾽ αὐτοὺς ἀρέσει
καὶ τὶς φριχτές σου ἐντολὲς περιφρονοῦν μὲ θράσος.
Νὰ σὲ ζητήσουν δὲν ποθοῦν, νομίζουν ὅτι σ᾽ ἔχουν,
κι ἄν, Θεέ μου, πῶς δὲ σ᾽ ἔχουνε, τυχὸν ὁμολογήσουν,

168. Μάρκ. 9,23. 172. Γαλ. 6,3.

170–176. Περιγράφει χαρακτηριστικὰ μιὰ κατηγορία ἀπίστων μορφωμένων, ἂς ποῦμε.

*τότε σε πάντη ἄληπτον κηρύσσουσι τοῖς πᾶσι,*
*καὶ ὡς οὐδεὶς θεάσασθαι ἰσχύει σε ἀνθρώπων,*
*οὐδὲ ὑπάρχει ὁ αὐτῶν ὑπερέχων ἐν γνώσει.*
*Ἢ γὰρ τοῖς πᾶσί σε ληπτὸν καὶ προσιτὸν ἀνθρώποις,*
*ἢ ἄληπτον, ἀπρόσιτον διδάσκουσί σε πάντη·*
*ὅμως ἐν ἀμφοτέροις δὲ σφάλλονται, μὴ νοοῦντες*
*τὰ θεῖα καὶ ἀνθρώπινα, ἐσκοτισμένοι ὄντες.*
*Οἷς βράβευσον φῶς γνώσεως, δὸς χεῖρα φόβου θείου,*
*δὸς ἀναστῆναι τῆς κακῆς ὑπονοίας τοῦ λάκκου*
*καὶ εἰς συναίσθησιν ἐλθεῖν ὅτι ἐν λάκκῳ κεῖνται,*
*ἐν σκότει καὶ καθέζονται, φῶς θεῖον οὐχ ὁρῶντες!*
*Ὃ μαρτυροῦσιν οἱ αὐτοί, ὃ καὶ ὁμολογοῦσιν,*
*ἀλλ' ἀπιστοῦσιν ὅτι νῦν εἰσὶν οἱ βλέποντές σε.*
*Οἷς εἰ μὴ λάμψῃ σου τὸ φῶς καὶ ἴδωσιν ἐν γνώσει,*
*πῶς ἂν πιστεύσωσι τρανῶς ὅτι ἀξίοις φαίνῃ*
*καὶ συλλαλεῖς καὶ συνοικεῖς νῦν καὶ εἰς τοὺς αἰῶνας*
*αὐτοῖς ὡς φίλοις, ὡς πιστοῖς δούλοις σου, καθὼς εἶπας;*
*Ἀλλὰ πιστῶν σὺ εἶ Θεός, οὐχὶ δὲ καὶ ἀπίστων,*
*οὗ χάριν πρὸς αὐτοὺς ὅλως οὐκ ἐπιβλέπεις.*
*Τοῖς γὰρ ἀπαρνουμένοις σε καὶ λέγουσι μὴ λάμπειν*
*τὸ φῶς σου τὸ ἀΐδιον εἰς ψυχὰς τῶν ἀξίων,*
*πῶς σου φωτὸς τὸ πρόσωπον ὑποδείξῃς, Σωτήρ μου;*
*Οὐδαμῶς, εἰ μὴ κτήσονται πίστιν πολλήν, ὡς εἶπας,*
*καὶ τὸν νόμον φυλάξουσι τὸν θεῖόν σου προθύμως*
*μέχρι θανάτου ἑαυτοὺς διὰ σὲ ἐκδιδόντες*
*εἰς ἐργασίαν ἀληθῆ τῶν σοφῶν ἐντολῶν σου.*
*Τοῦτο οὖν τὸ σωτήριον πάντων τῶν σῳζομένων,*
*ὁδὸς οὐκ ἔστιν ἄλλη δέ, ὡς εἶπας, ὦ Θεέ μου.*
*Δὸς ἔλεος, δὸς ἔλεος δεομένοις σου, Σῶτερ,*
*νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!*
*Ἀμήν.*

---

180. Α' Τιμ. 6,16. 189. Λουκᾶ 1,79. 195. Ἰω. 15,15.
201. Ματθ. 15,28. 206. Ματθ. 7,14.

τότε σ' ὅλους ἀσύλληπτο τέλεια σ' ἀνακηρύσσουν,
κι ὅτι κανένας δὲν μπορεῖ θνητὸς νὰ σ' ἀντικρίσει
κι ἕνας δὲν εἶναι ἀνώτερος στὴ γνώση ἀπὸ τοὺς ἴδιους.
Γιατὶ εἴτε σ' ὅλους νοητὸς καὶ προσιτὸς σὲ ὅλους
ἢ ἀσύλληπτος κι ἀπρόσιτος διδάσκουνε πὼς εἶσαι,
ὡστόσο κάνουν καὶ στὰ δὺο λάθος μὴ ἐννοώντας
τὰ θεῖα καὶ τ' ἀνθρώπινα, σὲ σκότη βυθισμένοι.
Τὸ φῶς τῆς γνώσης δῶσε τους, βάλτους τὸ θεῖο τὸ φόβο,
κάνε ἀπ' τὸ λάκκο νὰ ὀρθωθοῦν τῆς σκέψης τῆς κακιᾶς τους
καὶ τέλος νὰ συναισθανθοῦν πὼς κείτονται σὲ λάκκο,
στὸ σκότος ὅτι κάθονται καὶ θεῖο φὼς δὲ βλέπουν,
πράγμα ποὺ μαρτυρεῖ κι αὐτὸ κι οἱ ἴδιοι ὁμολογοῦνε,
μὰ ὅτι εἶναι τώρα δυσπιστοῦν αὐτοὶ ποὺ σὲ θωροῦνε.
Τὸ φῶς σου ἂν δὲ φανεῖ γι' αὐτοὺς κι ἂν δὲν ἰδοῦν καθάρια
πὼς νὰ πιστέψουν καθαρὰ πὼς φαίνεσαι στοὺς ἄξιους
συνομιλεῖς καὶ συνοικεῖς καὶ τώρα καὶ στοὺς αἰῶνες,
γι' αὐτοὺς ὅπως μὲ φίλους σου καὶ μὲ πιστοὺς ὡς εἶπες
δούλους; Μὰ ἐσὺ Θεὸς πιστῶν εἶσαι, ὄχι Θεὸς ἀπίστων
καὶ ποὺ γι' αὐτὸ σ' ὅλους αὐτοὺς τὰ μάτια σου δὲ ρίχνεις.
Σ' ὅποιους σ' ἀρνοῦνται πράγματι καὶ λὲν ὅτι δὲ λάμπει
τὸ φῶς σου τὸ ἀβασίλευτο μὲς στὶς ψυχὲς τῶν ἄξιων,
τὸ φωτεινό σου πρόσωπο, Σωτῆρα, πῶς θὰ δείξεις;
Δὲν εἶναι τρόπος, ἂν πολλὴ πίστη δὲν ἀποκτήσουν,
ὡς εἶπες, καὶ τὸ νόμο σου τὸ θεῖο δὲ φυλάξουν
πρόθυμα, παραδίνοντας γιὰ σὲ τὸν ἑαυτό τους
στὸ θάνατο, τὶς ἐντολὲς πράττοντας τὶς σοφές σου.
Αὐτὴ εἶναι τῶν σωζομένων ὅλων ἡ σωτηρία
καὶ δρόμος ἄλλος, ὢ Θεέ, ὡς εἶπες δὲν ὑπάρχει.
Σωτῆρα, ἐλέησον αὐτοὺς ποὺ σὲ παρακαλοῦνε
καὶ τώρα καὶ παντοτινὰ στοὺς αἰῶνες τῶν αἰώνων.
'Αμήν.

---

206. Δὲν ὑπάρχει κανένας ἄλλος τρόπος σωτηρίας γιὰ κανένα ἀπὸ ὅσους σώζονται.

## *ΝΣΤ'*

***Εὐχὴ πρὸς Θεὸν ἐπὶ τοῖς γεγονόσιν εἰς αὐτὸν ἱκετήριός τε ὁμοῦ καὶ εὐχαριστήριος.***

*Κύριε, δός μοι σύνεσιν, Κύριε, δός μοι γνῶσιν,*
*Κύριε, δίδαξον κἀμὲ ποιεῖν τὰς ἐντολάς σου!*
*Κἂν ἥμαρτον ὡς ἄνθρωπος ὑπὲρ ἄνθρωπον, οἶδας,*
*ἀλλὰ σὺ τῇ οἰκείᾳ σου, Θεέ μου, εὐσπλαγχνίᾳ*
*ἠλέησάς με τὸν πτωχόν, τὸν ὀρφανὸν ἐν κόσμῳ,*
*καὶ ἐποίησας, Δέσποτα, ὃ μόνος σὺ γινώσκεις·*
*ἀπὸ πατρὸς καὶ ἀδελφῶν, συγγενῶν τε καὶ φίλων,*
*ἀπὸ γῆς τῆς γενέσεως, ἐξ οἴκου γονικοῦ μου*
*ὡς ἐξ Αἰγύπτου σκοτεινῆς, ὡς ἐξ ᾅδου μυχῶν με*
*– οὕτω γὰρ ἐμοὶ δέδωκας, τῷ εὐτελεῖ σου δούλῳ,*
*περὶ ἐκείνων ἐννοεῖν καὶ λέγειν ἐν συνέσει –*
*ἀποχωρίσας, εὔσπλαγχνε, καὶ προσλαβόμενός με*
*καὶ τῇ χειρί σου τῇ φρικτῇ κρατήσας ἤγαγές με,*
*εἰς ὃν ηὐδόκησας ἐν γῇ γενέσθαι μου πατέρα,*
*καὶ τοῖς ποσὶ προσέρριψας αὐτοῦ καὶ ταῖς ἀγκάλαις.*
*Κἀκεῖνος με προσήγαγε τῷ σῷ Πατρί, Χριστέ μου,*
*καὶ σοὶ διὰ τοῦ Πνεύματος, –ὦ Τριάς, ὁ Θεός μου,–*
*κλαίοντα ὡς τὸν ἄσωτον καὶ προσπίπτοντα, Λόγε,*
*καθὼς αὐτὸς ἐπίστασαι, ὅτι ἐδίδαξάς με,*
*καὶ σὺ οὐκ ἀπηξίωσας υἱόν σου μὲ καλέσαι.*
*Ὢ ἀναξίου στόματος καὶ ῥυπαρῶν χειλέων,*
*ὢ λόγου γλώσσης πενιχρᾶς ὑμνεῖν σε ἀπορούσης,*

---

2. Ψαλμ. 142,10. 7. Μάρκ. 10,29 ἑ. 8. Γεν. 12,1.

**Προσευχὴ στὸ Θεὸ παρακλητικὴ καὶ μαζὶ κι εὐχαριστήρια γιὰ ὅσα τοῦ ἔχει κάνει.**

Κύριε δῶσ' μου σύνεση, Κύριε, δῶσ' μου γνώση,
Κύριε, νὰ πράττω δίδαξε κι ἐγὼ τὶς ἐντολές σου.
Κι ἂν ὡς θνητὸς ἁμάρτησα πιὸ ἀπὸ θνητό, τὸ ξέρεις,
μὰ ἐσὺ μὲ τὴν ἀπέραντη εὐσπλαχνία σου, Θεέ μου,
μοῦ 'δειξες οἶκτο τοῦ φτωχοῦ καὶ τοῦ ὀρφανοῦ στὸν κόσμο
καί, Δέσποτα, ἐσὺ μοῦ ἔκανες ὅ,τι γνωρίζεις μόνος·
ἀπὸ πατέρα κι ἀδελφοὺς καὶ συγγενεῖς καὶ φίλους
ἀπ' τὴ γενέθλιά μου γῆ, τὸ πατρικό μου σπίτι,
σὰν ἀπὸ ζοφερὴ Αἴγυπτο κι ἀπ' τοὺς μοιχοὺς τοῦ ἅδη
– τὸν ταπεινὸ τὸ δοῦλο σου τέτοια μ' ἔχεις διδάξει
γιὰ ὅλα αὐτὰ νὰ σκέφτομαι καὶ νὰ μιλῶ μὲ γνώση –,
εὔσπλαχνε, μ' ἀποχώρισες καὶ μ' ἔσυρες κοντά σου
καὶ μὲ τὸ χέρι τὸ φρικτὸ μ' ὁδήγησες κρατῶντας
σ' αὐτὸν ποὺ εὐδόκησες στὴ γῆ πατέρας μου νὰ γίνει
καὶ μ' ἔρριξες στὰ πόδια του καὶ μὲς στὴν ἀγκαλιά του.
Κι ἐκεῖνος στὸν Πατέρα σου μ' ὁδήγησε, Χριστέ μου,
καὶ σ' Ἐσένα μὲ τὸ Πνεῦμα, ὦ Τριάδα κι ὦ Θεέ μου,
ἐνῶ ἔκλαιγα ὅπως ὁ ἄσωτος προσπέφτοντάς σου, Λόγε,
καθὼς ἐσὺ δὲν ἀγνοεῖς, ἀφοῦ μ' ἔχεις διδάξει
κι ἀνάξιο ἐσὺ δὲ μ' ἔκρινες νά μὲ καλέσεις γιό σου.
Ὦ ἀνάξιο τέλεια στόμα μου κι ὦ ρυπαρά μου χείλη,
ὦ λόγια γλώσσας φτωχικῆς ἀνάξιας νὰ σ' ὑμνήσει,

---

9. Σοφ. Σολ. 17,13 18. Λουκᾶ 15,18 ἑ.

εὐχαριστεῖν τε καὶ λαλεῖν τὰς σὰς εὐεργεσίας,
ἃς εἰς ἐμὲ τὸν ὀρφανὸν ἐποίησας καὶ ξένον,
ξένον ὑπάρχοντα ἐν γῇ. Οἱ γὰρ σοὶ κόσμου ξένοι,
τὰ δέ γε καὶ τὰ τῶν σῶν ὀφθαλμοὶ οὐχ ὁρῶσιν,
γλῶσσα λαλεῖν οὐ δύναται, οὐδὲ κόσμος χωρῆσαι.
Διὰ τοῦτο οὖν, Δέσποτα, μισεῖ ἡμᾶς ὁ κόσμος,
ἀποδιώκει, λοιδορεῖ, φθονεῖ, μαίνεται, κτείνει
καὶ πάντα πράσσει καθ᾽ ἡμῶν περιπίπτων ἐν τούτοις·
ἡμεῖς δέ, ὡς εὐδόκησας, οἱ ταπεινοί σου δοῦλοι
ἐν ἀσθενείᾳ ἰσχυροί, ἐν πενίᾳ πλουτοῦμεν,
ἐν πάσῃ θλίψει χαίρομεν ὄντες ἔξω τοῦ κόσμου.
Ἡμεῖς, ὦ Δέσποτα, σὺν σοί, κόσμος δ᾽ ἔχει τὸ σῶμα.
Λοιπόν, πλανᾶται ὁ τυφλὸς πηλὸν κατέχων μόνον,
ὃς οὐδ᾽ αὐτὸν κερδήσειε· δώσει γάρ, ὡς ὑπέσχου,
ἐν τῇ ἐσχάτῃ σάλπιγγι πνευματικὸν καὶ τοῦτον,
καὶ τότε μόνος τὰ κακὰ τὰ ἴδια κερδήσει
σὺν τοῖς ὁμόφροσιν αὐτοῦ καὶ τυφλοῖς φιλοκόσμοις.

---

25. Ἑβρ. 11,13. 26. Α' Κορ. 2,9.
27. Ἰω. 21,25. 28. Ἰω. 15,19.
32. Α' Κορ. 1,25. Β' Κορ. 8,9. 33. Β' Κορ. 7,4.
37. Α' Κορ. 15,52.

εὐχαριστίες νὰ σοῦ πεῖ γιὰ εὐεργεσίες πλῆθος,
ὅσες σ' ἐμὲ τὸν ὀρφανὸ ἔκανες καὶ τὸν ξένο,
ξένος ὁποὺ 'μαι ἐδῶ στὴ γῆ· κι ὅσοι δικοί σου ξένοι,
κι ὅσα δικά σου δὲ θωροῦν μάτια κι ὅσα δικῶν σου
ἡ γλώσσα δὲν μπορεῖ νὰ πεῖ κι ὁ κόσμος νὰ χωρέσει.
Γιὰ τοῦτο, Δέσποτα, λοιπὸν οἱ ἄνθρωποι μᾶς μισοῦνε,
μᾶς διώχνουν, μᾶς κατηγοροῦν, λυσσοῦν, φθονοῦν, σκοτώνοι
κάνουν τὰ πάντα ἐνάντια μας χτυπώντας μας μὲ τοῦτα.
Κι ἐμεῖς, καθὼς εὐδόκησες, οἱ ταπεινοί σου δοῦλοι,
ἰσχυροὶ στὴν ἀσθένεια μας, στὴ φτώχεια μας πλουτοῦμε,
χαρὰ ἔχομε τὶς θλίψεις μας ὄντας ἔξω ἀπ' τὸν κόσμο.
Μαζί σου, Κύριε, εἴμαστ' ἐμεῖς, ὁ κόσμος ἔχει τὸ σῶμα.
Λοιπὸν πλανιέται ὁ τυφλὸς πηλὸ μόνο κρατώντας,
ποὺ κέρδος του μήτε κι αὐτός, ἀφοῦ, ὅπως ὑποσχέθης,
στὴν ἔσχατη τὴ σάλπιγγα πνεῦμα κι αὐτὸν θὰ δώσει
καὶ τότε τὶς κακίες του μόνος αὐτὸς θὰ θρέψει
μ' ὅσους τὰ ἴδια σκέφτονται, τυφλοὶ φίλοι τοῦ κόσμου.

---

34. Μιὰ ἀπὸ τὶς ὡραιότερες διατυπώσεις κι ἕνα ἀπὸ τὰ ὡραιότερα βιώματα τοῦ Συμεών. Τὸ ἴδιο γράφει κι ἕνας ξενιτεμένος νεοέλληνας στὴ μητέρα 'μὲ σένα εἶν' ἡ ψυχή μου πάντοτε κι εἶν' τὸ κορμὶ στὰ ξένα'. Οἱ δύο ξενιτιὲς σὲ διαφορετικὰ ἐπίπεδα.

## *ΝΖ'*

***Ὅτι ὁ τὸν Θεὸν ποθήσας μισεῖ τὸν κόσμον.***

*Σκιᾷ κρατοῦμαι καὶ ἀλήθειαν βλέπω*
*ὃ οὐδέν ἐστιν ἢ ἐλπὶς ἡ βεβαία.*
*Ποία οὖν ἐλπίς; Ἣν ὀφθαλμοὶ οὐκ εἶδον.*
*Αὕτη τί ἐστι; Ζωή, ἣν ἅπαντες ποθοῦσιν.*
*Ἡ δὲ ζωὴ τί ἢ Θεὸς κτίστης πάντων;*
*Τοῦτον πόθησον καὶ μίσησον τὸν κόσμον!*
*Κόσμος θάνατος, τί γὰρ ἄρρευστον ἔχει;*

---

2. Β' Κορ. 1,6. 3. Α' Κορ. 2,9.
5. Ἰω. 14,6. 6. Α' Ἰω. 2,15.

## 57

**Ὅτι, ὅποιος πόθησε τὸ Θεό, μισεῖ τὸν κόσμο.**

Μ' ἔχει ἡ σκιὰ μὰ βλέπω τὴν ἀλήθεια,
ποὺ ἄλλο δὲν εἶναι μόνο ἡ βέβαιη ἐλπίδα,
Ἐλπίδα ποιά; Ὅποια δὲν εἶδαν μάτια.
Καὶ τί εἶν' αὐτή; Ἡ ζωὴ ποὺ ὅλοι ποθοῦνε.
Κι ἡ ζωὴ δὲν εἶναι ὁ Θεός, τῶν ὅλων κτίστης;
Πόθησε αὐτὸν καὶ μίσησε τὸν κόσμο.
Ὁ κόσμος θάνατος· τί ἔχει ποὺ μένει;

---

* Μπορεῖ τὰ μακρὰ ποιήματα νὰ ἔχουν τὰ πλεονεκτήματά τους
ντομα ἔχουν κάποτε τὴν πυκνότητα διαμαντιοῦ.

## *ΝΗ'*

***Διδασκαλία κοινὴ σὺν ἐλέγχῳ πρὸς πάντας, βασιλεῖς, ἀρχιερεῖς, ἱερεῖς, μονάζοντας, λαϊκούς, ὑπὸ στόματος λαληθεῖσα καὶ λεγομένη Θεοῦ.***

*Ὦ Χριστέ, παράσχου μοι λόγους σοφίας,*
*λόγους γνώσεως καὶ συνέσεως θείας!*
*Σὺ γὰρ οἶδάς μου τὸ ἀσθενὲς τοῦ λόγου*
*καὶ ἀμέτοχον μαθήσεως τῆς ἔξω·*
*σὺ ἐπίστασαι, ὅτι σὲ μόνον ἔχω*
*ζωὴν καὶ λόγον καὶ γνῶσιν καὶ σοφίαν,*
*σωτῆρα Θεὸν καὶ προστάτην ἐν βίῳ*
*καὶ ἀναπνοὴν τῆς ταπεινῆς ψυχῆς μου,*
*ὁ ξένος ἐγὼ καὶ ταπεινὸς τοῖς λόγοις.*
